τὸ τοῦδε; ποῦ μοι γῆς κυρεῖ τῆς Τρῳάδος[2];

ΧΟΡΟΣ.

μόνος[3] παρὰ σκηναῖσιν.

ΤΕΥΚΡΟΣ.

οὐχ ὅσον τάχος 985
δῆτ'[4] αὐτὸν ἄξεις δεῦρο, μή τις ὡς κενῆς
σκύμνον λεαίνης δυσμενῶν ἁναρπάσῃ;

[1]) Περὶ τὴν ἑρμηνείαν τοῦ ἐπιθέτου ὑπάρχει διαφωνία τις· ὁ μὲν Ἡσύχιος ἐξηγεῖ περιώδυνον ὁ δὲ Σουΐδας βαρύ, ὁ δὲ Εὐστάθιος λέγει· «Ἔστι δὲ ἀσπερχὲς τὸ πολυσπούδαστον, ὃ περισπερχὲς λέγει ὁ Σοφοκλῆς κατ' ἐπίτασιν καὶ αὐτός» καὶ ὁ Σχολιαστής· «περισσῶς κατεπεῖγον, ἀπὸ τοῦ περισπέρχεσθαι, τὸ περιστρέφεσθαι. Οἱ γὰρ ἐν δεινῷ τινι καταστάντες ἢ χρείᾳ, καὶ μὴ εὑρίσκοντες λύσιν τούτων ἄνω καὶ κάτω φέρονται πλανώμενοι ὑπ' ἀπορίας». Οὕτως ἀποδίδει τὴν σπουδὴν εἰς τὸν Τεῦκρον, ἀλλ' ἴσως πιθανώτερον αὕτη ἀνήκει τῷ Αἴαντι, ὅστις ἔσπευσε νὰ αὐτοκτονήσῃ, πρὶν δυνηθῇ ὁ ἀδελφός, καίπερ σπεύσας, νὰ προφυλάξῃ τοῦτον.

[2]) Ὁ Τεῦκρος φροντίζει περὶ τῆς σωτηρίας τοῦ Εὐρυσάκους πρὶν ἀκούσῃ τῶν ἐντολῶν τοῦ Αἴαντος. Τὸ κυρεῖ κεῖται ἄνευ τοῦ ὄν, ὡς τὸ τυγχάνει ἐν στίχ. 9.

[3]) Σχῆμα κατὰ σύνεσιν, διότι ἐπανέρχεται εἰς τὸ φυσικὸν γένος τοῦ Εὐρυσάκους, ὡς παρ' Εὐριπίδ. ἐν Ἱκέτισ. 12 «θανόντων ἑπτὰ γενναίων τέκνων, οὓς ποτ' Ἀργείων ἄναξ Ἄδραστος ἦγαγε» καὶ ἐν Ἀνδρομάχ. 570.

[4]) Ἐπειδὴ τῷ Elmsley ἐφάνη παράδοξον, ὅτι τὸ δῆτα κεῖται ἐν ἀρχῇ τοῦ τριμέτρου, εἴκασεν, ὅτι πρέπει νὰ γραφῇ, οὐχ ὅσον τάχος δεῦρ' αὐτὸν ἄξεις δῆτα. Οἱ ἐκδόται δὲν δέχονται τὴν διόρθωσιν, ἀλλὰ παρατηροῦσιν, ὅτι ἐν ἀρχῇ κεῖται καὶ τὸ ποτε ἐν Οἰδίποδ. τυράνν. 1085, καὶ τὸ ποθεν ἐν Αἰσχύλ. ἀποσπάσμ. 56. Ταῦτα ὁ Τεῦκρος λέγει πρὸς τὴν Τέκμησσαν, ἥτις ἀπέρχεται σπεύδουσα. Ὑπό τινων τὸ κενῆς θεωρεῖται ὡς ἐναλλαγὴ ἐπιθέτων ἀντὶ κενόν, ἀλλ' ὁ Lobeck παρατηρεῖ, ὅτι ἡ λέαινα δύναται νὰ ὀνομασθῇ κενὴ οὐχ ἧττον ἢ ὁ λεοντιδεύς. Ὁ Σχολιαστὴς ἑρμηνεύει

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἴθ', ἐγκόνει[1], σύγκαμνε. τοῖς θανοῦσί τοι
φιλοῦσι πάντες κειμένοις ἐπεγγελᾶν.

ΧΟΡΟΣ.

καὶ μὴν ἔτι ζῶν, Τεῦκρε, τοῦδέ σοι μέλειν
ἐφίεθ' ἀνὴρ κεῖνος, ὥσπερ οὖν[2] μέλει.

ΤΕΥΚΡΟΣ.

ὦ τῶν ἁπάντων δὴ θεαμάτων ἐμοὶ
ἄλγιστον, ὧν προσεῖδον ὀφθαλμοῖς ἐγώ,
ὁδός θ' ὁδῶν πασῶν ἀνιάσασα δὴ
μάλιστα τοὐμὸν σπλάγχνον, ἦν δὴ νῦν ἔβην
ὦ φίλτατ' Αἴας, τὸν σόν, ὡς ἐπῃσθόμην,
μόρον[3] διώκων κἀξιχνοσκοπούμενος.
ὀξεῖα γάρ σου[4] βάξις ὡς θεοῦ τινος
διῆλθ' Ἀχαιοὺς πάντας, ὡς οἴχει θανών.

τὸ χωρίον· «Κεκενωμένης καὶ ἐστερημένης τοῦ συζύγου. Καλῶς δὲ τῷ παραδείγματι χρῆται· οἱ γὰρ κυνηγοὶ τηροῦσι τὸν καιρόν, ὁπότε ἔρημοι τῶν μητέρων γίγνονται οἱ σκύμνοι». Ἡ ἑρμηνεία αὕτη ἤθελεν εἶναι ὀρθοτέρα, ἂν ὁ λέων ἐφρόντιζε περὶ τῆς σωτηρίας τῶν σκύμνων. Κατὰ τὸν Wecklein τὸ κενῆς κεῖται κατὰ πρόληψιν, ὡς ἐν Οἰδίποδ. ἐπὶ Κολων. 1200 «τῶν σῶν ἀδέρκτων ὀμμάτων τητώμενος».

1) Κατὰ τὸν Σχολιαστὴν ἄπιθι, σπεῦδε. Ἀντὶ τοῦ θανοῦσι ὁ Seyffert ἔτρεψεν εἰς σθένουσι, ὅπερ ἐδέξατο καὶ ὁ Wolff. Ἡμεῖς δὲν τολμῶμεν νὰ εἰσαγάγωμεν εἰς τὸ κείμενον, ἀλλὰ συνιστῶμεν ταύτην, διότι συνειθίζουσιν οἱ ἄνθρωποι νὰ γελῶσιν οὐχὶ διὰ πάντας τοὺς θανόντας, ὅταν κεῖνται, ἀλλὰ μόνον διὰ τοὺς ἰσχυρούς, ὅταν πεσόντες κεῖνται. Ὁ Herwerden γράφει ἐχθροῖσι.

2) Ὁ χορὸς ἐξάγει τὸ συμπέρασμα ἐξ ἐκείνων, ἅπερ βλέπει.

3) Ἡ αἰτιατικὴ μόρον εἶναι ἀντικείμενον καὶ τῶν δύο μετοχῶν. Φθάσαι ζητῶν καὶ κατ' ἴχνος ἀκολουθῶν, ὡς ἑρμηνεύει ὁ Σχολιαστής.

4) Δηλαδὴ φήμη περὶ σοῦ, ὡς ἐν στίχ. 222 «ἀνέρος αἴθονος ἀγγελίαν». Ὁ Morstadt νομίζει, ὅτι ἡ γενικὴ πρέπει νὰ τραπῇ εἰς δοτικήν σοι χάριν σαφηνείας, διότι δύναταί τις νὰ νομίσῃ, ὅτι ἡ γενικὴ αὕτη εἶναι τοῦ αὐτοῦ εἴδους, ὡς καὶ ἡ ἑπομένη. Τὰς χάριν σαφηνείας διορθώσεις, ἃς πολλαχοῦ ἐπιζητεῖ ὁ κριτικὸς οὗτος, ὅλως ἀποκρούομεν· διότι οὕτω μυρία ἠδύνατό τις νὰ διορθώσῃ. Ὁ αὐτὸς Morstadt λέγει, ὅτι τὴν γενικὴν τινὸς πρέπει νὰ ἐξαρτήσωμεν ἐκ τοῦ βάξις, ὅπερ νοεῖται, ἀλλὰ πιθανώτερον κατὰ τὸν Schneidewin, Dindorf καὶ ἄλλους ἐννοεῖται ἡ μετοχὴ βάζοντος, ὡς ἐν Τραχιν. 768 «πλευραῖσιν ἀρτίκολλος, ὥστε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀγὼ κλύων δύστηνος, ἐκποδὼν[1] μὲν ὢν
ὑπεστέναζον, νῦν δ' ὁρῶν ἀπόλλυμαι.
οἴμοι.
ἴθ' ἐκκάλυψον[2], ὡς ἴδω τὸ πᾶν κακόν.
ὦ δυσθέατον ὄμμα καὶ τόλμης[3] πικρᾶς,
ὅσας ἀνίας μοι κατασπείρας[4] φθίνεις.
ποῖ γὰρ μολεῖν μοι δυνατόν, ἐς ποίους βροτούς,
τοῖς σοῖς ἀρήξαντ'[5] ἐν πόνοισι μηδαμοῦ;
ἦ πού με[6] Τελαμών, σὸς πατὴρ ἐμός θ' ἅμα,

τέκτονος», ἔνθα ἐννοεῖται κολλῶντος. Λοιπόν τὸν θάνατον τοῦ Αἴαντος ὁ Τεῦκρος ἔμαθεν οὐχὶ παρὰ τοῦ πεμφθέντος ἀγγέλου ἐν στίχ. 804, ἀλλὰ παρὰ τῆς φήμης τῶν θεῶν, ἥτις συνήθως λέγεται ὅσσα, περὶ ἧς ὅρα καὶ Ἡρόδοτ. IX, 100.

1) Μακράν, πόρρω.

2) Τοῦτο λέγει πρὸς τὸν ἀκόλουθον αὐτοῦ· διότι ἡ Τέκμησσα ἀπῆλθεν ἐν στίχ. 989, ὅπως λάβῃ τὸν Εὐρυσάκη. Ἐν στίχ. 916 ἐκαλύφθη τὸ πτῶμα τοῦ Αἴαντος, ἀνθ' οὗ ἐτέθη εἴδωλον τοῦ ἥρωος.

3) Πάντως ἀτυχὴς εἶναι ἡ ὑπὸ τοῦ Wunder γενομένη διόρθωσις τοῦ τόλμης πικρᾶς εἰς τόλμῃ σιν πικρᾶι. Ἡ σύνταξις ἔχει ποικιλίαν, περὶ ἧς ὁ Εὐστάθιος λέγει· 409,45· «Διὸ καὶ Σοφοκλῆς ἐν στίχῳ ἑνὶ οὐκ ὤκνησε διπλόην θέσθαι συντάξεως εἰπών, ὦ δυσθέατον ὄμμα καὶ τόλμης πικρᾶς... ὅμως ἐξήλλαξε τὴν φράσιν, διὰ τὸ καὶ οὕτω καὶ οὕτω δύνασθαι λέγεσθαι, οἷον, ὦ δυσθεάτου καὶ ὄψεως καὶ τολμήματος, καὶ πάλιν ὦ δυσθέατος ὄψις καὶ τόλμημα». Ὀρθῶς δὲ παρατηρεῖ, ὁ Dindorf, ὅτι προσηκόντως ὁ ποιητὴς ἔθηκε κλητικὴν μὲν ἐπὶ ἐκείνου, ὅπερ διὰ τῶν ὀφθαλμῶν ὁ Τεῦκρος θεᾶται, γενικὴν δὲ ἐπὶ ἐκείνου, ὅπερ διὰ τῆς διανοίας ἀνευρίσκει.

4) Καλῶς ὁ ποιητὴς μετεχειρίσθη τὸ σπείρειν, διότι ἐκ τῆς ἀνίας τοῦ θανάτου τοῦ Αἴαντος θελουσιν ἀναβλαστήσει ἄλλαι, περὶ ὧν λέγει ἐν τοῖς ἑξῆς. Τοῦτο ἐνόησεν ὁ Σχολιαστὴς εἰπών· «Δαιμονίως καὶ τὸ σπείρας, οἷον ἀρχὴν κακῶν παρασχών».

5) Εἶναι αἰτιατικῆς, διότι τὸ ι τῆς δοτικῆς δὲν ἐκθλίβεται παρὰ τοῖς τραγικοῖς. Οὕτω γίνεται ἀνακολουθία, ἥτις ὑπάρχει πολλαχοῦ, ὡς ἐν Ἠλέκτρ. 479 «ὕπεστί μοι θράσος, ἀδυπνόων κλύουσαν ἀρτίως ὀνειράτων» καὶ ἐν Οἰδίποδ. τυράνν. 823.

6) Πρῶτος ὁ Toup ἔγραψε πού μ ε ἀντὶ τοῦ κοινοῦ ποῦ, ὅπερ δικαίως ἐδέξαντο οἱ κριτικοί· διότι τὸ ποῦ ἐνταῦθα δὲν ἁρμόζει. Τοῦτο λέγει ὁ Τεῦκρος εἰρωνικῶς, ὡς ἡ Μήδεια ἐν στίχ. 504 «καλῶς γ' ἂν οὖν δέξαιντο μ' οἶκοις, ὧν πατέρα κατέκτανον». Οὕτως οἱ φόβοι τοῦ Τεύκρου δὲν ἦσαν ἄνευ ὑποστάσεως, Σχολιαστ. Πινδάρ. ἐν Νεμ. 4, 76· «Ὁ γὰρ Τεῦκρος ἐλθὼν μετὰ τὴν ἅλωσιν Ἰλίου εἰς Σαλαμῖνα, καὶ ὑπονοηθεὶς ὑπὸ τοῦ Τελαμῶνος, ὡς αἴτιος γεγονὼς τοῦ φόνου τῷ Αἴαντι φυγὼν ᾤκησε τὴν Κύπρον καὶ ἔσχεν αὐτῆς τὴν ἀρχήν». Τὴν ὑπόθεσιν ταύτην ἐπραγματεύετο καὶ ὁ Σοφοκλῆς ἐν τῇ τραγῳδίᾳ τῇ ὀνομαζομένῃ Τεῦκρος· ὅρα εἰσαγωγ. σελ. 43. Ἀντὶ τοῦ θ' ἅμα ἔν τισιν ἀπογράφοις ὑπάρχει τ' ἴσως,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δείξαιτ' ἂν εὐπρόσωπος ἱλεώς τ' ἴσως[1]
χωροῦντ' ἄνευ σοῦ. πῶς γὰρ οὐχ[2]; ὅτῳ πάρα
μηδ' εὐτυχοῦντι μηδὲν ἱλεων[3] γελᾶν.
οὗτος τί κρύψει[4]; ποῖον οὐκ ἐρεῖ κακὸν
τὸν ἐκ δορὸς[5] γεγῶτα πολεμίου νόθον,
τὸν δειλίᾳ προδόντα καὶ κακανδρίᾳ
σέ, φίλτατ' Αἴας, ἢ δόλοισιν[6], ὡς τὰ σὰ
κράτη θανόντος καὶ δόμους νέμοιμι σούς.
τοιαῦτ' ἀνὴρ δύσοργος[7], ἐν γήρᾳ βαρύς,
ἐρεῖ, πρὸς οὐδὲν[8] εἰς ἔριν θυμούμενος.
τέλος δ' ἀπωστὸς γῆς ἀπορριφθήσομαι,
δοῦλος λόγοισιν[9] ἀντ' ἐλευθέρου φανείς.
τοιαῦτα μὲν κατ' οἶκον· ἐν Τροίᾳ δέ μοι
πολλοὶ μὲν ἐχθροί, παῦρα δ' ὠφελήσιμα.
καὶ ταῦτα πάντα σοῦ θανόντος εὑρόμην[10].
οἴμοι, τί δράσω; πῶς σ' ἀποσπάσω πικροῦ

ὅπερ προδήλως εἰσέρρευσεν ἐκ τοῦ τέλους τοῦ ἑπομένου στίχου.

1) Οὐχὶ ἀτυχῶς, ἀλλ' ἄνευ ἀνάγκης ὁ Hermann τὸ ἴσως ἔτρεψεν εἰς ἰδών, ὅπερ ἐδέξατο καὶ ὁ Schneidewin.

2) Δηλαδὴ εὐπρόσωπος ἱλεώς τε δέξεται.

3) Ἱλαρῶς, εὐθύμως. Ὁ Dindorf δέχεται τὸ ἡδιον.

4) Συμπληροῦται διὰ τοῦ κακόν, ὅπερ νοεῖται ἐκ τοῦ ἑπομένου.

5) Τὸ δόρυ κεῖται ἀντὶ τῆς μάχης, ὡς ἐν στίχ. 181. Μετὰ τολμηρᾶς βραχυλογίας οὕτως ὀνομάζεται ἡ ὁπλίτης Ἡσιόνη, ἡ τοῦ Τεύκρου μήτηρ. Ὁ Σχολιαστὴς ἐξηγεῖ· «Γεγονότα ἐξ αἰχμαλωτίδος γυναικός. Ἐκ μάχης πολεμίας τουτέστιν ἐκ γυναικὸς μάχῃ πολεμίᾳ κρατηθείσης».

6) Ὁ Τελαμὼν ἐξεδίωξε τὸν Τεῦκρον ὡς αἴτιον τοῦ θανάτου τοῦ Αἴαντος, Λυκόφρ. ἐν Ἀλεξάνδρ. 450 «ὁ μὲν (Τεῦκρος) πατρὸς μομφαῖσιν ἠλαστρημένος, ὡς ὀπατρίου φονεὺς πώλου, νόθον φίτυμα, συγγενῶν βλάβη».

7) Τὸ ἀντίθετον εἶναι εὔοργος = πρᾶος. Κατὰ τὸν Σχολιαστήν· «Τὸ μὲν δύσοργος ἐκ φύσεως· λέγει γὰρ αὐτὸν ἀεὶ σκυθρωπόν. Τὸ δὲ ἐν γήρᾳ εἰς ἐπίτασιν».

8) Ἄνευ αἰτίας θυμούμενος διὰ νὰ φιλονεικῇ. Ὅρα στίχ. 40.

9) Ταῖς τοῦ πατρὸς λοιδορίαις κατὰ τὸν Σχολιαστήν· κατὰ δὲ τὸν Bellermann ἐν ταῖς συνομιλίαις τῶν ἀνθρώπων. Ὡς τέκνον τῆς αἰχμαλωτίδος ὁ Τελαμὼν θέλει ὀνομάζει δοῦλον. Τὸ λόγοισιν ὁ Morstadt θεωρῶν ὕποπτον προτείνει νὰ γραφῇ γονεῦσιν, ὅπερ δὲν εἶναι ἀτυχές.

10) Μετεχειρίσθη ἀόριστον ἀντὶ μέλλοντος, διότι τοὺς μὲν ἐχθροὺς ἐν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦδ' αἰόλου[1] κνώδοντος, ὦ τάλας, ὑφ' οὗ 1025
φονέως[2] ἄρ' ἐξέπνευσας; εἶδες ὡς χρόνῳ
ἔμελλέ σ' Ἕκτωρ καὶ θανὼν ἀποφθίσειν[3];
σκέψασθε, πρὸς θεῶν, τὴν τύχην δυοῖν βροτοῖν.
Ἕκτωρ μέν, ᾧ δὴ τοῦδ' ἐδωρήθη[4] πάρα,
ζωστῆρι πρισθεὶς[5] ἱππικῶν ἐξ ἀντύγων 1030
ἐκνάπτετ'[6] αἰέν, ἕστ' ἀπέψυξεν βίον.

Τροίᾳ εὗρεν ἤδη, τὰ δὲ παρὰ τοῦ πατρὸς κακὰ θεωρεῖ βέβαια.

[1]) Κατὰ τὸν Schneidewin σημαίνει ἀπαστράπτων, λαμπρός, ὡς τὰ ὁμηρικὰ αἰόλος θώρηξ, ζωστήρ, κατὰ δὲ τὸν Σχολιαστήν· «Τοῦ συνεχῆ κίνησιν πάσχοντος διὰ τὴν λεπτότητα». Καὶ ἡ ἑρμηνεία αὕτη στηρίζεται ἐπὶ τοῦ Ὁμήρου, παρ' ᾧ συχνότατα σημαίνει εὐλύγιστος, εὔκαμπτος, ὡς αἰόλος ὄφις, σφῆκες μέσον αἰόλοι. Κνώδων σημαίνει τὸ ξίφος καθ' ὅλου, Ἀντιγόν. 1232 «ξίφους ἕλκει διπλοῦς κνώδοντας»· Ὁ Τεῦκρος τῇ βοηθείᾳ τοῦ θεράποντος ἀπέσπασε τὸ πτῶμα. Μετὰ τοῦτο ἀποσύρει τὸ ξίφος ἐκ τῆς γῆς, ὅπου εἶχεν ἐμπήξει ὁ Αἴας, καὶ πλησιάζει πρὸς τὸν χορὸν καὶ τοὺς θεατὰς στίχ. 1028.

[2]) Καὶ ἐν στίχ. 815 εἶπε τὸ ξίφος σφαγέα. Τὸ εἶδες ἐνταῦθα σημαίνει ἔγνως.

[3]) Τὰ χειρόγραφα καὶ ὁ Σουίδας ἔχουσιν ἀποφθίσειν, ἀλλ' ὁ Dindorf καὶ ὁ Wunter προτιμῶσι τὸ ἀποφθιεῖν. Εἶναι ὀξύμωρον τὸ θανὼν ἀποφθίσειν, ὡς ἐν Ἀντιγόν. 871 «θανὼν ἔτ' οὖσαν κατήναρές με» καὶ ἐν Τραχιν. 1159. Κατὰ τὸν Bergk ἐνταῦθα λήγει τὸ γνήσιον μέρος τοῦ δράματος, ὅπερ ἀπίθανον. Ὅρα εἰσαγωγ. σελ. 40.

[4]) Περὶ τῶν ὁλεθρίων τούτων δώρων λέγει ὁ Ὅμηρος ἐν Ἰλιάδ. Η, 303 καὶ ἐν τῇ Παλ. Ἀνθολογ. 7, 152 ἀναγινώσκεται· «Πικρὴν ἀλλήλοις Ἕκτωρ χάριν, ἣδε φέρασπις Αἴας ἐκ πολέμου μνῆμ' ἔπορον φιλίης· Ἕκτωρ γὰρ ζωστῆρα λαβὼν ξίφος ἔμπαλι δῶκεν. Τὴν δὲ χάριν δώρων πείρασαν ἐν θανάτῳ· τὸ ξίφος εἶλ' Αἴαντα μεμηνότα, καὶ πάλι ζωστὴρ εἵλκυσε Πριαμίδην δίφρια συρόμενον. Οὕτως ἐξ ἐχθρῶν αὐτοκτόνα πέμπετο δῶρα ἐν χάριτος προφάσει μοῖραν ἔχοντα μόρου».

[5]) Ὁ Σουίδας ἑρμηνεύει· «δεθείς, ἐξαφθείς, δεσμευθεὶς» καὶ ὁ Ἡσύχιος· «πρίονας· χειρῶν τοὺς δεσμούς. πρισμοῖς· ταῖς βιαίοις κατοχαῖς». Λέγει ἱππικῶν ἀντὶ ἁρματείων καθ' Ὅμηρον, ὅστις λέγων ἵππους ἐννοεῖ τὸ ἅρμα. Ἀντύγες εἶναι αἱ στρογγύλαι πλευραὶ τοῦ δίφρου, ὅθεν ἕδεον τὰς ἡνίας, ὅτε οἱ ἵπποι ἵσταντο. Ὁ Σχολιαστὴς ἑρμηνεύει ἁπλῶς· «τοῦ ἅρματος τοῦ ἱππικοῦ», ὡς καὶ ὁ Ὅμηρος ἐν Ἰλιάδ. Χ, 398 εἶπεν· «εἷς δίφροιο δ' ἕδησε».

[6]) Οἱ γραμματικοὶ λέγουσιν, ὅτι τὸ κνάπτω εἶναι ἀρχαῖος ἀττικὸς τύπος ἀντὶ γνάπτω. Σημαίνει δὲ ἐξεσχίζετο, ἐξαίνετο. Ἐνταῦθα ὁ Σοφοκλῆς διαφωνεῖ πρὸς τὸν Ὅμηρον λέγοντα, ὅτι ὁ Ἀχιλλεὺς πρῶτον ἐφόνευσε τὸν Ἕκτορα Ἰλιάδ. Χ 361 καὶ εἶτα ἔδεσε τοῦτον ἐκ τοῦ ἅρματος ἐν στίχ. 396. Εἰκάζομεν, ὅτι τὴν διαφορὰν ταύτην δὲν ἔπλασεν ὁ τραγικός, ἀλλ' εὗρεν ἐν ἄλλοις ἔπεσιν. Παρέλαβε δὲ ταύτην ὡς μάλιστα ἁρμόζουσαν τῇ τραγῳδίᾳ αὐτοῦ. Ἡ διαφωνία αὕτη αἴρεται, ἂν δεχθῶμεν τὴν διόρθωσιν τοῦ Hermann γράψαντος, ἐγνάπτετ'

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὗτος δ' ἐκείνου τήνδε δωρεὰν ἔχων
πρὸς τοῦδ'[1] ὄλωλε θανασίμῳ πεσήματι.
ἆρ' οὐκ Ἐρινὺς τοῦτ' ἐχάλκευσεν ξίφος
κἀκεῖνον[2] Ἅιδης, δημιουργὸς ἄγριος; 1035
ἐγὼ μὲν οὖν καὶ ταῦτα καὶ τὰ πάντ' ἀεὶ
φάσκοιμ' ἂν ἀνθρώποισι μηχανᾶν[3] θεούς·
ὅτῳ δὲ μὴ τάδ' ἐστὶν ἐν γνώμῃ[4] φίλα,
κεῖνός[5] τ' ἐκεῖνα στεργέτω, κἀγὼ τάδε.

ΧΟΡΟΣ.

μὴ τεῖνε μακράν[6], ἀλλ' ὅπως κρύψῃς τάφῳ 1040
φράζου τὸν ἄνδρα, χὤ[7] τι μυθήσει τάχα.
βλέπω γὰρ ἐχθρὸν φῶτα, καὶ τάχ' ἂν κακοῖς

αἰῶν' εὖτ' ἀπέψυξεν βίου, ὅπερ δὲν ἐπιδοκιμάζεται καὶ παρ' αὐτῶν τῶν τολμηροτέρων ἐκδοτῶν. Ἡ ἑπομένη φράσις σημαίνει ἐτελεύτησεν, ἀπέθανεν.

[1]) Δηλαδὴ τοῦ κνώδοντος, περὶ οὗ εἶπεν ἐν στίχ. 1025.

[2]) Κατὰ τὸν Schneidewin ἐκ τοῦ προηγουμένου ἐχάλκευσεν πρέπει νὰ ἐννοήσωμεν ἀπὸ κοινοῦ γενικώτερον ῥῆμα κατεσκεύασεν, εἰργάσατο. Τὸ αὐτὸ ὅμως ῥῆμα ἀρκεῖ καὶ ἐνταῦθα, διότι καὶ οἱ ζωστῆρες εἶχον μετάλλινα κοσμήματα ἢ ἦσαν μετάλλινοι, ὡς λέγει ὁ Morstadt, καὶ Ἡλιόδ. 3, 4 «ζώνην. . . οὔτε πρότερόν τι τοιοῦτον χαλκευσάμενος». Αἱ Ἐρινύες συνήθως ἐτιμώρουν τὸ ἔγκλημα, ἀλλ' ἐν τῇ κακοτροπίᾳ αὐτῶν ἐνίοτε παρεσκεύαζον καὶ τὸ κακόν, ὡς παρ' Αἰσχύλ. ἐν Ἀγαμέμν. 1548 «ὑφαν τοῖς ἐν πέπλοις Ἐρινύων» καὶ Σοφοκλ. ἐν Τραχιν. 1051 «καθῆψεν ὥμοις τοῖς ἐμοῖς Ἐρινύων ὑφαντὸν ἀμφίβληστρον». Λέγεται καὶ Ἄιδου μάχαιρα, δίκτυον.

[3]) Συνήθως ἁπλῶς τὸ μέσον, ἀλλὰ καὶ τὸ ἐνεργητικὸν εὑρηται παρ' Ὁμήρῳ ἐν Ὀδυσσ. ε, 143. Ἡ μνεία τῶν Ἐρινύων καὶ τοῦ Ἄιδου ἤγαγε τὸν Τεῦκρον εἰς τοὺς θεούς. Διὰ τῶν φράσεων τούτων, ὡς φαίνεται, πολεμεῖ τὰς ἀμφιβολίας περὶ τοῦ θείου, αἵτινες ὑπῆρχον κατὰ ταύτην τὴν ἐποχήν.

[4]) Ἐν τῇ διανοίᾳ, κατὰ νόον.

[5]) Μετεχειρίσθη τὴν ἀντωνυμίαν ἐκεῖνος πρὸς δήλωσιν, ὅτι ὁ μὴ δεχόμενος τὴν παρὰ τῶν θεῶν ἐξάρτησιν πάντων ἠθικῶς κεῖται μακρὰν τοῦ λέγοντος. Τοῦτο ἦτο παροιμία κατὰ τὸν Σχολιαστήν. Ὁ Εὔηνος παρ' Ἀθηναίῳ λέγει 9, 367 «καὶ πρὸς μὲν τούτους ἀρκεῖ λόγος εἷς ὁ παλαιός· σοὶ μὲν ταῦτα δοκοῦντ' ἔστω, ἐμοὶ δὲ τάδε» καὶ Εὐριπίδ. ἐν Ἱκέτισ. 466 «σοὶ μὲν δοκείτω ταῦτ', ἐμοὶ δὲ τἀναντία». Μόνον τὸ πρῶτον μέρος τοῦ στίχου ἁρμόζει εἰς τὴν ἀναφορικὴν πρότασιν, οὐχὶ δὲ καὶ τὸ δεύτερον, εἰς ὃ ἐννοεῖται τὸ στέρξω.

[6]) Τοῖς ἀρχαίοις εἶναι συνήθης ἡ φράσις μακρὸν λόγον τείνειν, ἀποτείνειν, μακρὰν ἀνιστορεῖν, ὡς ἐν Τραχ. 317, Εὐριπίδ. ἐν Ἑκάβ. 1177.

[7]) Κατὰ τὸν Σχολιαστήν· «Καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γελῶν ἆ[1] δὴ κακοῦργος ἐξίκοιτ' ἀνήρ.

ΤΕΥΚΡΟΣ.

τίς δ' ἐστίν, ὅντιν'[2] ἄνδρα προσλεύσσεις στρατοῦ;

ΧΟΡΟΣ.

Μενέλαος, ᾧ δὴ τόνδε[3] πλοῦν ἐστείλαμεν.

ΤΕΥΚΡΟΣ.

ὁρῶ· μαθεῖν γὰρ ἐγγὺς ὢν οὐ δυσπετής[4].

ΜΕΝΕΛΑΟΣ.

οὗτος[5], σὲ φωνῶ τόνδε τὸν νεκρὸν χεροῖν
μὴ συγκομίζειν[6], ἀλλ' ἐᾶν ὅπως ἔχει.

ὅ,τι μυθήσῃ πρὸς τὴν ἔφοδον Μενελάου, τουτέστι τὴν ἄφιξιν, ἤτοι πρὸς αὐτὸν Μενέλαον».

1) Ἀντὶ τοῦ ἄτε ἢ οἷα, ὡς Πλάτ. ἐν Φαίδρ. 49, 244 d «πόνων, ἃ δὴ παλαιῶν ἐκ μηνιμάτων» καὶ Δημοσθέν. ἐν Ἐπιστολ. 5,1490. Ἐπειδὴ ὁ ἀνὴρ εἶναι κακοῦργος, ἴσως ἔρχεται γελῶν διὰ τὰς συμφοράς. Ὁ Μενέλαος εἰκονίζεται ὑπὸ τοῦ Ὁμήρου ὡς εὐγενής, ἀλλ' οἱ τραγικοὶ διὰ τὸ μῖσος πρὸς τοὺς Σπαρτιάτας ταπεινοῦσι τὸν ἥρωα καὶ ἐμβάλλουσιν εἰς τὴν ψυχὴν αὐτοῦ πάθη, ὧν οὗτος ἦτο ἀπηλλαγμένος.

2) Ὁ Morstadt παρατηρεῖ, ὅτι ὁ Τεῦκρος δὲν ἠδύνατο οὕτω νὰ ἐρωτήσῃ, διότι ἐν τοῖς προηγουμένοις ὁ χορὸς δὲν εἶπεν, ὅτι ὁ πλησιάζων ἀνήκει εἰς τὸν στρατόν. Διὰ τοῦτο προτείνει, ἵνα ὁ στίχος γραφῇ, Τίς δ' ἔστι; μῶντιν' ἄνδρα προσλεύσσεις στρατοῦ; Δὲν εἶπε μὲν ὁ χορός, ὅτι ὁ πλησιάζων ἀνήκει εἰς τὸν στρατόν, ἀλλ' εἶπεν ἐχθρὸν φῶτα καὶ προέτρεψε τὸν Τεῦκρον νὰ σκεφθῇ, ὅπως ἀπαντήσῃ. Ὁ ἐχθρὸς οὗτος δὲν ἠδύνατο νὰ ἦναι Τρώς· διότι τοιοῦτος δὲν ἠδύνατο νὰ ὑπάρχῃ ἐν τῷ στρατοπέδῳ τῶν Ἀχαιῶν. Πρὸς τοὺς οὕτω διορθοῦντας ἠδυνάμεθα νὰ ποιήσωμεν τὴν ἑξῆς παρατήρησιν. Οἱ ἀρχαῖοι Ἕλληνες εἶχον ἀντίληψιν ἀσυνήθη τῇ χώρᾳ τῶν διορθωτῶν. Τούτου ἕνεκεν καὶ ἐκ τινος ῥήματίου ἠδύναντο καὶ μακρὰν ὑπόθεσιν νὰ ἐννοήσωσιν, ἐν ᾧ οἱ ὁμόφυλοι τῶν διορθωτῶν καίπερ κρίσιν ἔξοχον καὶ ἀναμφισβήτητον κεκτημένοι ὅμως ἔχουσιν ἀνάγκην ἀκεραίας τῆς φράσεως, ὅπως καὶ τὰ εὐνοητότατα ἐννοήσωσιν.

3) Τὸν ἡμέτερον, τὸν κατὰ τῆς Τροίας.

4) Διότι, ἐπειδὴ εἶναι πλησίον, δὲν εἶναι δύσκολος ἢ δύσκολον νὰ τὸν γνωρίσω. Πάνυ πιθανῶς ὁ Bellermann εἰκάζει, ὅτι ὁ Τεῦκρος μετὰ τὸν στίχον τοῦτον κάμπτει, ὅπως ἀσχοληθῇ περὶ τὸ πτῶμα τοῦ ἀδελφοῦ. Οὕτω δεικνύει πλήρη ἀδιαφορίαν πρὸς τὸν Μενέλαον. Ἡ εἰκασία αὕτη στηρίζεται διὰ τῆς φράσεως, φωνῶ τόνδε τὸν νεκρὸν χερεῖν μὴ συγκομίζειν.

5) Ὁ Μενέλαος εἰσελθὼν εἰς τὴν σκηνὴν μετὰ δύο κηρύκων στίχ. 1115 πλησιάζει εἰς τὸ πτῶμα τοῦ Αἴαντος. Τὸ φωνῶ ἐνταῦθα σημαίνει κελεύω, ὡς ἐν στίχ. 1089.

6) Μετὰ τοῦ θεράποντος· ἐπειδὴ μόνον πρὸς τὸν Τεῦκρον λέγει, μετεχειρίσθη τὸ σύνθετον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΕΥΚΡΟΣ.

τίνος χάριν τοσόνδ'[1] ἀνήλωσας λόγον;

ΜΕΝΕΛΑΟΣ.

δοκοῦντ' ἐμοί, δοκοῦντα δ' ὃς[2] κραίνει στρατοῦ.

ΤΕΥΚΡΟΣ.

οὔκουν ἂν εἶποις, ἥντιν' αἰτίαν προθείς[3];

ΜΕΝΕΛΑΟΣ.

ὀθούνεκ'[4] αὐτὸν ἐλπίσαντες οἴκοθεν
ἄγειν Ἀχαιοῖς ξύμμαχόν τε καὶ φίλον,
ἐξεύρομεν ζητοῦντες[5] ἐχθίω Φρυγῶν,
ὅστις στρατῷ ξύμπαντι βουλεύσας φόνον
νύκτωρ ἐπεστράτευσεν, ὡς ἕλοι δόρει[6].
κεἰ μὴ θεῶν τις[7] τήνδε πεῖραν ἔσβεσεν,
ἡμεῖς μὲν ἂν τήνδ'[8], ἣν δ' εἵληχεν, τύχην
θανόντες[9] ἂν προὐκείμεθ' αἰσχίστῳ μόρῳ,
οὗτος δ' ἂν ἔζη. νῦν δ' ἐνήλλαξεν θεὸς

[1]) Ὁ Τεῦκρος ἀποκρίνεται μετά τινος περιφρονήσεως.

[2]) Ἐννοεῖ τὸν Ἀγαμέμνονα. Παραπλήσιον παρὰ Juvenal. 6, 223 «hoc volo, sic gubeo; sit pro ratione voluntas».

[3]) Κατὰ διαφόρους τρόπους συμπληροῦσιν τὴν πρότασιν· ὁ μὲν Schneidewin διὰ τοῦ, τοσόνδ' ἀνήλωσας λόγον, ὁ δὲ Dindorf διὰ τοῦ κελεύεις με μὴ συγκομίζειν τὸν νεκρόν καὶ ὁ Bellermann ἐκ τοῦ ἀνήλωσας λόγον ἐξάγει τὸ εἶπας.

[4]) Ὅτι, διότι. Ὡς τὸ οὕνεκα ἐγένετο ἐκ τοῦ οὗ ἕνεκα, οὕτω τὸ ὀθούνεκα ἐκ τοῦ ὅτου ἕνεκα.

[5]) Σημαίνει ἐξετάζοντες. ὡς ἑρμηνεύει ὁ Τρικλίνιος, καὶ ποιεῖ ἀντίθεσιν εἰς τὸ ἐλπίσαντες. Ὁ Μενέλαος ἐπιλανθανόμενος τῶν πολλῶν ὑπηρεσιῶν τοῦ Αἴαντος λέγει, ὡσεὶ νῦν τὸ πρῶτον ὁ ἥρως ἐδοκιμάσθη.

[6]) Ἐν τοῖς χειρογράφοις ἀναγινώσκεται δορί, ἀλλ' οἱ νεώτεροι κριτικοὶ προτιμῶσι δόρει.

[7]) Καὶ εἰ μὴ ὁ Μενέλαος ἤκουσε παρὰ τοῦ Ὀδυσσέως, ὅτι ἡ Ἀθηνᾶ ἔσωσε τοὺς ἡγεμόνας, ἠδύνατο νὰ ἀποδώσῃ τὴν σωτηρίαν τοῖς θεοῖς. Τὴν ἑπομένην φράσιν ὁ Σχολιαστὴς ἑρμηνεύει· «Ὁρμὴν ἔπαυσεν».

[8]) Ταύτην τὴν λέξιν προφέρων ὁ Μενέλαος δείκνυσι τὸ πτῶμα τοῦ Αἴαντος, ὡς εἰκάζει ὁ Morstadt.

[9]) Ὁ αὐτὸς ἀνὴρ παρατηρεῖ, ὅτι τὸ τύχην τινὰ ἀποθνήσκειν δὲν εἶναι ἑλληνικὸν καὶ τὸ αἰσχίστῳ μόρῳ παρέγει δυσκολίαν, ἂν πρέπῃ να συντάξωμεν μετὰ τοῦ προὐκείμεθα ἢ μετὰ τοῦ θανόντες. Τούτου ἕνεκεν προτείνει,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν τοῦδ' ὕβριν[1] πρὸς μῆλα καὶ ποίμνας πεσεῖν.
ὧν οὕνεκ' αὐτὸν[2] οὔτις ἔστ' ἀνὴρ σθένων
τοσοῦτον ὥστε σῶμα τυμβεῦσαι τάφῳ,
ἀλλ' ἀμφὶ χλωρὰν[3] ψάμαθον ἐκβεβλημένος
ὄρνισι φορβὴ[4] παραλίοις γενήσεται.
πρὸς ταῦτα μηδὲν δεινὸν ἐξάρῃς[5] μένος.
εἰ γὰρ βλέποντος μὴ 'δυνήθημεν κρατεῖν,
πάντως θανόντος γ' ἄρξομεν, κἂν μὴ θέλῃς,
χερσὶν παρευθύνοντες[6]. οὐ γὰρ ἔσθ' ὅπου

ἵνα τὸ θανόντες τραπῇ εἰς λαχόντες, ὅπερ δὲν εἶναι ἀτυχές. Ἀλλὰ κατὰ τὸν Schneidewin ἡ ἐλευθερία αὕτη τῆς συντάξεως ἐγένετο κατὰ τὰ ὁμηρικά, ἀπολέσθαι αἰπὺν ὄλεθρον, κακὸν οἶτον κτλ.

[1]) Κατὰ τὸν Σχολιαστήν· «Ἀντέστρεψεν, ὥστε τὴν ἄτιμον πρᾶξιν τοῦδε πρὸς βοσκήματα καὶ πρόβατα πεσεῖν». Ὁ Schneidewin εἰκάζει, ὅτι ὁ στίχος οὗτος παρενετέθη ὑπὸ διασκευαστοῦ ζητοῦντος ἀντικείμενον τοῦ ἐνήλλαξεν.

[2]) Ὁμαλῶς ἤθελεν εἰπεῖ αὐτοῦ σῶμα, ἀλλ' ἐκεῖ, ἔνθα πρόκειται περὶ τυμβεύσεως, τίθησιν ὁ ποιητὴς τὸ σῶμα. Κατὰ τὸν Wolff ὡς ἀντίθεσις ἤθελεν εἶναι κενοτάφιον. Ἡ μετοχὴ σθένων ἔχει ἐπιθετικὴν σημασίαν.

[3]) Νομίζομεν, ὅτι δὲν εἶναι ὀρθὴ ἡ τοῦ Σχολιαστοῦ παρατήρησις· «Διὰ τὰ ἐκεῖσε φυτά», ἀλλὰ τὸ ἐπίθετον δηλοῖ τὸ χρῶμα τῆς ἄμμου καὶ τοῦτο, ὅπως ἡ εἰκὼν γείνῃ φοβερωτέρα.

[4]) Τοῦτο ἐν τῷ ἡρωικῷ αἰῶνι ἐθεωρεῖτο φοβερώτατον καὶ ἀπαισιώτατον, ὡς μαρτυρεῖ ὁ ποιητὴς τῆς Ἰλιάδος, ὅστις τὸ τοιοῦτον ὡς λίαν φοβερὸν ἐν τῷ προοιμίῳ τοῦ ἔπους προέταξεν· «αὐτοὺς δὲ ἑλώρια τεῦχε κύνεσσιν οἰωνοῖσι τε πᾶσι». Ὅρα εἰσαγωγ. σελ. 39.

[5]) Δὲν εἶναι ἀτυχὴς ἡ παρατήρησις τοῦ Σχολιαστοῦ· «Μὴ ἀντάρῃς χαλεπὴν ἔνστασιν. Τὸ ἀνταίρειν κυρίως ἐπὶ τῶν ἀντιτασσομένων λέγεται χερσὶν αἱρομέναις, ἢ ῥάβδοις, ἢ τοιούτοις τισί».

[6]) Ὁ Morstadt νομίζει, ὅτι τὸ ὁδηγεῖν νεκρὸν διὰ τῶν χειρῶν εἶναι ὅλως ἀκατάληπτον. Τούτου ἕνεκεν θεραπεύει τὸ χωρίον διὰ τῆς μεταθέσεως τοῦ στίχου 1069 μετὰ τὸ τέλος τῆς ἑπομένης αἰτιολογικῆς προτάσεως οὑτωσί· «Εἰ γὰρ βλέποντος μὴ 'δυνήθημεν κρατεῖν χερσὶν παρευθύνοντες· οὐ γὰρ ἔσθ' ὅπου λόγων ἀκοῦσαι ζῶν ποτ' ἠθέλησ' ἐμῶν· πάντως θανόντος γ' ἄρξομεν, κἂν μὴ θέλῃς. Νομίζει δ', ὅτι διὰ τῆς μεταθέσεως διευκολύνεται καὶ ἡ κατάληψις τῶν ἑπομένων· διότι τὰ ἑπόμενα ἀναφέρει εἰς τὸν Τεῦκρον καὶ οὐχὶ εἰς τὸν Αἴαντα, ὃν δὲν ἠδύνατο νὰ ὀνομάσῃ δημότην. Ἀλλὰ καὶ ἂν τοῦτο ἐξηγηθῇ, πάντα τὰ ἄλλα ἀναφέρονται εἰς τὸν Αἴαντα, ὡς τὸ κἂν σῶμα γεννήσῃ μέγα. Τὸ παρευθύνειν ὁ μὲν Σχολιαστὴς ἐξηγεῖ παρακλίνειν, ὁ δὲ Ἡσύχιος παραφέρειν, βιάζεσθαι. Νομίζομεν ὅμως, ὅτι ὀρθότερον ἑρμηνεύει ὁ Wolff παρατηρῶν, ὅτι τὸ χερσὶν εὐθύνειν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λόγων ἀκοῦσαι ζῶν ποτ' ἠθέλησ' ἐμῶν[1]. 1070
καίτοι κακοῦ πρὸς ἀνδρὸς[2] ἄνδρα δημότην
μηδὲν δικαιοῦν[3] τῶν ἐφεστώτων κλύειν.
οὐ γὰρ πότ' οὔτ' ἂν ἐν πόλει νόμοι καλῶς
φέροιντ'[4] ἄν, ἔνθα μὴ καθεστήκοι δέος,
οὔτ' ἂν στρατός γε σωφρόνως ἄρχοιτ'[5] ἔτι, 1075
μηδὲν φόβου πρόβλημα[6] μηδ' αἰδοῦς ἔχων.
ἀλλ' ἄνδρα χρή, κἂν[7] σῶμα γεννήσῃ μέγα,
δοκεῖν πεσεῖν ἂν κἂν ἀπὸ σμικροῦ κακοῦ.

λέγεται ἐπὶ παίδων καὶ ὅτι ἐνταῦθα σκωπτικῶς λέγει ἐν ἀντιθέσει πρὸς τὸ λόγων. Ἐν ἄλλαις λέξεσι λέγει ὁ Μενέλαος· θὰ τὸν ὁδηγήσωμεν διὰ τῶν χειρῶν, ὡς μικρὸν παιδίον, διότι λόγους δὲν ἤθελε νὰ ἀκούσῃ.

[1]) Ὑπέρτατος ἡγεμὼν τοῦ στρατοῦ τῶν Ἀχαιῶν ἦτο ὁ Ἀγαμέμνων, ἐνίοτε δ' ὁ ἀδελφὸς τάσσεται μετ' αὐτοῦ καὶ ἁπαντᾷ ἡ ὡράσις Ἀτρεῖδαι. Ἐνταῦθα ὁ Μενέλαος ἀλαζονευόμενος εἰκονίζει ἑαυτὸν ὡς τὸν ἡγεμόνα. Τοῦτο ποιεῖ ὁ ποιητής, ἵνα τὰ ὑπὸ τοῦ Μενελάου λεγόμενα ἀποδοθῶσι τοῖς συγχρόνοις.

[2]) Κατὰ τὸν Σχολιαστὴν· «Ἰδιόν ἐστιν ἀνδρὸς κακοτρόπου»· ὅρα ἐν στίχ. 319. Ἐξ ἀλαζονείας πάλιν ὁ Μενέλαος λέγει τὸν Αἴαντα ἄνδρα δημότην. Ἀντὶ τοῦ ἄνδρα ὁ Reiske γράφει ὄντα, ὅπερ δέχεται καὶ ὁ Nauck.

[3]) Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Μηδαμῶς δίκαιον κρίνειν τῶν ἐπιστατῶν, ἢ τῶν ἀρχόντων ὑπακούειν».

[4]) Εἰκάζει ὁ Schneidewin, ὅτι ἠδύνατο νὰ γραφῇ κέοιντ', ὅπερ δὲν εἶναι ἀναγκαῖον. Τὸ ῥῆμα σημαίνει εὐδοκιμεῖν, προκόπτειν, ὡς παρὰ Ξενοφῶντ. ἐν Ἑλλην. 3, 4, 25 «βασιλεὺς ἔγνω κακῶς φέρεσθαι τὰ ἑαυτοῦ» καὶ ἐν Οἰκονομικ. 5, 17 «ἡ γεωργία εὖ φέρεται». Ὁ Μενέλαος ἐνταῦθα κηρύσσει ἀρχὰς Σπαρτιατικῆς αὐστηρότητος, Πλούταρχ. ἐν βίῳ Κλεομέν. 9 «Τιμῶσι (οἱ Λακεδαιμόνιοι) δὲ τὸν φόβον οὐχ ὥσπερ οὓς ἀποτρέπονται δαίμονας, ἡγούμενοι βλαβερόν, ἀλλὰ τὴν πολιτείαν μάλιστα συνέχεσθαι φόβῳ νομίζοντες... Καὶ τὴν ἀνδρείαν δέ μοι δοκοῦσιν οὐκ ἀφοβίαν, ἀλλὰ φόβον ψόγου καὶ δέος ἀδοξίας οἱ παλαιοὶ νομίζειν». Ὅρα καὶ Θουκυδίδ. II, 11.

[5]) Τὸ ῥῆμα κεῖται παθητικῶς, ὡς ἐν Ἀντιγόν. 533 «οὕνεκ' ἀρχόμεσθ' ἐκ κρεισσόνων».

[6]) Ὁ ποιητὴς τὸν φόβον καὶ τὴν αἰδῶ εἰκονίζει ὡς ἀμυντήρια ὅπλα. Οἱ ἀρχαῖοι συνέδεον τὸν φόβον μετὰ τῆς αἰδοῦς, Ἰλιάδ. Ο, 657 «οὐδ' ἐκέδασθεν ἀνὰ στρατόν· ἶσχε γὰρ αἰδὼς καὶ δέος», Πλάτ. ἐν Εὐθύφρον. 12 Α «ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς», ἐν Πολιτ. V, 465 Α «ἱκανὼ γὰρ τὼ φύλακε κωλύοντε δέος τε καὶ αἰδώς». Ὅρα καὶ Πλούταρχ. ἐν Βίῳ Κλεομ. 9.

[7]) Τοῦτο μὲν τὸ κἂν περιέχει τὸ καὶ ἐάν, τὸ δὲ τοῦ ἑπομένου στίχου καὶ ἄν. Ἀντὶ τοῦ γεννᾶν σῶμα. Ἡ μεταφορά, ἥτις ὑποδηλοῖ περιφρόνησιν πρὸς τὸ σῶμα, ἐγένετο κατὰ τὸ φύειν τρίχας, ὀδόντας, πτερά. Ὁ Αἴας ὑπερεῖχε πάντας τοὺς Ἀχαιοὺς κατὰ τὸ μέγεθος τοῦ σώματος Ἰλιαδ. Γ, 227.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δέος γὰρ ᾧ πρόσεστιν αἰσχύνη[1] θ' ὁμοῦ,
σωτηρίαν ἔχοντα[2] τόνδ' ἐπίστασο·
ὅπου δ' ὑβρίζειν δρᾶν θ', ἃ βούλεται, παρῇ[3],
ταύτην νόμιζε τὴν πόλιν χρόνῳ ποτὲ[4]
ἐξ[5] οὐρίων δραμοῦσαν ἐς βυθὸν πεσεῖν.
ἀλλ' ἐστάτω μοι καὶ δέος τι καίριον,
καὶ μὴ δοκῶμεν, δρῶντες, ἂν[6] ἡδώμεθα,
οὐκ ἀντιτίσειν αὖθις, ἂν λυπώμεθα.
ἕρπει παραλλὰξ[7] ταῦτα. πρόσθεν οὗτος ἦν
αἴθων[8] ὑβριστής· νῦν δ' ἐγὼ μέγ' αὖ φρονῶ.
καί σοι προφωνῶ τόνδε μὴ θάπτειν, ὅπως
μή, τόνδε θάπτων, αὐτὸς εἰς ταφὰς πέσῃς[9].

[1]) Σημαίνει, ὅ τι πρὸ ὀλίγου ἐσήμαινεν ἡ αἰδώς.

[2]) Ἰσοδυναμεῖ πρὸς τὸ σῳζόμενον.

[3]) Τὸ ὅπου φέρεται εἰς ὑποτακτικήν, ὡς τὸ ἔνθα ἐν Οἰδίποδ. τυράνν. 316. Ὑποκείμενον τοῦ βούλεται εἶναι ἡ ἀόριστος ἀντωνυμία τίς, ἥτις ἐννοεῖται καὶ εἰς τὰ ἀπαρέμφατα.

[4]) Ὁ Elmsley προσέκρουσεν ἐν τῇ χασμῳδίᾳ τοῦ ποτὲ ἐξ καὶ ἐν τῇ ἐλλείψει τοῦ ἄν, ὅπερ ἀπαιτεῖ τὸ πεσεῖν. Κατὰ τὸν Morstadt καὶ αἱ δύο δυσκολίαι αἴρονται, ἂν τὸ ποτὲ τραπῇ εἰς ποτ' ἄν. Ὁ Hermann ὅμως νομίζει περιττὴν πᾶσαν διόρθωσιν· διότι ἂν ὁ λόγος δὲν ἦτο πλάγιος, ἀλλ' ὀρθός, ἤθελεν εἶναι· ὅπου δρᾶν, ἃ βούλεται, πάρα, αὕτη ἡ πόλις χρόνῳ ποτὲ ἐς βυθὸν ἔπεσεν, ἔνθα τὸ ἔπεσεν εἶναι γνωμικὸς ἀόριστος.

[5]) Οὐχὶ ἀφυῶς ὁ Morstadt εἰκάζει, ὅτι τὸ ἐξ δυνάμεθα νὰ τρέψωμεν κἀξ. Ὁ Εὐστάθιος ἐν Ὀδυσσ. δ, 420 ἑρμηνεύει ἐξ εὐδιεινῶν πνευμάτων. Κατὰ τὸν Σχολιαστὴν τοῦ Ἀριστοφάνους ἐν Ὄρνιθι 29 «Ἀεὶ οἱ ποιηταὶ τὰς πολεις πλοίοις παραβάλλουσι, καὶ Σοφοκλῆς». ὅρα Οἰδίποδ. τύραν. 22 καὶ Αἰσχύλ. ἐν Ἑπτ. 739.

[6]) Τὸ ἡδεσθαι καὶ τὸ λυπεῖσθαι συνέταξε πρὸς αἰτιατικὴν ἀντὶ δοτικῆς. Κατὰ τὸν Bellermann συχνάκις τίθεται αἰτιατικὴ τοῦ οὐδετέρου τῆς ἀντωνυμίας, ὅπου τὰ οὐσιαστικὰ τίθενται κατὰ γενικὴν ἢ δοτικήν. Τὸ ἐνταῦθα λεγόμενον εἶναι παροιμιακόν, ὡς παρ' Ἡσιόδ. ἐν Ἔργ. 721 «εἰ δὲ κακὸν εἴπῃς, τάχα κ' αὐτὸς μεῖζον ἀκούσαις» καὶ Σοφοκλ. ἐν ἀποσπάσμ. 844 «φιλεῖ δὲ πολλὴν γλῶσσαν ἐχέας μάτην ἄκων ἀκούειν οὓς ἑκὼν εἶπεν λόγους».

[7]) Κατὰ τὸν Σχολιαστήν· «Οὐχ ἵσταται ἐπὶ τῶν αὐτῶν. Ἦν τότε ὑβριστὴς οὗτος, ἀλλὰ νῦν ἐν μεταβολῇ γέγονε. Καὶ ἡμεῖς οἱ πρότερον κρατούμενοι ὑπ' αὐτοῦ, νῦν κρατοῦμεν καὶ μέγα φρονοῦμεν».

[8]) Ὀξύς, ὁρμητικός, ὡς παρὰ Πλάτωνι ἐν Πολιτ. VIII, 559 d «αὖθωσι θηρσὶ καὶ δεινοῖς».

[9]) Ἡ ταφὴ ἐνταῦθα κεῖται ἀντὶ τοῦ τάφος, ὡς παρὰ Στράβων. IX, 412 καὶ 414 «δείκνυται ἐνταῦθα ταφὴ τῶν τελευτησάντων» καὶ Αἰλιαν. ἐν Ποικίλ. ἱστορ. XII, 21

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΧΟΡΟΣ.

Μενέλαε, μὴ γνώμας[1] ὑποστήσας σοφὰς
εἶτ' αὐτὸς ἐν θανοῦσιν[2] ὑβριστὴς γένῃ.

ΤΕΥΚΡΟΣ.

οὐκ ἄν ποτ', ἄνδρες, ἄνδρα θαυμάσαιμ' ἔτι[3],
ὃς μηδὲν ὢν γοναῖσιν[4] εἶθ' ἁμαρτάνει,
ὅθ' οἱ δοκοῦντες[5] εὐγενεῖς πεφυκέναι 1095
τοιαῦθ' ἁμαρτάνουσιν ἐν λόγοις[6] ἔπη.
ἄγ', εἶπ' ἀπ' ἀρχῆς αὖθις· ἦ σὺ φῂς ἄγειν
τὸν ἄνδρ' Ἀχαιοῖς δεῦρο σύμμαχον λαβών;
οὐκ αὐτὸς ἐξέπλευσεν, ὡς αὑτοῦ κρατῶν;
ποῦ[7] σὺ στρατηγεῖς τοῦδε; ποῦ δέ σοι λεῶν 1100
ἔξεστ' ἀνάσσειν, ὧν ὁδ' ἡγεῖτ'[8] οἴκοθεν;
Σπάρτης[9] ἀνάσσων ἦλθες, οὐχ' ἡμῶν κρατῶν,

«ἐς τὰς πατρῴας ταφάς». Ὁ Μενέλαος ἀπειλεῖ τὸν Τεῦκρον μετὰ σαρκασμοῦ. Ὅρα, ὅτι συνεσώρευσε πολλὰ τ. ὡς ἐν Οἰδίποδ. τυράνν. 371.

1) Ὀρθῶς λέγει ὁ Σχολιαστής· «Ἐπειδὴ τὰ περὶ τῆς εὐπειθείας ἄριστα ἐγνωμολόγησε. Διάκειται μὲν ὁ χορὸς πρὸς τὸν Τεῦκρον, ὑπεσταλμένως δὲ διαλέγεται διὰ τὸ τοῦ βασιλέως ἀξίωμα».

2) Ἀντὶ εἰς θανόντας, ὡς ἐν στίχ. 1315 «καὶ δεινὸς εἶναι μᾶλλον, ἢ ἐν ἐμοὶ θρασύς». Ἐκ προθέσεως μετεχειρίσθη τὸ ὑβριστὴς ἐν σχέσει πρὸς τὸ ἐν στίχ. 1088. Εἶπες, ὅτι ὁ Αἴας ἦτο ὑβριστής, ἀλλὰ πρόσεχε, μὴ σὺ γείνῃς τοιοῦτος πρὸς τοὺς θανόντας.

3) Ἀφ' οὗ ἐγνώρισα τὸν εὐγενῆ ἁμαρτάνοντα. Κατὰ τὸν Σχολιαστὴν ἐν στίχ. 1055· «Πρῶτον κεφάλαιον, ὅτι ἐπίβουλος ἦν τῶν Ἑλλήνων, δεύτερον, ὅτι ἀπειθής· ἐντεῦθεν δὲ τὴν πρόφασιν τῆς ἀντιλογίας λήψεται ὁ Τεῦκρος, ὅτι οὐκ εἰσὶν αὐτῷ βασιλεῖς οἱ Ἀτρεῖδαι».

4) Οὗτος λέγεται δυσγενής.

5) Τὸ ἀντίθετον εἶναι οἱ ὄντες.

6) Λόγος μὲν εἶναι τὸ ὅλον, ἔπος δὲ ἡ φράσις, ὡς παρὰ Πλάτων. ἐν Ἀπολογ. 17 Β «κεκαλλιεπημένους γε λόγους» καὶ Θουκυδ. III, 67 «ἁμαρτανομένων δὲ λόγοι ἔπεσι κοσμηθέντες προκαλύμματα γίγνονται».

7) Εἶναι ἐναργέστερον τοῦ πῶς ἢ πότε, ὡς ἐν Οἰδίποδ. τυράνν. 390 «ποῦ σὺ μάντις εἶ σαφής;» Τὸν περὶ ἐπιβουλῆς λόγον ἀποφεύγει ὁ Τεῦκρος ὡς δυσανάτρεπτον. Τὴν γενικὴν λεῶν συνήθως οἱ ἐκδόται περισπῶσιν, ἀλλ' ὁ Bellermann ὀξύνει παρατηρῶν, ὅτι τὰ ὀξύτονα τῆς δευτέρας ἀττικῆς κλίσεως διατηροῦσι τὸν τόνον τοῦτον ἐν πάσαις ταῖς πτώσεσιν.

8) Τὸ ἐν τοῖς χειρογράφοις ἦγαγ' δὲν ἤρεσε τοῖς κριτικοῖς, ἀλλ' ὁ μὲν Porson διώρθωσεν εἰς ἦγεν, ὁ δὲ Elmsley ἤθελεν ἦγαγ' ἢ ἤγετ', καὶ ὁ Dindorf μετ' ἄλλων ἡγεῖτ', ὅπερ προετιμήσαμεν.

9) Μεθ' ὑπαινιγμοῦ εἰς τὴν ἡγε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐδ' ἔσθ' ὅπου σοι τόνδε κοσμῆσαι πλέον
ἀρχῆς[1] ἔκειτο θεσμός, ἢ καὶ τῷδε σέ.
ὕπαρχος[2] ἄλλων δεῦρ' ἔπλευσας, οὐχ ὅλων
στρατηγός, ὥστ' Αἴαντος ἡγεῖσθαί ποτε
ἀλλ' ὥνπερ ἄρχεις ἄρχε, καὶ τὰ σέμν' ἔπη
κόλαζ'[3] ἐκείνους· τόνδε δ', εἴτε μὴ σὺ φῄς,
εἴθ' ἄτερος[4] στρατηγός, εἰς ταφὰς ἐγὼ
θήσω δικαίως, οὐ τὸ σὸν δείσας στόμα[5].
οὐ γάρ τι τῆς σῆς οὕνεκ' ἐστρατεύσατο
γυναικός, ὥσπερ οἱ πόνου πολλοῦ πλέῳ[6],
ἀλλ' οὕνεχ' ὅρκων[7], οἵσιν ἦν ἐνώμοτος,

μονίαν τῆς Σπάρτης λέγεται τοῦτο. Ὅρα εἰσαγωγ. σελ. 55.

1) Θεσμὸς ἀρχῆς εἶναι τὸ δίκαιον τοῦ ἄρχειν, lex imperii. Ἐκ τοῦ ἀρχῆς ἐξαρτᾶται τὸ κοσμῆσαι. Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Οὐδὲ ἔστι τόπος, ὅπου ἔκειτό σοι νόμος ἀρχῆς κοσμῆσαι τοῦτον, πλέον παρ' ὃ ἔκειτο καὶ τῷδε κοσμῆσαι σέ».

2) Δηλαδὴ ὑπ' ἄλλους ἄρχων. Οὐ μόνον δὲν ἄρχεις ἄλλων, ἀλλ' ὑπ' ἄλλων ἄρχεσαι. Κατὰ τὸν Wolff ὁ ποιητὴς ἔπρεπε νὰ εἴπῃ ὅλου στρατοῦ, ἀλλὰ κατ' ἀφομοίωσιν πρὸς τὸ ἄλλων εἶπεν ὅλων. Ὁ Wunder, ὁ Schneidewin καὶ ἄλλοι λέγουσιν, ὅτι εἶναι γένους οὐδετέρου, ὡς ἐν τῇ φράσει τὴν τῶν ὅλων δεσποτείαν ἔχειν. Ἀλλ' ἐν τοιαύτῃ σημασίᾳ ἔπρεπε νὰ θέσῃ τὸ ἄρθρον, ὡς παρὰ Ξενοφῶντ. ἐν Κύρ. παιδ. 8, 1, 5 «τῆς τῶν ὅλων σωτηρίας ἐπιμελεῖσθαι». Ὁ Schneidewin καὶ ὁ Wecklein εἰκάζουσιν, ὅτι ὁ στίχος οὗτος καὶ ὁ ἑπόμενος παρενεβλήθησαν ὑπὸ διασκευαστοῦ.

3) Ἀντὶ λέγων ἔπη κόλαζε αὐτοῖς ἐκείνους, ὡς ἐν Οἰδίποδ. τυράνν. 340 «ἔπη κλύων, ἃ νῦν σὺ τήνδ' ἀτιμάζεις πόλιν;» Κατὰ τὸν Σχολιαστήν· «Διὰ τῶν σεμνῶν ἐπῶν κόλαζε τοὺς ὑπὸ σέ». Μετεχειρίσθη τὸ ἄρθρον πρὸς δήλωσιν τῶν λόγων, οὓς λέγεις.

4) Δηλαδὴ ὁ Ἀγαμέμνων. Λέγει οὕτω, διότι ὁ Μενέλαος μετὰ τοῦ ἀδελφοῦ ἐνοεῖτο.

5) Χωρὶς νὰ φοβηθῶ τὸν σὸν λόγον, ὡς ἐν Ἀντιγόν. 997 «ἐγὼ τὸ σὸν φρίσσω στόμα».

6) Ἐν τῇ φράσει ταύτῃ ὁ Σχολιαστὴς ἑνορᾷ μισθοφόρους, ὅπερ δὲν εἶναι πιθανόν· διότι ἐν τοῖς ὁμηρικοῖς ἔπεσι δὲν ἀπαντῶσι τοιοῦτοι. Ὀρθότερον ὁ Wolff ἐννοεῖ ἐκείνους, ὧν ἄρχεις στίχ. 1108. Κατὰ τὸν Nauck ὑπαινίσσεται τοὺς ἀεὶ μαχθοῦντας Λακεδαιμονίους, περὶ ὧν ὁ Περικλῆς παρὰ Θουκυδίδ. II, 39 λέγει· «ἐπιπόνῳ ἀσκήσει εὐθὺς νέοι ὄντες τὸ ἀνδρεῖον μετέρχονται». Ὁ Morstadt διορθοῖ τὸ πόνου εἰς πόθου, ἐξ οὗ ἐξάγεται ἄλλη ἔννοια. Ὅρα, ὅτι διὰ τῆς ἐπισωρεύσεως τῶν πολλῶν σ εἰκονίζει τὸ πρᾶγμα.

7) Τὸν μῦθον ἀφηγεῖται ὁ Σχολιαστής· «Τῶν γὰρ ἀριστέων συνελθόντων ἐπὶ τὴν τῆς Ἑλένης μνηστείαν, ὁ Τυνδάρεως, πάντας ὅρκους ἀπήτησε συναγωνίσεσθαι τῷ γαμοῦντι αὐτὴν καὶ στρατεύσειν, εἰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σοῦ[1] δ' οὐδέν· οὐ γὰρ ἠξίου τοὺς μηδένας[2].
πρὸς ταῦτα πλείους δεῦρο κήρυκας[3] λαβὼν
καὶ τὸν στρατηγὸν ἧκε. τοῦ δὲ σοῦ ψόφου
οὐκ ἂν στραφείην[4], ὡς ἂν ᾖς οἷός περ εἶ.

ΧΟΡΟΣ.

οὐδ' αὖ[5] τοιαύτην γλῶσσαν ἐν κακοῖς φιλῶ.
τὰ σκληρὰ γάρ τοι, κἂν ὑπέρδικ'[6] ᾖ, δάκνει.

ΜΕΝΕΛΑΟΣ.

ὁ τοξότης[7] ἔοικεν οὐ σμικρὸν φρονεῖν.

τις ἁρπαγὴ γένοιτο περὶ τὴν Ἑλένην τῷ γήμαντι».

1) Ἡ ἐπανάληψις ἐξαίρει τὴν κυρίαν ἔννοιαν τῆς προτάσεως, ὡς ἐν Ἀντιγόν. 468.

2) Διότι δὲν ἐτίμα τοὺς μηδεμίαν ἀξίαν ἔχοντας.

3) Ἐν τῷ ἡρωϊκῷ αἰῶνι οἱ κήρυκες ἦσαν τὰ ὄργανα τῆς ἐκτελεστικῆς ἐξουσίας. Οὗτοι ἤρχοντο εἰς τὴν σκηνὴν ὡς κωφὰ πρόσωπα, ὡς ὁρυφορήματα, περὶ ὧν ὁ Εὐστάθιος ἐν σελ. 780 λέγει· «Οἱ κήρυκες οὐδ' ὅλως προσφωνοῦνται, ἀλλ' ἀρχὰ καὶ νῦν παρεισάγονται πρόσωπα, ὁποῖα πολλὰ καὶ ὕστερον ποιοῦσιν οἱ σκηνικοί». Ταῦτα ὁ Τεῦκρος λέγει τῷ Μενελάῳ πρὸς περιφρόνησιν.

4) Τὸ στρέφεσθαι ἔχον τὴν σημασίαν τοῦ ἐπιστρέφεσθαι καὶ ἐντρέπεσθαι συντάσσεται πρὸς γενικήν. Κατὰ τὸν Schneidewin ἰσοδυναμεῖ πρὸς τὸ φροντίσαιμι. Ἀντὶ τοῦ ὡς οὐχὶ ὀλίγοι ἐκδόται ἔτρεψαν εἰς ἔως ἢ ἔστ' ἄν. Ἀλλὰ τὸ ὡς πολλαχοῦ κεῖται ἐν τῇ σημασίᾳ τοῦ ἕως, ὡς ἐν Φιλοκτήτ. 1329 «παῦλαν ἴσθι μήποτ' ἂν τυχεῖν, ὡς παρ' ἂν ἥλιος ταύτῃ μὲν αἴρῃ» καὶ Εὐριπίδ. ἐν Φοιν/σσ. 92.

5) Ὡς ὁ χορὸς ἀπεδοκίμασε τὸν λόγον τοῦ Μενελάου, οὕτω πάλιν δὲν ἐπιδοκιμάζει τὸν τοῦ Τεύκρου. Τὸ ἐν κακοῖς σημαίνει ἐν συμφορᾷ, ἐν οἷᾳ εὑρίσκεται νῦν ὁ Τεῦκρος, ὡς παρ' Αἰσχύλ. ἐν Ἀγαμέμν. 1612 «Αἴγισθ', ὑβρίζειν ἐν κακοῖσιν οὐ σέθω».

6) Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Κἂν ὑπερβολικῶς ὦσι δίκαια».

7) Ποιεῖ ἀντίθεσιν πρὸς τὸ οὐ σμικρὸν φρονεῖν = ὑψηλοφρονεῖν, δηλ. καίπερ ὢν τοξότης, ὅμως μεγαλοφρονεῖ. Δὲν ἀποτείνει δὲ τὸν λόγον πρὸς τὸν Τεῦκρον, ἀλλὰ πρὸς τοὺς παρεστῶτας πρὸς μείζονα περιφρόνησιν. Ἐν τῇ ἀρχαιοτάτῃ ἐποχῇ οἱ τοξόται ἢ τοξοφόροι δὲν περιεφρονοῦντο, ὡς μαρτυρεῖ τοῦθ', ὅτι θεοί, ὡς ὁ Ἀπόλλων καὶ ἡ Ἄρτεμις, καὶ ἐπιφανεῖς ἥρωες, ὡς ὁ Ἡρακλῆς καὶ ὁ Φιλοκτήτης, ἔφερον τόξον. Μόνον ἐν Ἰλιάδ. Λ, 388 λέγεται περὶ τοῦ Πάριδος μετά τινος περιφρονήσεως «τοξότα, λωβητήρ». Ἀφ' ὅτου ὅμως οἱ Σπαρτιᾶται ἐβελτίωσαν τὰ τῆς στρατιωτικῆς παρατάξεως, οἱ ψιλοὶ μάχιμοι περιεφρονοῦντο καὶ συνήθως τοιοῦτοι ἦσαν εἴλωτες καὶ δοῦλοι. Καὶ ἐνταῦθα λοιπὸν ὁ Μενέλαος λέγει ὡς Σπαρτιάτης. Οὐ μὴν ἀλλὰ καὶ ἐν Ἀθήναις οἱ τοξόται δὲν ἐτιμῶντο καὶ ἐνταῦθα οἱ τὰ ἀστυνομικὰ καθήκοντα τελοῦντες ἦσαν Σκύθαι τοξόται. Παραπλήσιον εἶναι τὸ παρ' Εὐριπίδ. ἐν Ἡρακλ. 159 «ὃς οὔποτ'

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΕΥΚΡΟΣ.

οὐ γὰρ [1] βάναυσον τὴν τέχνην ἐκτησάμην.

ΜΕΝΕΛΑΟΣ.

μέγ' ἄν τι κομπάσειας [2], ἀσπίδ' εἰ λάβοις.

ΤΕΥΚΡΟΣ.

κἂν ψιλὸς [3] ἀρκέσαιμι σοί γ' ὡπλισμένῳ.

ΜΕΝΕΛΑΟΣ.

ἡ γλῶσσά [4] σου τὸν θυμὸν ὡς δεινὸν τρέφει.

ΤΕΥΚΡΟΣ.

ξὺν τῷ δικαίῳ [5] γὰρ μέγ' ἔξεστιν φρονεῖν. 1125

ΜΕΝΕΛΑΟΣ.

δίκαια [6] γὰρ τόνδ' εὐτυχεῖν, κτείναντά με;

ΤΕΥΚΡΟΣ.

κτείναντα [7]; δεινόν γ' εἶπας, εἰ καὶ ζῇς θανών.

ἀσπίδ' ἔσχε πρὸς λαιᾷ χερὶ οὐδ' ἦλθε λόγχης ἐγγύς, ἀλλὰ τόξ' ἔχων, κάκιστον ὅπλον, εἰς φυγὴν πρόχειρος ἦν».

1) Βεβαίως μεγαλοφρονῶ· διότι ἡ τέχνη, ἧς ἔμπειρός εἰμι, δὲν εἶναι βάναυσος, δηλ. κοινή, συνήθης. Ὄντως ἐν τῷ στρατοπέδῳ τῶν Ἀχαιῶν δὲν διακρίνονται πολλοὶ ὡς ἀγαθοὶ τοξόται.

2) Κατὰ τὸν Σχολιαστὴν μεγαλορρημονήσειας. Ἡ ἑπομένη εὐκτικὴ ἔχει πολὺ τὸ προσβλητικόν, διότι τὸ λαβεῖν ἀσπίδα τὸν Τεῦκρον θεωρεῖ ὡς προβληματῶδες.

3) Ὁ Τεῦκρος ὑποδεικνύει, ὅτι τὰ ὅπλα δὲν ποιοῦσι τὸν ἄνδρα. Τὰ τοιαῦτα φέγει ὁ Σχολιαστής· «Τὰ τοιαῦτα σοφίσματα οὐκ οἰκεῖα τραγῳδίας. Μετὰ γὰρ τὴν ἀναίρεσιν ἐπεκτείναι τὸ δρᾶμα θελήσας, ἐψυχρεύσατο καὶ ἔλυσε τὸ τραγικὸν πάθος». Τὴν παρατήρησιν ταύτην, ὡς φαίνεται, ἔχων ὑπ' ὄψει ὁ Tyrwhitt φέγει τὸ μετὰ τὸν θάνατον τοῦ Αἴαντος μέρος τῆς τραγῳδίας. Ὅρα εἰσαγωγ. σελ. 37 καὶ 41.

4) Προέταξε τὴν λέξιν, ὅπως ὑποδηλώσῃ, ὅτι μόνον ἡ γλῶσσα ἐμβάλλει τὴν ὑψηλοφροσύνην.

5) Οὐχὶ ἡ γλῶσσα, ἀλλὰ τὸ δίκαιον μοὶ ἐπιτρέπει νὰ μεγαλοφρονῶ.

6) Μετεχειρίσθη τὸν πληθυντικὸν ἀντὶ τοῦ ἑνικοῦ, ὡς ἐν στίχ. 888. Ὁ Αἴας δὲν ἔκτεινε τὸν Μενέλαον, ἀλλὰ μόνον τὸ ἐφ' ἑαυτῷ, δηλ. ἐπειράθη φονεῦσαι, ὡς παρ' Εὐριπίδ. ἐν Φοιν. 1600 «ἐπεὶ δ' ἐγενόμην, ὁ πατὴρ κτείνει με».

7) Ἡ ὑπερβολικὴ φράσις τοῦ Μενελάου παρέσχεν ἀφορμὴν τῷ Τεύκρῳ, ὅπως σκώψῃ τοῦτον. Καὶ τοῦτο κακίζει ὁ Σχολιαστής· «Ὁ μὲν εἶπεν, ὅσον ἐφ' ἑαυτῷ. Ὁ δὲ τῆς φωνῆς ἀντιλαμβάνεται. Τὸ δὲ τοιοῦτο κωμῳδίας μᾶλλον ἢ τραγῳδίας». Ὁ ῥήτωρ ὅμως δὲν εἶναι δίκαιος, ὡς ἤδη παρετήρησεν ὁ Wunder.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΜΕΝΕΛΑΟΣ.

θεὸς γὰρ[1] ἐκσῴζει με, τῷδε δ' οἴχομαι.

ΤΕΥΚΡΟΣ.

μὴ νῦν[2] ἀτίμα θεούς, θεοῖς σεσῳσμένος.

ΜΕΝΕΛΑΟΣ.

ἐγὼ γὰρ ἂν ψέξαιμι[3] δαιμόνων νόμους; 1130

ΤΕΥΚΡΟΣ.

εἰ[4] τοὺς θανόντας οὐκ ἐᾷς θάπτειν παρών.

ΜΕΝΕΛΑΟΣ.

τούς[5] γ' αὐτὸς αὑτοῦ πολεμίους· οὐ γὰρ καλόν[6].

ΤΕΥΚΡΟΣ.

ἦ σοὶ γὰρ Αἴας πολέμιος[7] προύστη ποτέ;

ΜΕΝΕΛΑΟΣ.

μισοῦντ' ἐμίσει[8]· καὶ σὺ τοῦτ' ἠπίστασο.

[1]) Βεβαίως ζῶ, διότι θεός τις μ' ἔσωσε, ἀλλὰ κατὰ τὴν προαίρεσιν τούτου ἔθανον. Τοιοῦτον τὸ παρ' Ἡροδότ. I, 124 «κατὰ μὲν τούτου προθυμίην τέθνηκας, κατὰ δὲ τοὺς θεοὺς περιεῖς,». Ξενοφ. ἐν Κύρ. παιδ. 5, 4, 11 «τὸ ἐπ' ἐμοὶ οἴχομαι, τὸ δὲ ἐπὶ σοὶ σέσωσμαι».

[2]) Κατὰ τὸν Wolff ὡς τὸ ἄρα συχνάκις κεῖται ἀντὶ τοῦ ἄρα, οὕτω καὶ τὸ νῦν ἀντὶ τοῦ νύν τοῦ δηλοῦντος συμπέρασμα, ὡς ἐν Οἰδίποδ. τυράνν. 644, ἐν Ἀντιγόν. 705 καὶ ἀλλαχόθι. Ἀντὶ τοῦ ἀτίμα ὁ Elmsley ἔγραψεν ἄτιζε, ὅπερ δέχεται καὶ ὁ Schneidewin. Τὸ ἀτιμάω δὲν ἀπαντᾷ μὲν παρὰ τοῖς τραγικοῖς, ἀλλὰ παρὰ Πινδάρῳ ἐν Πυθ. 9, 80.

[3]) Ὁ Σχολιαστὴς ἑρμηνεύει. «Ἀτίμους ποιήσαιμι». Ὁ Μενέλαος ἐκπλήσσεται, διότι δὲν δύναται νὰ ἐννοήσῃ, ὅτι ἀτιμάζει τοὺς θείους νόμους.

[4]) Ἡ ἀπόδοσις νοεῖται ἐκ τοῦ ἡγουμένου στίχου, δηλ. ψέγεις δαιμόνων νόμους. Μετὰ τὸ εἰ τίθεται τὸ οὐ, διότι τὸ οὐκ ἐᾷς ἰσοδυναμεῖ πρὸς τὸ ἀπαγορεύεις. Τοιοῦτον καὶ τὸ παρ' Εὐριπίδ. ἐν Ἴων. 347 «εἰ δ' οὐκέτ' ἔστι, τίνι τρόπῳ διεφθάρη;».

[5]) Δηλαδὴ οὐκ ἐῶ θάπτειν. Τὸ αὐτοῦ κεῖται ἀντὶ τοῦ ἐμαυτοῦ, ὡς ἐν Οἰδίποδ. τυράνν. 138 «ἀλλ' αὐτὸς αὐτοῦ τοῦτ' ἀποσκεδῶ μύσος». Πολέμιος λέγεται ὁ ἀπὸ ἀλλοτρίας χώρας ἐχθρός, δηλ. ὁ hostis, ἐνταῦθα ὅμως κεῖται ἐν τῇ σημασίᾳ τοῦ inimicus, ὡς ἐν Φιλοκτ. 1302.

[6]) Τὸ πλῆρες ἤθελεν εἶναι, οὐ καλὸν ἐᾶν θάπτειν πολεμίους.

[7]) Ὁ Τεῦκρος σκώπτει τὸν Μενέλαον, ὅτι ὠνόμασε τὸν Αἴαντα πολέμιον, δηλ. ἐν τῇ σημασίᾳ τοῦ hostis. Τὸ προύστη ἐνταῦθα σημαίνει ἀντέστη.

[8]) Ἐν τισι χειρογράφοις εὕρηται ἐμίσουν, ὅπερ ἠδύνατο νὰ προτιμηθῇ· ὁ Μενέλαος ἐμίσει τὸν Αἴ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΕΥΚΡΟΣ.

κλέπτης[1] γὰρ αὐτοῦ ψηφοποιὸς εὑρέθης. 1135

ΜΕΝΕΛΑΟΣ.

ἐν τοῖς δικασταῖς κοὐκ ἐμοὶ τόδ'[2] ἐσφάλη.

ΤΕΥΚΡΟΣ.

πόλλ' ἂν καλῶς[3] λάθρᾳ σὺ κλέψειας κακά.

ΜΕΝΕΛΑΟΣ.

τοῦτ' εἰς ἀνίαν τοὔπος ἔρχεταί τινι[4].

ΤΕΥΚΡΟΣ.

οὐ μᾶλλον[5], ὡς ἔοικεν, ἢ λυπήσομεν.

ΜΕΝΕΛΑΟΣ.

ἔν σοι φράσω· τόνδ' ἐστὶν οὐχὶ θαπτέον. 1140

ΤΕΥΚΡΟΣ.

ἀλλ' ἀντακούσει τοῦτον[6], ὡς τεθάψεται.

αντα, διότι οὗτος πρῶτος ἐμίσει τὸν Ἀτρείδην. Ἡ ἑπομένη πρόταση ὑποδηλοῖ, ὅτι ἡ ἐρώτησις τοῦ Τεύκρου ἦτο περιττή, ἀφ' οὗ οὗτος ἐγίνωσκε τὸ ἀμοιβαῖον μῖσος.

1) Αἰτιολογεῖ ὁ Τεῦκρος, διὰ τί ὁ ἀδελφὸς ἐμίσει τὸν Μενέλαον. Ψηφοποιός εἶναι ὁ κατασκευάζων ψευδεῖς ψήφους ἢ ὁ νοθεύων τὰς ψήφους· φαίνεται, ὅ' ὅτι ὁ Αἴας καὶ ὁ Τεῦκρος ἐκάκιζον τοὺς Ἀτρείδας, διότι παρεποίησαν τὰς ψήφους τῶν ἑκαστῶν ἢ διότι τὰς ἀνευρεθείσας ψευδῶς ἀπήγγειλαν, ὡς λέγει καὶ ὁ Πίνδαρ. ἐν Νεμ. 8, 45 «Κρυφίαισι γὰρ ἐν ψάφοις Ὀδυσσῆ Δαναοὶ θεράπευσαν».

2) Ἐννοεῖ τὸ λαβεῖν τὰ ὅπλα τοῦ Ἀχιλλέως· διὰ τῶν δικαστῶν καὶ οὐχὶ δι' ἐμοῦ ἀπέτυχε τούτου.

3) Κατὰ τὸν Dindorf ἐν πᾶσι τοῖς χειρογράφοις ὑπάρχει κ α κ ῶ ς, ἐν δὲ τῷ κώδηκι κ α λ ῶ ς. Ὁ εἰρημένος ἐκδότης οὐχὶ ὀρθῶς, ὡς νομίζομεν, προτιμᾷ τὸ κ α κ ῶ ς· διότι οὕτως αἴρεται τὸ εὐφυὲς τῆς ἀποκρίσεως τοῦ Τεύκρου, ὅστις τοὺς δικαστὰς θεωρεῖ ὡς κ α λ ὸ ν τρόπον κλοπῆς.

4) Δὲν λέγει τὸν Τεῦκρον, ἀλλὰ δηλοῖ τὸ ὄνομα αὐτοῦ δι' ἀορίστου ἀντωνυμίας, ὡς συνήθως ποιοῦσιν οἱ τραγικοὶ ἐν ταῖς ἀπειλαῖς, ὡς ἐν Ἀντιγόν. 751· «καὶ θανοῦσ' ὁλεῖ τινα», Αἰσχύλ. ἐν Ἑπτὰ 383 καὶ Ἀριστοφάν. ἐν Βατράχ. 552. Οὗτος ὁ λόγος θὰ φέρῃ λύπην εἴς τινα.

5) Ἐκ τοῦ ἡγουμένου στίχου ἐννοεῖται, εἰς ἀνίαν ἔρχεται ἐμοί, δηλ. οὐ μᾶλλον λυπηθήσομαι ἐγώ· Οὐχὶ ἐγώ, ἀλλὰ σὺ θὰ λυπηθῇς.

6) Τὸ αὐτὸ εἶδος τῆς ἔλξεως ἀπαντᾷ καὶ ἐν Φιλοκτήτ. 549· «ὡς ἤκουσα τοὺς ναύτας, ὅτι σοὶ πάντες εἶεν συννεναυστολημένοι» καὶ Ξενοφ. ἐν Ἀπομν. 4, 2, 33. Ὁ Τεῦκρος εἰκονίζει τὸ πρᾶγμα ὡς βέβαιον. Ἡ στιχομυθία εἰς τὸ ἔσχατον προ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΜΕΝΕΛΑΟΣ.

ἤδη ποτ' εἶδον ἄνδρ' ἐγὼ γλώσσῃ θρασὺν
ναύτας ἐφορμήσαντα[1] χειμῶνος τὸ πλεῖν,
ᾧ[2] φθέγμ' ἂν οὐκ ἂν εὗρες, ἡνίκ' ἐν κακῷ
χειμῶνος εἶχετ' ἀλλ' ὑφ' εἵματος κρυφεὶς[3] 1145
πατεῖν παρεῖχε[4] τῷ θέλοντι ναυτίλων.
οὕτω δὲ καὶ σὲ καὶ[5] τὸ σὸν λάβρον στόμα
σμικροῦ νέφους[6] τάχ' ἄν τις ἐκπνεύσας μέγας
χειμὼν[7] κατασβέσειε τὴν πολλὴν βοήν.

ΤΕΥΚΡΟΣ.

ἐγὼ[8] δέ γ' ἄνδρ' ὄπωπα μωρίας πλέων, 1150
ὃς ἐν κακοῖς[9] ὕβριζε τοῖσι τῶν πέλας.
κἄτ' αὐτὸν εἰσιδών τις ἐμφερὴς ἐμοὶ
ὀργήν[10] θ' ὅμοιος εἶπε τοιοῦτον λόγον·
ὤνθρωπε, μὴ δρᾶ τοὺς τεθνηκότας κακῶς·

ὅσα δὲν ἠδύνατο νὰ προχωρήσῃ. Διὰ τοῦτο ὁ Μενέλαος διακόψας ταύτην μεταχειρίζεται ὑποδιήγησιν, ὅπως σκωπτικῶς ὑποδηλώσῃ, ὅτι ὁ Τεῦκρος μετ' ὀλίγον θέλει ὑποχωρήσει εἰς τὴν ἀνάγκην.

[1]) Πρὸς διπλῆν αἰτιατικὴν συνετάχθη τὸ ἐφορμᾶν, ὡς καὶ τὰ ἔχοντα τὴν αὐτὴν σημασίαν, παρορμᾶν τινά τι καὶ παρακαλεῖσθαι.

[2]) Ἡ δοτικὴ ἐξηγεῖται, διότι ἡ φράσις ἰσοδυναμεῖ πρὸς τήν, οὐκ ἐνῆν, ὡς ἐν Οἰδίποδ. ἐπὶ Κολων. 966· « οὐ ἂν ἐξεύροις ἐμοὶ ἁμαρτίας ὄνειδος οὐδέν ». Ὁ θρασὺς ναύτης ὡς αἴτιος τῆς συμφορᾶς ἀπώλεσε τὴν φωνήν.

[3]) Εἶναι ἀμφίβολον, ἂν πρέπῃ νὰ γραφῇ κρυβεὶς ἢ κρυφείς. Ἀλλ' ὑπὸ τῶν ἐκδοτῶν προτιμᾶται τὸ δεύτερον.

[4]) Παρέλειψε τὴν ἀντωνυμίαν ἑαυτόν, ὡς παρὰ Πλάτων. ἐν Θεαιτ. 135· a « ἐὰν δὲ πάντῃ ἀπορήσωμεν, ταπεινωθέντες τῷ λόγῳ, παρέξομεν ὡς ναυτιῶντες πατεῖν τε καὶ χρῆσθαι ὅ τι ἂν βούληται ». Συνέσιος ἐν Ἐπιστολ. IV. 173 d· «μεθῆκεν ὁ κυβερνήτης τὸ πηδάλιον καὶ καταβαλὼν ἑαυτὸν πατεῖν παρεῖχε τῷ θέλοντι ναυτίλων ».

[5]) Οὐ μόνον ἐπεξηγεῖ τὸ σέ, ἀλλὰ καὶ προστίθησι δύναμιν εἰς τὸν λόγον διὰ τῆς προσθήκης τῆς ἰδιότητος, ὡς ἐν Ἀντιγόν. 95· « ἀλλ' ἔα με καὶ τὴν ἐξ ἐμοῦ δυσβουλίαν », Δημοσθέν. κατὰ Ἀριστογείτ. 801, 27· « οὐδεὶς ἀντιλέγειν ἐπιχειρήσει πλὴν Ἀριστογείτονος τουτουὶ καὶ τῆς τούτου τόλμης καὶ πονηρίας ».

[6]) Τὸν τοιοῦτον ἄνεμον οἱ ἀρχαῖοι ἔλεγον ἐκνεφίαν.

[7]) Ὁ Σχολιαστὴς ἑρμηνεύει· « Μεγάλη ζάλη ἀνέμου ».

[8]) Κατὰ τὸν Σχολιαστήν· « Καὶ οὗτος αἰνίττεται, ὡς ἀφ' ἑτέρου τὸν λόγον ποιούμενος ».

[9]) Ὕβριζε τοὺς ἄλλους εὑρισκομένους ἐν συμφοραῖς.

[10]) Σημαίνει τὴν ψυχικὴν διάθεσιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰ γὰρ ποιήσεις, ἴσθι πημανούμενος[1]. 1155
τοιαῦτ' ἄνολβον[2] ἄνδρ' ἐνουθέτει παρών.
ὁρῶ δέ τοί νιν, κἄστιν, ὡς ἐμοὶ δοκεῖ,
οὐδείς ποτ' ἄλλος ἢ σύ. μῶν[3] ἠνιξάμην;

ΜΕΝΕΛΑΟΣ.

ἄπειμι· καὶ γὰρ αἰσχρόν, εἰ πύθοιτό τις
λόγοις κολάζειν, ᾧ βιάζεσθαι παρῇ[4]. 1160

ΤΕΥΚΡΟΣ.

ἄφερπέ νυν. κἀμοὶ γὰρ αἴσχιστον κλύειν
ἀνδρὸς ματαίου φλαῦρ'[5] ἔπη μυθουμένου.

ΧΟΡΟΣ.

ἔσται μεγάλης ἔριδός[6] τις ἀγών.
ἀλλ' ὡς δύνασαι, Τεῦκρε, ταχύνας[7]
σπεῦσον κοίλην κάπετόν[8] τιν' ἰδεῖν 1165
τῳδ', ἔνθα βροτοῖς τὸν[9] ἀείμνηστον

[1]) Οἱ ποιηταὶ οὐχὶ σπανίως μεταχειρίζονται τὸ μέλλοντα τῶν μέσων ῥημάτων ἐν σημασίᾳ παθητικῇ, ὡς τὸ ἐχθαρεῖ ἐν Ἀντιγόν. 93. καὶ τὸ φθερεῖσθαι ἐν Οἰδίποδ. τυράνν. 272.

[2]) Ἄθλιον, δυστυχῆ, μωρόν. Ἡ δυστυχία κεῖται ἐν τῇ διαστροφῇ τῆς διανοίας, ὡς ἐν Ἀντιγόν. 1265 «ὦμοι ἐμῶν ἄνολβα βουλευμάτων».

[3]) Τοῦτο λέγει σκωπτικῶς, ὡς ἐν Ἀντιγόν. 405 «ἆρ' ἔνδηλα καὶ σαφῆ λέγω;» καὶ Αἰσχ. ἐν Ἀγαμέμν. 269 «ἦ τορῶς λέγω;».

[4]) Ἡ ἀναφορικὴ ἀντωνυμία φέρεται εἰς ὑποτακτικὴν ἄνευ τοῦ ἄν, ὡς καὶ ἐν στίχ. 760. Ἤθελεν εἶναι αἰσχρόν, ἂν ἐμάνθανέ τις, ὅτι διὰ λόγων σωφρονίζω, ἐν ᾧ δύναμαι νὰ ἀναγκάζω.

[5]) Τὸ φλαῦρα μυθουμένου ἰσοδυναμεῖ πρὸς τὸ φλυαροῦντος.

[6]) Ἐπειδὴ ἡ λέξις ἀγὼν ἔχει γενικὴν σημασίαν, δηλ. ὡς μάχης, λόγων, προσετέθη ἡ γενική. Κατὰ τὸν Wolff μετὰ πικρίας γίνεται ὑπαινιγμός, ὅτι ἡ κακὴ ἔρις θέλει χρησιμεύσει ὡς ἀγὼν ἀντὶ τοῦ ἁρμόζοντος εἰς τεθνηκότα ἥρωα.

[7]) Κατ' ἔννοιαν δὲν διαφέρει τοῦ σπεῦδε ταχέως ἢ ὡς τάχιστα.

[8]) Ἡ λέξις παραγομένη ἐκ τοῦ σκάπτειν σημαίνει τόπον ἐσκαμμένον, τάφρον, ἥτις δύναται νὰ χρησιμεύσῃ ὡς τάφος. Κυρίως ἔπρεπε νὰ ἦναι σκάπετος, ὅπερ διετηθη παρ' ἡμῖν. Τὸ ἰδεῖν ἐνταῦθα σημαίνει εὑρεῖν, ὡς ἐν Ἠλέκτρ. 875 «πημάτων ἄρηξιν, οἷς ἔασιν οὐκ ἔνεστ' ἰδεῖν;».

[9]) Ἀντὶ νὰ εἴπῃ τὸν βροτοῖς ἀείμνηστον, ὡς παρ' Εὐριπίδ. ἐν Ἀνδρομαχ. 215 «χιόνι τὴν κατάρρυτον» Ὁ τάφος τοῦ Αἴαντος ἔκειτο ἐπὶ τοῦ ἀκρωτηρίου Ροιτείου καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τάφον εὑρώεντα[1] καθέξει.

ΤΕΥΚΡΟΣ.

καὶ μὴν[2] ἐς αὐτὸν καιρὸν οἵδε πλησίοι
πάρεισιν ἀνδρὸς τοῦδε παῖς τε καὶ γυνή[3],
τάφον περιστελοῦντε[4] δυστήνου νεκροῦ. 1170
ὦ παῖ, πρόσελθε δεῦρο καὶ σταθεὶς πέλας
ἱκέτης[5] ἔφαψαι πατρός, ὅς σ' ἐγείνατο.
θάκει δὲ προστρόπαιος[6], ἐν χεροῖν ἔχων

ἐν τοῖς ἔπειται χρύνοις ὑπῆρχε τούτου ἡρῷον Στράβ. 13, 595 «Τῷ Ῥοιτείῳ συνεχὴς ἠὼν ἀλιτενής, ἐφ' ᾗ μνῆμα καὶ ἱερὸν Αἴαντος καὶ ἀνδριάς, ὃν ἅραντος Ἀντωνίου κομισθέντα εἰς Αἴγυπτον ἀπέδωκε τοῖς Ῥοιτειεῦσι πάλιν ὁ Σεβαστὸς Καῖσαρ». Κατὰ τὸν μῦθον τῶν ἔπειτα οἰκησάντων τὴν Τροίαν, οἵτινες ἦσαν Αἰολεῖς, ἡ θάλασσα μετὰ τὸ ναυάγιον τοῦ Ὀδυσσέως εἰς τὸν τάφον τοῦ Αἴαντος ἐξήνεγκεν, Παλ. Ἀνθολογ. 9, 115 «Ἀσπίδ' Ἀχιλλῆος τὴν Ἕκτορος αἷμα πιοῦσαν Λαερτιάδης Δαναῶν ἦρε κακοκριθής· ναυηγοῦ δὲ θάλασσα κατέσπασε, καὶ παρὰ τύμβον Αἴαντος νηκτὴν ὥρμισεν», καὶ 116 «Καλὰ Ποσειδάων δίκασεν πολὺ μᾶλλον Ἀθήνης· ἀσπὶς ἐν αἰγιαλοῖσι βοᾷ καὶ σῆμα τινάσσει, αὐτόν σ' ἐκκαλέουσα, τὸν ἄξιον ἀσπιδιώτην. ἔγρεο, παῖ Τελαμῶνος, ἔχεις σάκος Αἰακίδαο» Ἐμυθεύετο δέ, ὅτι ἡ γραπτὴ ὑάκινθος ἐκ τοῦ αἵματος τούτου ἀνεφύη, Σχολ. εἰς Θεόκριτ. 10, 28 «τὴν γραπτὴν ὑάκινθόν φασιν ἀπὸ τοῦ αἵματος τοῦ Αἴαντος ἀναδοθῆναι τοῦ ἐν Τροίᾳ μανέντος, διά τοι τοῦτο ἔχειν ἐγγεγραμμένον αἰ αἰ, τὴν ἀρχὴν τοῦ ὀνόματος τοῦ Αἴαντος».

[1]) Κακῶς ὁ Σχολιαστὴς ἐξηγεῖ σκωληκώδη, διότι σημαίνει σκοτεινόν, ζοφώδη, ὡς ἑρμηνεύει ὁ Σουΐδας. Τὸ ἐπίθετον τοῦτο τῷ Ἅιδῃ ὑπὸ τῶν ποιητῶν ἀποδιδόμενον μετηνέχθη ἐνταῦθα τῷ τάφῳ, Ὀδυσσ. κ, 512 εὐρώεντα δόμον κρυεροῦ Ἀΐδαο».

[2]) Διὰ τῆς φράσεως ταύτης συνήθως ἀγγέλλουσι τὴν πάροδον τῶν προσώπων εἰς τὴν σκηνήν. Ἀντὶ τοῦ πλησίον πολλὰ χειρόγραφα ἔχουσι πλησίοι. Καὶ τὸ ἐπίθετον καὶ τὸ ἐπίρρημα μεταχειρίζονται οἱ ἀρχαῖοι ἀδιαφόρως.

[3]) Κατὰ τὸν Σχολιαστήν· «Πάρεστιν ἡ Τέκμησσα μετὰ τοῦ παιδός· οὐχ ὅτι δὲ ἱκανὰ τὰ πρόσωπα φυλάξαι τὸ σῶμα, ἀλλ' ὅτι κινῆσαι δυνατά». Τὸν δευτεραγωνιστὴν ὁ ποιητὴς πρόκειται νὰ μεταχειρισθῇ ὡς Ὀδυσσέα, Διὰ τοῦτο τὴν Τέκμησσαν νῦν ἔχει κωφὸν πρόσωπον.

[4]) Ἵνα περικοσμήσητε τὸν τάφον τοῦ δυστυχοῦς νεκροῦ.

[5]) Ὁ Τεῦκρος θέλων ἐν τῇ ἀπουσίᾳ αὐτοῦ να ἐξασφαλίσῃ τὸν νεκρὸν τοῦ ἀδελφοῦ καθίζει τὸν υἱὸν τούτου ἱκέτην. Καὶ αὐτὸς δὲ ὁ Εὐρυσάκης διαφεύγει τὸν κίνδυνον, διότι τίθεται ὑπὸ τὴν προστασίαν τῆς ψυχῆς τοῦ θανόντος καὶ τῶν θεῶν τῶν προστατευόντων τὰς ψυχάς, δηλ. τοῦ ψυχοπομποῦ Ἑρμοῦ καὶ τῆς Ἑκάτης. Συνήθως οἱ τραγικοὶ λέγουσιν, ὁ γεννήσας, φύσας, φιτύσας, φυτουργός, φυταλιμος πατήρ.

[6]) Σημαίνει τὸν τετραμμένον παρακλητικῶς, τὸν ἱκετεύοντα. Τὸ προκείμενον χωρίον ἑρμηνεύει τὸ ἐν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κόμας[1] ἐμὰς καὶ τῆσδε καὶ σαυτοῦ τρίτου,
ἱκτήριον[2] θησαυρόν. εἰ δέ τις στρατοῦ
βίᾳ σ' ἀποσπάσειαι τοῦδε τοῦ νεκροῦ,
κακὸς κακῶς ἄθαπτος ἐκπέσοι[3] χθονός,
γένους ἅπαντος ῥίζαν[4] ἐξημημένος,
αὕτως ὅπωσπερ τόνδ' ἐγὼ τέμνω πλόκον[5].
ἔχ' αὐτόν, ὦ παῖ, καὶ φύλασσε, μηδέ σε
κινησάτω τις, ἀλλὰ προσπεσὼν[6] ἔχου.
ὑμεῖς[7] τε μὴ γυναῖκες ἀντ' ἀνδρῶν πέλας
παρέστατ', ἀλλ' ἀρήγετ', ἔστ' ἐγὼ μολὼν
τάφου μελήσω[8] τῷδε κἂν μηδεὶς ἐᾷ.

Ἠλέκτρ. 449 «τεμοῦσα κρατὸς βοστρύχων ἄκρας φόβας κἀμοῦ ταλαίνης, σμικρὰ μὲν τάδ', ἀλλ' ὅμως ἄγω, δὸς αὐτῷ, τήνδ' ἀλιπαρῆ τρίχα καὶ ζῶμα τοὐμὸν οὐ χλιδαῖς ἠσκημένον. Αἰτοῦ δὲ προσπίτνουσα, γῆθεν εὐμενῆ ἡμῖν ἀρωγὸν αὐτὸν εἰς ἐχθροὺς μολεῖν».

[1]) Καὶ ἐν τῷ ἡρωϊκῷ αἰῶνι καὶ βραδύτερον οἱ συγγενεῖς καὶ φίλοι κείροντες τὴν κόμην παρέθετον τοῖς νεκροῖς, ὡς ὁ Ἀχιλλεὺς τῷ Πατρόκλῳ ἐν Ἰλιάδ. Ψ, 144, Αἰσχύλ. ἐν Χοηφόρ. 1, Εὐριπίδ. ἐν Ἠλέκτρ. 144.

[2]) Οἱ ἱκέται ἔφερον ἐν χερσὶ ἱκτηρίους κλάδους ἐλαίας, ἀνθ' ὧν ὁ Εὐρυσάκης θέλει φέρει τρεῖς κόμας. Ὅρα Οἰδίποδ. τύραννν. στίχ. 3 καὶ τὴν σημείωσίν μου.

[3]) Βραχυλογικῶς ἀντί, ἐκπέσοι χθονὸς καὶ ἄθαπτος γένοιτο. Ὁ Τεῦκρος καταρᾶται τῷ ἀποσπάσαντι φυγήν. Τοιαύτην σημασίαν ἔχει καὶ ἐν Οἰδίποδ. ἐπὶ Κολων. 766 «ὅτ' ἦν μοι τέρψις ἐκπεσεῖν χθονός».

[4]) Ἐννοεῖ τοὺς ἐκγόνους, ὡς καὶ ἐν Ἀντιγόν. 600 «νῶν γὰρ ἐσχάτας ὑπὲρ ῥίζας ἐτέτατο φάος ἐν Οἰδίπου δόμοις». Τὸ ἐξημημένος ὁ Σχολιαστὴς ἑρμηνεύει ἐκτεθερισμένος, ἀφῃρημένος.

[5]) Ἐν ταῖς ἀραῖς αἱ τοιαῦται συμβολικαὶ πράξεις εἶναι συνήθεις, ὡς ἐν Ἰλιάδ. Γ 300 «ὧδέ σφ' ἐγκέφαλος χαμάδις ῥέοι ὡς ὅδε οἶνος». Ταῦτα λέγων ὁ Τεῦκρος τέμνει τὴν κόμην καὶ δίδωσι ταύτην τῷ Εὐρυσάκει.

[6]) Τὸ πλῆρες ἤθελεν εἶναι, προσπεσὼν τῷ νεκρῷ ἔχου αὐτοῦ.

[7]) Ταῦτα λέγει πρὸς τοὺς Σαλαμινίους ναύτας, οὓς διεγείρει πρὸς βοήθειαν. Ἡ ἑπομένη ἀντίθεσις εἶναι συνήθης τοῖς ἀρχαίοις, ὡς ἐν στίχ. 1020 «δοῦλος λόγοισιν ἀντ' ἐλευθέρου φανείς».

[8]) Τὰ χειρόγραφα ἔχουσι μελήθει ς, ὅπερ διατηρεῖ ὁ Hermann καὶ ὁ Wunder γράφοντες τὸ μολὼν μόλω. Ἐπειδὴ ὅμως τὸ παθητικὸν τοῦ μέλω ἐν τοῖς καλοῖς χρόνοις δὲν ἀπαντᾷ καὶ οὐδέποτε ὁ ἀόριστος παθητικὸς εὑρηται ἐν μέσῃ σημασίᾳ, ὁ Wolff ἔτρεψεν εἰς μελήσω. Ὁ Nauck γράφει μελήθω. Ἡ ὑποτακτικὴ ἄνευ τοῦ ἂν εὕρηται πολλαχοῦ, ὡς ἐν στίχ. 555. Ὁ μὲν Τεῦκρος μετὰ τῶν ἀκολούθων αὐτοῦ ἀπέρχεται, ὅπως εὕρῃ προσήκοντα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(Στάμιμον Γ.)

Στροφὴ α'.

ΧΟΡΟΣ.

Τίς[1] ἄρα νέατος ἐς πότε λήξει 1185
πολυπλάγκτων[2] ἐτέων ἀριθμός,
τὰν[3] ἄπαυστον αἰὲν ἐμοὶ
δορυσσοήτων[4] μόχθων ἄταν ἐπάγων
ἀνὰ τὰν εὐρώδη Τροίαν[5], 1190

τύπον πρὸς ταφήν, ἡ δὲ Τέκμησσα μείνασα παρὰ τῷ πτώματι κόπτει τὴν κόμην, ἐν ᾧ ὁ χορὸς ᾄδει τὸ ἑπόμενον στάσιμον. Τὸ σύμπλεγμα εἶναι οἰκτρόν.

1) Ὁ χορὸς πάλιν οἰκτείρει τὴν ἑαυτοῦ τύχην, ὅτι μακρὸν χρόνον μένει ἐν τῇ Τροίᾳ. Κατὰ τὸν Schneidewin ἡ σύνταξις ἔχει οὕτως· τίς ἄρα ἀριθμὸς ἐτέων λήξει νέατος (δηλ. ὥστε νέατον γενέσθαι) ἐς πότε; Εἶναι σύμπτυξις δύο ἐρωτήσεων ἐν μιᾷ, ὡς ἐν τῇ ὁμηρικῇ φράσει, τίς πόθεν εἶς ἀνδρῶν; καὶ ἐν Φιλοκτήτ. 1090 «τοῦ ποτε τεύξομαι σιτονόμου μέλεος πόθεν ἐλπίδος;». Ἡ πρόθεσις συχνάκις συντάσσεται ἐπιρρήμασι δηλοῦσι χρόνον, ὡς εἰς τότε, εἰς ὀψέ, εἰς αὔριον, εἰς νῦν, εἰς ἅπαξ, ἀλλ' ἀσυνήθης εἶναι ἡ σύνταξις τῆς προθέσεως μετὰ ἐρωτηματικῶν. Ἐν πλαγίᾳ ὅμως ἐρωτήσει εὑρηται ἡ σύνταξις, ὡς παρ' Αἰσχίν. 3, 99 «Δημοσθένης ἃ εὖ οἶδεν οὐδέποτε ἐσόμενα, τολμᾷ λέγειν ἀριθμῶν εἰς ὁπότε ἔσται». Ἀπαντᾷ δὲ συχνάκις τὸ μέχρι μετὰ ἐρωτηματικῶν ἐν τῇ φράσει μέχρι τοῦ καὶ μέχρι ὅποι παρὰ Ξενοφ. ἐν Ἑλλην. 4, 7, 5.

2) Λέγει ὁ ποιητὴς τὰ ἔτη πολύπλαγκτα κατὰ τὸν Schneidewin, διότι ἐννεάκις ἤδη ἐπέραναν τὸν κύκλον αὐτῶν. Κατὰ δὲ τὸν Σχολιαστήν· «Καθὸ πολλὰ πλανώμεθα ἐν τῇ ἀλλοδαπῇ». Πιθανώτερον δ' ὁ Bellermann ἐξηγεῖ ταραχώδη ἔτη.

3) Κεῖται ἀντὶ τοῦ τήνδε.

4) Μόνος ὁ κώδηξ κατὰ τὸν Dindorf διετήρησε τὴν γραφὴν δορυσσοήτων, ἐν ᾧ ἐν πᾶσι τοῖς ἀπογράφοις καὶ τῷ Σουΐδᾳ διεφθάρη εἰς δορυσσούντων. Τὸ δορυσσόης κατὰ τὸν Wolff εἶναι σύνθετον ἐκ τοῦ δόρυ καὶ σοέω, ὅπερ διετηρήθη παρὰ τῷ Ἡσυχίῳ· «σεσσημένον· τεθορυβημένον, ὡρμημένον». Ἡ λέξις δορυσσόης εἶναι διάφορος τύπος τοῦ δορυσσόος Ἡσίοδ. ἐν Ἀσπίδ. Ἡρακλ. 54, Αἰσχύλ. ἐν Ἑπτ. 125, ὡς ἀδολέσχης καὶ ἀδόλεσχος, πλάνης καὶ πλάνος, ψιλὴς καὶ ψιλός, ὁμαλὴς καὶ ὁμαλός κτλ. Ὀρθῶς ἑρμηνεύει ὁ Σχολιαστής· «τῶν κατὰ τὸν πόλεμον μόχθων, πολεμικῶν». Τοὺς μόχθους ἐνταῦθα προσωποιεῖ ὁ ποιητής.

5) Τὰ χειρόγραφα ἔχουσιν ἀνὰ τὰν εὐρώδη Τροίαν, ὅπερ ὁ μὲν Ahrens ἔτρεψεν εἰς, ἂν τὰν εὐρώδεα Τρωΐαν, ὁ δὲ Bergk εἰκάζει, ἀν' ἀκτὰν εὐρυεδῆ, ὁ δὲ Hermann εἰς, ἀν' αἶαν ἀερώδεα Τρωΐαν κατὰ τὴν ἐξήγησιν τοῦ Σχολιαστοῦ· «Σκοτεινὴν καὶ ἀερώδη τοῖς Ἕλλησιν». Ἐπειδὴ ὅμως οὐδεμία τῶν προτάσεων τούτων, ὡς καὶ ὁ Schneidewin ὁμολογεῖ, εἶναι πιθανή, διετηρήσαμεν τὴν γραφὴν τῶν χειρογράφων, ὡς ἁρμόζει ἐν τοιαύτῃ περιστάσει. Τὸ εὐρώδης σημαίνει εὐρύς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δύστανον ὄνειδος[1] Ἑλλάνων;

Ἀντιστροφὴ α'.

ὄφελε πρότερον αἰθέρα δῦναι[2]
μέγαν ἢ τὸν πολύκοινον[3] Ἄιδαν
κεῖνος ἀνήρ[4], ὃς στυγερῶν
ἔδειξεν ὅπλων Ἕλλασιν κοινὸν[5] Ἄρη· 1195
ἰὼ πόνοι πρόγονοι[6] πόνων·
κεῖνος γὰρ ἔπερσεν[7] ἀνθρώπους.

[1]) Εἶναι παράθεσις εἰς τὸ ἄπαυστον ἄταν· Οἱ Σαλαμίνιοι θεωροῦσιν ὄνειδος, ὅτι ἐπὶ μακρὸν χρόνον μάτην πολιορκοῦσι τὸ Ἴλιον. Ἡ ἐξήγησις τῆς στροφῆς ἔχει οὕτως· Τίς λοιπὸν εἶναι ὁ τελευταῖος καὶ πότε θὰ τελειώσῃ ὁ ἀριθμὸς τῶν πολυταράχων ἐτῶν, ταύτην διὰ τὴν ἀκατάπαυστον δυστυχίαν τῶν πολεμικῶν πόνων αἰωνίως εἰς ἐμὲ ἐπιφέρων ἀνὰ τὴν εὐρεῖαν Τροίαν, ὅπερ εἶναι ἐντροπὴ τῶν Ἑλλήνων ἀξία δακρύων;

[2]) Τὸ δῦναι ἤρκει καὶ διὰ τὸν αἰθέρα καὶ διὰ τὸν Ἄιδην, διότι ἑκατέρῳ βάθος ἀποδίδοται.

[3]) Πολύκοινος λέγεται ὁ εἰς πολλοὺς κοινός, ὁ εἰς πάντας κοινός, ὁ εἰς ὅλους ἀνήκων.

[4]) Κατὰ τὸν Σχολιαστήν· «Ὤφελε πρότερον ἀφανὴς γενέσθαι ἐκεῖνος ὁ ἀνήρ, ὁ πρῶτος εἰσενεγκὼν εἰς Ἕλληνας πολεμιστήρια ὅπλα, ὡς ἅμα τῇ εὑρέσει ἡκόντων τῶν ἀνθρώπων ἐπὶ τῷ ἀδικεῖν». Τὴν ἑρμηνείαν ταύτην, ἥτις ἁρμόζει εἰς τὸν ὅλον χωρίον, δέχεται καὶ ὁ Bellermann. Ἀλλ' ὁ Wunder καὶ ὁ Dindorf νοοῦσι τὸν Τινδάρεων, ὁ δὲ Schneidewin τὸν Πάριν, καθ' οὗ συχνάκις ἀκούονται ἀραὶ παρὰ τοῖς τραγικοῖς, ὡς ἐν Φιλοκτήτ. 1426 καὶ Εὐριπίδ. ἐν Τρῳάς. 919. Τοιαύτη ἑρμηνεία ἀντίκειται πρὸς τὴν ἔννοιαν τοῦ ὅλου χωρίου. Ὁ Bergk εἰκάζει, ὅτι ὁ κόρος, ὃν ὁ χορὸς ἔχει πρὸς τοὺς ἀκάρπους πόνους τοῦ πολέμου, ἁρμόζει εἰς τὴν τελευταίαν περίοδον τοῦ Πελοποννησιακοῦ πολέμου. Ὅρα εἰσαγωγ. σελ. 45.

[5]) Κατὰ τὴν ἑρμηνείαν, ἣν ὁ Schneidewin ἐδέξατο, ὁ κοινὸς Ἄρης σημαίνει τὸν πόλεμον, ὃν κοινῶς ἐπεχείρησαν τὰ ἑλληνικὰ φῦλα καὶ ὃν ἤγειρεν ὁ Πάρις. Ἀλλὰ κατὰ τὴν ἄλλην ἑρμηνείαν, ἣν καὶ ἡμεῖς ἐπεδοκιμάσαμεν, σημαίνει τὸν πόλεμον τῶν ἀνθρώπων πρὸς ἀλλήλους, ὡς παρ' Εὐριπίδ. ἐν Φοινίσσ. 1570.

[6]) Τὸ πρόγονοι φαίνεται τῷ Dindorf ὑπερποιητικὸν καὶ ἀνακαλεῖ εἰς τὴν μνήμην τὸ τοῦ Αἰσχύλου οὐκ ἄπαπτον Ἰδαίου πυρός. Γράφει δὲ πρόπονοι Παραπλήσιον εἶναι τὸ παρὰ Πλάτων. ἐν Νομ. 928 Ε «γίγνονται ξυμφοραὶ τηλικαύτης ἔχθρας ἔκγονοι».

[7]) Λέγεται καὶ ἐπὶ ἀνθρώπων τὸ ῥῆμα, ὡς ἐν στίχ. 896. Ἡ ἐξήγησις τῆς ἀντιστροφῆς εἶναι ἥδε· Εἴθε πρότερον νὰ ἀνήρχετο εἰς τὸν μέγαν οὐρανὸν ἢ νὰ κατήρχετο εἰς τὸν τοῖς πᾶσι κοινὸν Ἄιδην ἐκεῖνος ὁ ἀνήρ, ὅστις τὸν πρὸς ἀλλήλους πόλεμον διὰ μισητῶν ὅπλων ἔδειξεν εἰς τοὺς Ἕλληνας· φεῦ πόνοι πόνους γεννῶντες· διότι ἐκεῖνος κατέστρεψε τοὺς ἀνθρώπους.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Στροφὴ β'.

ἐκεῖνος[1] οὔτε στεφάνων οὔτε βαθειᾶν κυλίκων νεῖμεν
[ἐμοὶ τέρψιν ὁμιλεῖν, 1200
οὔτε γλυκὺν αὐλῶν ὄτοβον[2],
δύσμορος, οὔτ' ἐννυχίαν
τέρψιν ἰαύειν[3].
ἐρώτων[4] δ', 1205
ἐρώτων ἀπέπαυσεν, ὤμοι, κεῖμαι δ' ἀμέριμνος[5] οὕ-
[τως, ἀεὶ πυκιναῖς ὀρόσοις
τεγγόμενος κόμας,
λυγρᾶς[6] μνήματα Τροίας. 1210

[1]) Κατὰ τὸν Σχολιαστήν· «Ἐκεῖνος ὁ εὑρὼν τὰ ὅπλα, ὅσον ἐφ' ἑαυτῷ, οὐ στεφάνων, οὐ κύλικος, οὐκ αὐλῶν τέρψιν μοι ἔνειμεν, ἀλλὰ πᾶν, φησί, τερπνὸν ἐξέκοψεν. Ἥδιστος δὲ ὢν ὁ Σοφοκλῆς παλιν ἐπὶ τὸ ἴδιον ἦθος ἔκλινεν ἐν τοῖς μέλεσιν· ὅθεν καὶ μέλιττα ἐκλήθη». Ποιεῖται μνείαν στεφάνων, διότι οἱ ἀρχαῖοι ἐστεμμένοι συνεποσιάζοντο. Τὰ ἀπαρέμφατα καὶ τὸ ὄτοβον ἐξαρτῶνται ἐκ τοῦ νεῖμεν. Ἡ τελευταία φράσις τοῦ στίχου ἰσοδυναμεῖ πρὸς τήνδε, ὁμιλίαν τερπομένην κύλιξιν.

[2]) Ὄτοβος εἶναι ὁ ἦχος τοῦ αὐλοῦ.

[3]) Κατὰ τὴν ὁμηρικὴν φράσιν. ἀΰπνους νύκτας ἰαύειν, ὅηλ. ἐστέρησέ με τοῦ νὰ διανυκτερεύω ἐν νυκτερινῇ τέρψει.

[4]) Ὁ Schneidewin εἰκάζει, ὅτι ἡ λέξις αὕτη εἶναι μεταγενεστέρα προσθήκη διορθωτοῦ ζητοῦντος νὰ ἀγάγῃ εἰς συμφωνίαν τὸ μέτρον τῆς στροφῆς μετὰ τοῦ τῆς ἀντιστροφῆς. Ὁ δὲ Σχολιαστὴς παρατηρεῖ· «Καὶ ἄκαιρον μὲν περὶ ἐρώτων μεμνῆσθαι ἐν τοῖς παροῦσιν, ὅμως δὲ ἀκολουθίαν ἔχει πρὸς τὰ προκείμενα».

[5]) Κατὰ τὸν Σχολιαστήν· «ἀμέριμνος καὶ μὴ ἔχων μέριμναν καὶ φροντίδα». Ὁ Wolff ὅμως ἐννοεῖ τὴν γενικὴν ἐρώτων ἐκ τῶν ἡγουμένων καὶ πολλοὶ δέχονται τὸ ἐπίθετον ἐν παθητικῇ σημασίᾳ, ὀλιγωρούμενος, ἀμελούμενος, ὅπερ εἶναι πιθανώτερον. Ἡ τελευταία ἑρμηνεία συμφωνεῖ καὶ πρὸς τὰ ἑπόμενα.

[6]) Τὸ λυγρᾶς ἀντὶ τῆς κοινῆς γραφῆς λυγράς ὀφείλεται τῷ Brunck. Τὰ μνήματα εἶναι παράθεσις εἰς τὰ προηγούμενα, ὡς παρὰ Σιμωνίδ. ἀποσπάσμ. 101 «Πέρσαις δὲ περὶ φρεσὶ πήματα πάντα ἤψαμεν, ἀργαλέης μνήματα ναυμαχίης». Πάντοτε αἱ συμφοραὶ εἶναι ἀναμνήσεις τοῖς παθοῦσιν. Ἡ ἐξήγησις τῆς δευτέρας στροφῆς ἔχει οὕτως· «Ἐκεῖνος δέν μοι ἐπέτρεψε νὰ λαμβάνω τὴν μεγάλην εὐχαρίστησιν, οὔτε τῶν στεφάνων, οὔτε τῶν ἐν τοῖς συμποσίοις μεγάλων ποτηρίων, οὔτε τοῦ γλυκέος ἤχου τῶν αὐλῶν, ὁ δυστυχής, οὔτε νὰ διανυκτερεύω ἐν νυκτερινῇ εὐχαριστήσει. Τῶν δὲ ἐρώτων, τῶν ἐρώτων ἐστέρησεν ἐμέ, φεῦ, καὶ κεῖμαι δ' οὕτως ὀλιγωρούμενος, πάντοτε διὰ πυκνῶν ὀρόσων βρεχόμενος κατὰ τὰς κόμας, ἅπερ εἶναι ἐνθυμήματα τῆς λύπας προξενησάσης Τροίας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀντιστροφὴ β'.

καὶ πρὶν μὲν οὖν[1] ἐννυχίου δείματος ἦν μοι προ-
[βολὰ καὶ βελέων[2] θούριος Αἴας·
νῦν δ' οὗτος ἀνεῖται[3] στυγερῷ
δαίμονι. τίς μοι, τίς ἔτ' οὖν
τέρψις ἐπέσται;
γενοίμαν
ἵν' ὑλᾶεν[4] ἔπεστι πόντου πρόβλημ' ἀλίκλυστον,
[ἄκραν ὑπὸ πλάκα Σουνίου[5],
τὰς ἱερὰς ὅπως
προσείποιμεν[6] Ἀθάνας.

1) Τὰ χειρόγραφα ἔχουσι, καὶ πρὶν μὲν ἐννυχίου, ὅπερ μὴ συμφωνοῦν κατὰ τὸ μέτρον διώρθωσεν ὁ Τρκλίνιος εἰς πρὶν μὲν οὖν ἐννυχίου, ὅπερ ἐδεξάμεθα. Ἄλλοι ὅμως ἄλλως διώρθωσαν· ὁ μὲν Dindorf εἰς, πρὶν μέν ἐξ ἐννυχίου, ὁ δὲ Volff, εἰς πρὶν μέν αἰὲν νυχίου.

2) Ἡ σύνταξις ἔχει οὑτωσί· Αἴας ἦν προβολὰ δείματος καὶ βελέων. Κατὰ τὸν Σχολιαστήν· «Τῆς νυκτερινῆς ἐφόδου τῶν πολεμίων καὶ τῶν βελῶν ἀλεξητήριον ἦν ὁ Αἴας».

3) Εἶναι ἀφειμένος, παραδεδομένος. Στυγερὸς δαίμων εἶναι ὁ Πλούτων.

4) Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Εἴθε γενοίμην, ὅπου ἐστὶν ἐπὶ τοῦ πόντου τὸ σύνδενδρον ἀκρωτήριον τὸ κλυζόμενον ὑπὸ τῆς ἁλός, λέγω ὑπὸ τὴν ἄκραν πλάκα, ἤγουν γῆν, τοῦ Σουνίου». Ἡ πρότασις αὕτη συνάπτεται τοῖς ἡγουμένοις, ὡς νομίζομεν, ἂν τὸ Σούνιον θεωρηθῇ ὡς ἀμυντήριον τῶν προσβολῶν, ὡς πρὶν ἦτο ὁ Αἴας. Τοῦτο ὑπεδήλωσεν ὁ ποιητὴς διὰ τῶν λέξεων προβολὰ καὶ πρόβλημα καὶ διὰ τῆς προθέσεως ὑπό.

5) Τῷ ἐξ ἀνατολῶν πλέοντι παρὰ τῷ Σουνίῳ ἦτο ὁρατὴ ἡ ἀκρόπολις τῶν Ἀθηνῶν καὶ ἐν τοῖς χρόνοις τοῦ Περικλέους ἐφαίνετο καὶ τὸ ὄρυ τῆς Ἀθηνᾶς, Παυσαν. I, 28, 2 «Ταύτης τῆς Ἀθηνᾶς ἡ τοῦ ὄρατος αἰχμὴ καὶ ὁ λόφος τοῦ κράνους ἀπὸ Σουνίου προσπλέουσίν ἐστιν ἤδη σύνοπτα». Ὁ τὸ Σούνιον παραπλέων ηὔχετο τῇ Σουνιάδι Ἀθηνᾷ καὶ τῷ Ποσειδῶνι, ὅστις διὰ τοῦτο ἐλέγετο Σουνιάρατος, Ἀριστοφάν, ἐν Ἱππ. 560.

6) Ἡ εὐκτικὴ ἐτέθη κατ' ἀφομοίωσιν πρὸς τὴν προηγουμένην, ὡς παρὰ Ξενοφ. ἐν Κύρ. ἀναβάσ. 2, 34 «βασιλεὺς ἡμᾶς ἀπολέσαι περὶ παντὸς ἂν ποιήσαιτο, ἵνα τοῖς ἄλλοις φόβος εἴη». Ἡ ἐξήγησις τῆς δευτέρας ἀντιστροφῆς εἶναι ἡ ἑξῆς· Καὶ πρότερον μὲν λοιπὸν πάντοτε ἦτο ὑπερασπισις κατὰ τοῦ νυκτερινοῦ φόβου καὶ τῶν ἐνύπλων προσβολῶν ὁ πολεμικὸς Αἴας· τώρα ὅμως οὗτος εἶναι παραδεδομένος εἰς μισητὸν δαίμονα. Τίς, τίς πλέον λοιπὸν εὐχαριστησις θὰ ὑπάρξῃ μετὰ ταῦτα; Εἴθε νὰ ἔλθω ἐκεῖ, ὅπου ἔχει σύνδενδρον ἀμυντήριον κατὰ τοῦ πόντου ὑπὸ τῆς θαλάσσης περιβρεχόμενον, δηλαδὴ ὑπὸ τὴν προστασίαν τοῦ ἀκρωτηρίου Σουνίου, ὅπως προσαγορεύσωμεν τὰς ἱερὰς Ἀθήνας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἔξοδος.

ΤΕΥΚΡΟΣ.

καὶ μὴν[1] ἰδὼν ἔσπευσα τὸν στρατηλάτην
Ἀγαμέμνον' ἡμῖν δεῦρο τόνδ' ὁρμώμενον·
δῆλος δέ μοὐστὶ[2] σκαιὸν ἐκλύσων στόμα.

ΑΓΑΜΕΜΝΩΝ.

σὲ[3] δὴ τὰ δεινὰ ῥήματ' ἀγγέλλουσί μοι
τλῆναι[4] καθ' ἡμῶν ὧδ' ἀνοιμωκτὶ χανεῖν.
σέ τοι, τὸν ἐκ τῆς αἰχμαλωτίδος[5], λέγω,
ἥ που τραφεὶς ἂν μητρὸς εὐγενοῦς ἄπο
ὑψηλ' ἐφώνεις[6] κἀπ' ἄκρων ὠδοιπόρεις,
ὅτ' οὐδὲν[7] ὢν τοῦ μηδὲν ἀντέστης ὕπερ,
κοὔτε στρατηγοὺς οὔτε ναυάρχους μολεῖν
ἡμᾶς[8] Ἀχαιῶν οὔτε σοῦ διωμόσω·

[1]) Ὁ Τεῦκρος ἐκλέξας τάφον τοῦ ἀδελφοῦ ἔρχεται ταχέως· διότι εἶδεν, ὅτι ὁ Ἀγαμέμνων ἐπορεύετο πρὸς τὸ πτῶμα.

[2]) Δὲν ἐπιδοκιμάζεται ἡ κοινὴ γραφὴ μοι 'στί, ἀλλὰ τὸ μοὐστί, ὅπερ ἰσοδυναμεῖ πρὸς ἐκεῖνο. Τὸ ἀντίθετον τοῦ ἐκλύειν στόμα εἶναι τὸ ἐν Ἀντιγόν. 180 «ἐκ φόβου του γλῶσσαν ἐγκλήσας ἔχει». Ἰσοκράτ. ἐν Παναθηναϊκ. κεφ. 36 «ἐπειδὴ περ ἐπελήλυθέ μοι τὸ παρρησιάζεσθαι καὶ λέλυκα τὸ στόμα». Καὶ ἡμεῖς οἱ νεώτεραι λέγομεν ξαπόλυσα τὴν γλῶσσα.

[3]) Ὁ Ἀγαμέμνων ἔρχεται εἰς τὴν σκηνὴν ἀκολουθούμενος ὑπὸ δύο κηρύκων· διότι ὁ Μενέλαος ὑπὸ τοῦ Τεύκρου ὑβρισθεὶς δὲν ἠδύνατο νὰ ἐπανέλθῃ διὰ τὸ αἰσχρὸν στίχ. 1159. Ὁ αὐτὸς δ' ὑποκριτὴς ἔχει τὰ πρόσωπα καὶ τῶν δύο Ἀτρειδῶν. Εὐθὺς ἐν ἀρχῇ ὁ Ἀγαμέμνων ἔχει τυραννικὸν ἦθος.

[4]) Κεῖται ἐν τῇ σημασίᾳ τοῦ τολμῆσαι. Τὸ ἀνοιμωκτὶ ὁ Σχολιαστὴς ἑρμηνεύει· «Χωρὶς οἰμωγῆς, ἀτιμωρήτως». Τὸ ῥῆμα χανεῖν ἰσοδυναμεῖ πρὸς τὸ χάσκοντα εἰπεῖν, ὡς παρ' Αἰσχύλ. ἐν Ἀγαμέμν. 892 «Μηδὲ βαρβάρου φωτὸς δίκην χαμαιπετὲς βόαμα προσχάνῃς ἐμοί». Ἡσύχιος· «ἔχανεν· εἶπεν, χάνοιμι· εἴποιμι, χανύειν· βοᾶν».

[5]) Δηλαδὴ Ἠσιόνης τῆς θυγατρὸς τοῦ Λαομέδοντος.

[6]) Σημαίνει ἐκόμπεις. Τὴν ἑπομένην φράσιν ὁ Σχολιαστὴς ἑρμηνεύει· «Ἐπ' ἄκρων δακτύλων ἔβαινες γαυριῶν», ὁ δὲ τοῦ Ἀριστοφάνους Σχολιαστὴς ἐν Ἀχαρν. 638 λέγει· «εἰώθασι γὰρ οἱ ἀλαζόνες ἐπ' ἄκρων ὀνύχων βαδίζειν».

[7]) Λέγει, ὅτι ὁ Τεῦκρος εἶναι οὐδὲν διὰ τὴν δυσγένειαν. Τὸν δὲ Αἴαντα ὀνομάζει τὸ μηδὲν ὡς τελευτήσαντα καὶ ἀνάξιον προσοχῆς. Παραπλήσιαι φράσεις ὑπάρχουσιν ἐν στίχ. 1275, ἐν Ἠλέκτρ. 1166 «τὴν μηδὲν» εἰς τὸ μηδέν».

[8]) Ὁ Ἀγαμέμνων ἐν τῇ ἀρχῇ ταυτίζει ἑαυτὸν τῷ Μενελάῳ, περὶ οὗ ὁ Τεῦκρος εἶπεν ἐν στίχ. 1103

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλ' αὐτὸς ἄρχων,[1] ὡς σὺ φῄς, Αἴας ἔπλει.
ταῦτ' οὐκ ἀκούειν[2] μεγάλα πρὸς δούλων κακά;
ποίου[3] κέκραγας ἀνδρὸς ὧδ' ὑπέρφρονα;
ποῦ βάντος[4] ἢ ποῦ στάντος, οὗπερ οὐκ ἐγώ;
οὐκ ἆρ' Ἀχαιοῖς ἄνδρες[5] εἰσὶ πλὴν ὅδε;
πικροὺς ἔοιγμεν[6] τῶν Ἀχιλλείων ὅπλων
ἀγῶνας Ἀργείοισι κηρῦξαι τότε,
εἰ πανταχοῦ φανούμεθ' ἐκ Τεύκρου[7] κακοί,
κοὐκ ἀρκέσει ποθ' ὑμὶν οὐδ' ἠσσημένοις
εἶκειν[8] ἃ τοῖς πολλοῖσιν ἤρεσκεν κριταῖς,
ἀλλ' αἰὲν ἡμᾶς ἢ κακοῖς[9] βαλεῖτέ που,
ἢ σὺν δόλῳ κεντήσεθ' οἱ λελειμμένοι[10].
ἐκ τῶνδε[11] μέντοι τῶν τρόπων οὐκ ἄν ποτε

«Σπάρτης ἀνάσσων ἦλθες, οὐχ ἡμῶν κρατῶν». Ἐκ τοῦ ἑπομένου ἐννοεῖται καὶ πρὸ τῶν Ἀχαιῶν τὸ οὔτε, ὡς ἐν Φιλοκτήτ. 771 «ἑκόντα μήτ' ἄκοντα» καὶ Αἰσχύλ. ἐν Χοηφ. 291 «δέχεσθαι δ' οὔτε συλλύειν τινά». Τὸ δὲ διωμόσω σημαίνει διισχυρίσθης, ἐβεβαίωσας οἱονεὶ μεθ' ὅρκου. Ἡ ὑπερβολὴ αὕτη ἐξηγεῖται ἐκ τῆς ὀργῆς τοῦ Ἀτρείδου.

1) Ὄντως ὁ Τεῦκρος εἶπεν ἐν στίχ. 1099 «οὐκ αὐτὸς ἐξέπλευσεν, ὡς αὐτοῦ κρατῶν;».

2) Ἡ σύνταξις ἔχει οὑτωσί· μεγάλα κακὰ (ὥστε) ἀκούειν πρὸς δούλων. Τὸν Τεῦκρον λέγει δοῦλον ὡς υἱὸν τῆς αἰχμαλωτίδος Ἡσιόνης.

3) Ἀντὶ περὶ ποίου ἀνδρός; ὡς ἐν Τραχιν. 1122 «τῆς μητρὸς ἥκω τῆς ἐμῆς φράσων» καὶ ἐν Φιλοκτήτ. 439.

4) Διὰ τῆς φράσεως ταύτης δηλοῦται, ὅτι ὁ Αἴας οὐδὲν ἔπραξεν ἄνευ τῆς διαταγῆς τοῦ Ἀγαμέμνονος, ὅπερ ἀναιρεῖ τὸν λόγον, ὅτι ὁ Αἴας ἔπλευσεν ἄρχων ἑαυτοῦ.

5) Δηλαδὴ γενναῖοι, ἀνδρεῖοι, ὡς ἐν στίχ. 77. Νομίζομεν, ὅτι ταῦτα λέγει διὰ τὴν κρίσιν τῶν ὅπλων. Δὲν ὑπάρχουσιν ἄλλοι γενναῖοι Ἀχαιοί, ἀλλὰ μόνος αὐτός, ὥστε ἦθελε νὰ λάβῃ τὰ ὅπλα;

6) Ἀντὶ ἐοίκαμεν ὡς καὶ παρ' Εὐριπίδ. ἐν Ἡρακλείδ. 427 καὶ 621. Τοιαῦτα εἶναι τὰ δέδοιγμεν ἀντὶ δεδοίκαμεν καὶ ἄνωγμεν ἀντὶ ἀνώγαμεν. Ἐπειδὴ ἡ λέξις ἀγὼν ἔχει γενικὴν σημασίαν, προσετέθη ἡ γενικὴ ὅπλων.

7) Μετὰ περιφρονήσεως ἀντὶ σοῦ. Ἐκ μέρους τοῦ Τεύκρου, κατὰ τὴν κρίσιν τοῦ Τεύκρου.

8) Τούτοις, ἃ ἐφάνησαν ἀρεστὰ εἰς τοὺς περισσοτέρους τῶν κριτῶν.

9) Ὡς οὐσιαστικὸν κεῖται τὸ ἐπίθετον, ὡς ἐν Φιλοκτήτ. 374 «εὐθὺς ἤρασσον κακοῖς τοῖς πᾶσιν». Τὸ βάλλειν καὶ τὸ κεντεῖν ὑπομιμνήσκουσι τὴν πόρρωθεν καὶ τὴν ἐκ τοῦ συστάδην μάχην. Μετεχειρίσθη δὲ τὸ κεντήσετε διὰ τὴν ἐπιχείρησιν τοῦ Αἴαντος.

10) Ἐννοεῖ τοὺς ἡττημένους ἐν τῇ κρίσει τῶν ὅπλων ἐκ μεταφορᾶς τῶν δρομέων.

11) Τοὺς τρόπους ἐξηγεῖ διὰ τῆς ἑπομένης ὑποθετικῆς προτάσεως.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

κατάστασις[1] γένοιτ' ἂν οὐδενὸς νόμου,
εἰ τοὺς δίκῃ νικῶντας ἐξωθήσομεν
καὶ τοὺς ὄπισθεν[2] εἰς τὸ πρόσθεν ἄξομεν.
ἀλλ' εἰρκτέον τάδ' ἐστίν. οὐ γὰρ οἱ πλατεῖς
οὐδ' εὐρύνωτοι φῶτες ἀσφαλέστατοι,
ἀλλ' οἱ φρονοῦντες[3] εὖ κρατοῦσι πανταχοῦ.
μέγας δὲ πλευρὰ[4] βοῦς ὑπὸ σμικρᾶς ὅμως
μάστιγος ὀρθὸς[5] εἰς ὁδὸν πορεύεται.
καὶ σοὶ προσέρπον τοῦτ' ἐγὼ τὸ φάρμακον[6]
ὁρῶ τάχ' εἰ μὴ νοῦν κατακτήσει τινά[7]·
ὃς ἀνδρὸς οὐκέτ' ὄντος, ἀλλ' ἤδη σκιᾶς[8],
θαρσῶν ὑβρίζεις κἀξελευθεροστομεῖς[9].
οὐ σωφρονήσεις; οὐ μαθὼν ὃς[10] εἶ φύσιν,
ἄλλον τιν' ἄξεις ἄνδρα δεῦρ' ἐλεύθερον,
ὅστις πρὸς ἡμᾶς ἀντὶ σοῦ[11] λέξει τὰ σά;
σοῦ γὰρ λέγοντος οὐκέτ' ἂν μάθοιμ' ἐγώ·

1250 1255 1260

1) Κατὰ τὸν Σχολιαστήν· «Εὐταξία, ἣν ὁ νόμος ποιεῖ».

2) Ἐξακολουθεῖ ἡ μεταφορὰ ἐκ τῶν ἀγωνιζομένων.

3) Ἀντὶ οἱ εὖ φρονοῦντες, ὡς ἐν Ἀντιγόν. 723. Ὀρθῶς λέγει ὁ Σχολιαστής· «Ἐπειδὴ δὲ αὐτοῦ τὴν κατὰ τὸ σῶμα ἀρετὴν καὶ ἰσχὺν διαβάλλειν οὐ δύναται, εἰς ἀφροσύνην αὐτὸν λοιδορεῖ».

4) Ὀλίγα χειρόγραφα, ὁ Στοβαῖος καὶ ὁ Εὐστάθιος ἔχουσι πλευρά, τὰ δὲ πλεῖστα πλευράς ἢ πλευράν. Ἡ λέξις αὕτη ποιεῖ τὴν ὁμοιότητα πρὸς τὸ προηγούμενον πλατεῖς καταφανεστέραν. Παραπλήσιον εἶναι τὸ ἐν Ἀντιγόν. 477 «σμικρῷ χαλινῷ δ' οἶδα τοὺς θυμουμένους ἵππους καταρτυθέντας».

5) Κατ' εὐθεῖαν, χωρὶς νὰ παρεκκλίνῃ, ὡς Εὐριπίδ. ἐν Ἑλέν. 1571 «ταύρειος δὲ πους οὐκ ἤθελ' ὀρθὸς σανίδα προσβῆναι κάτα».

6) Δηλαδὴ τὸ τῆς μάστιγος· θεωρεῖ δὲ τὸν Τεῦκρον οἱονεὶ πάσχοντα.

7) Εἰκονίζει τὸν Τεῦκρον ὡς νοῦν στερούμενον ὅλως νοός.

8) Ἐκ τοῦ ἡγουμένου ἐννοεῖται τὸ ὄντος.

9) Ὁ Σχολιαστὴς ἑρμηνεύει· «θρασυλογεῖς, λαβραγορεῖς».

10) Κεῖται ἀντὶ τοῦ ὅστις ὡς ἐν Οἰδίποδ. τυράνν. 655 «οἶσθ' οὖν ἃ χρῄζεις» καὶ ἐν Οἰδίποδ. ἐπὶ Κολων. 1068. Διὰ τῆς φράσεως ταύτης ἐλέγχει τὸ γένος τοῦ Τεύκρου.

11) Κατὰ τὸ ἀττικὸν δίκαιον οἱ δοῦλοι ἐν τῷ δικαστηρίῳ εἶχον ἀνάγκην προστάτου. Τραγικ. ἀδέσποτ. 246 «δοῦλος πέφυκας οὐ μέτεστί σοι λόγου». Ὁ δὲ Σχολιαστὴς παρατηρεῖ· «Νόμος ἦν Ἀθήνῃσι, τοὺς ἐξ ἑταίρας ἢ δούλης

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν βάρβαρον[1] γὰρ γλῶσσαν οὐκ ἐπαΐω.

ΧΟΡΟΣ.

εἴθ' ὑμὶν ἀμφοῖν νοῦς γένοιτο σωφρονεῖν[2].
τούτου γὰρ οὐδὲν σφῷν ἔχω λῷον φράσαι.

ΤΕΥΚΡΟΣ.

φεῦ· τοῦ θανόντος ὡς ταχεῖά τις βροτοῖς
χάρις διαρρεῖ[3] καὶ προδοῦσ' ἁλίσκεται,
εἰ σοῦ γ' ὅδ' ἀνὴρ οὐδ' ἐπὶ σμικρῶν[4] λόγων,
Αἴας, ἔτ' ἴσχει μνῆστιν, οὗ σὺ πολλάκις
τὴν σὴν προτείνων προύκαμες[5] ψυχὴν δορί·
ἀλλ' οἴχεται δὴ πάντα ταῦτ' ἐρριμμένα,
ὦ πολλὰ λέξας ἄρτι κἀνόητ' ἔπη,
οὐ μνημονεύεις οὐκέτ' οὐδέν, ἡνίκα
ἑρκέων[6] ποθ' ὑμᾶς οὗτος ἐγκεκλῃμένους,

τεχθέντας μὴ δημηγορεῖν». Τοῦτο εἶναι ἀναχρονισμός.

[1]) Καὶ τοῦτο λέγεται κατὰ τὰς ἰδέας τῶν συγχρόνων Ἀθηναίων, παρ' οἷς οἱ δοῦλοι ἦσαν βάρβαροι. Διότι ἐν τοῖς ὁμηρικοῖς ἔπεσιν οἱ Τρῶες διαλέγονται ἑλληνιστί, ὡς καὶ οἱ Ἀχαιοί, καὶ μόνον οἱ Κᾶρες λέγονται βαρβαρόφωνοι Ἰλιάδ. Β, 867.

[2]) Δηλαδὴ νοῦς ὥστε σωφρονεῖν. Κατὰ τὸν Σχολιαστήν· « Ἐπεὶ οὐ συμβουλεύει διὰ τὸ Ἀγαμέμνονος ἀξίωμα ὁ χορός, ἐν τῇ εὐχῇ τὴν γνώμην κατέθηκεν ».

[3]) Κατὰ τὸν Wunder ἡ φράσις ἰσοδυναμεῖ πρὸς τήν, βροτοὶ ἐκχέουσιν ἢ ἐκβάλλουσι χάριν, Εὐριπίδ. ἐν ἀποσπάσμ. 736 « ἡ δ' ἐν ὀφθαλμοῖς χάρις ἀπόλωλ' ὅταν τις ἐκ δόμων ἀνὴρ θάνῃ· σπάνιον ἄρ' ἦν θανοῦσιν ἀσφαλεῖς φίλοι» καὶ ἐν Ἑκάβ. 311. Εἰς τὸ προδοῦσα ἐννοεῖται τὸ θανόντα ἢ αὐτόν.

[4]) Οὕτως ἔχουσι τὰ χειρόγραφα, ἐν ᾧ ὁ Wunder ἔτρεψεν εἰς ἐπὶ σμικρῷ λόγῳ, διότι τὴν τῶν χειρογράφων γραφὴν οὐδὲ ἑλληνικὴν θεωρεῖ. Κατ' αὐτὸν οὔτε ἡ ἐπὶ ἠδύνατο ἐνταῦθα νὰ συνταχθῇ πρὸς γενικήν, οὔτε ὁ πληθυντικὸς ἀριθμός ἠδύνατο εὐκόλως νὰ τεθῇ. Ἀλλ' ἡ διόρθωσις αὐτοῦ δὲν εὗρε πολλοὺς μιμητάς. Κατὰ τὸν Bellermann ἡ ἐπὶ μετὰ γενικῆς δηλοῖ τὸν τρόπον ἢ τὸ ὄργανον, ὡς ἐν Ἠλέκτρ. 414 «ἀλλ' οὐ κάτοιδα πλὴν ἐπὶ σμικρῶν φράσαι» καὶ παρὰ Δημοσθέν. 18, 17 «οὔτε δικαίως οὔτ' ἐπ' ἀληθείας οὐδεμιᾶς εἰρημένα». Ὁμολογοῦμεν, ὅτι ἡ ἑρμηνεία εἶναι βεβιασμένη. Ὁ δὲ Nauck οὐχὶ ἀπιθάνως παρατηρεῖ, ὅτι ἡ συνέχεια τοῦ λόγου ἀπαιτεῖ, οὐδ' ἐπὶ σμικρὸν χρόνον.

[5]) Τὸ προκάμνειν συνετάχθη πρὸς γενικήν, ὡς τὸ προπονεῖν, προκινδυνεύειν, προμάχεσθαι. Παραπλήσια λέγει ὁ Ἀχιλλεὺς ἐν Ἰλιάδ. Υ' 323 « αἰὲν ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν ».

[6]) Ὁ μὲν Wolff συντάσσει μετὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἤδη τὸ μηδὲν ὄντας, ἐν τροπῇ[1] δορὸς
ἐρρύσατ' ἐλθὼν μοῦνος[2], ἀμφὶ μὲν νεῶν
ἄκροισιν ἤδη ναυτικοῖς[3] ἑδωλίοις
πυρὸς φλέγοντος, εἰς δὲ ναυτικὰ σκάφη
πηδῶντος ἀρδην[4] Ἕκτορος τάφρων ὕπερ;
τίς ταῦτ' ἀπεῖρξεν; οὐχ ὅδ' ἦν ὁ δρῶν τάδε,
ὃν οὐδαμοῦ φῆς οὐδὲ συμβῆναι[5] ποδί;
ἆρ' ὑμὶν[6] οὗτος ταῦτ' ἔδρασεν ἔνδικα;

τοῦ ἐρρύσατο, ὁ δὲ Wunder πιθανώτερον μετὰ τοῦ ἐγκεκλημένους. Ἡ γενικὴ δηλοῖ τὴν περιοχὴν τοῦ τείχους, ὡς καὶ Εὐριπίδ. ἐν Φοιν. 451 «τόνδ' εἰσεδέξω τειχέων». Περὶ τούτων λέγει ὁ Ὅμηρος ἐν Ἰλιάδ. Ο, 415.

[1]) Κατὰ τὸν Σχολιαστήν· «Τρόπαιον, ἐπὶ τῶν διωκόντων, τροπή, ἐπὶ τῶν διωκομένων». Δόρυ σημαίνει τὴν μάχην, ὡς πολλαχοῦ.

[2]) Ὁ Ὅμηρος λέγει ἐν Ἰλιάδ. Ο, 415. «Ἕκτωρ δ' ἄντ' Αἴαντος ἐείσατο κυδαλίμοιο». Ἐπειδὴ ὁ Ἀγαμέμνων εἶπεν, ὅτι πάντοτε ὁ Αἴας ἐπορεύετο ἢ ἵστατο μεθ' ἑαυτοῦ στίχ. 1237, ὁ Τεῦκρος ὑπομιμνήσκει τὴν περίστασιν, καθ' ἣν μόνος ἐμάχετο ὑπὲρ τῶν νεῶν.

[3]) Ἐπειδὴ προηγεῖται τὸ νεῶν, τὸ ναυτικοῖς ἐφάνη παρέλκον τῷ Bothe καὶ τῷ Bergk, ἐξ ὧν ἐκεῖνος μὲν διώρθωσεν εἰς ναυτικοῖς θ' ἑδωλίοις, οὗτος δὲ εἰς πευκίνοις θ' ἑδωλίοις. Ἀλλὰ κατὰ τὸν Schneidewin ἡ φράσις ἰσοδυναμεῖ πρὸς τήνδε, τὰ τῶν ναυτῶν ἐν ταῖς ναυσὶν ἑδώλια. Ἐπαναλαμβάνει δὲ τὴν ἔννοιαν τῶν νεῶν, διότι ἄνευ τούτων ἡ πιθανότης τοῦ νόστου τῶν Ἀχαιῶν ἀφῃρεῖτο.

[4]) Παρὰ μὲν τῷ Σχολιαστῇ ἐξηγεῖται μετεώρως, κούφως, ἐν δὲ τῷ λεξικῷ τοῦ Ellendt summa vi. Κατὰ τὸν Bellermann ἡ φράσις τάφρων ὕπερ δὲν ἁρμόζει ἐνταῦθα· διότι ἐν τῇ Ἰλιάδι μεταξὺ τῆς διαβάσεως τῆς τάφρου ὑπὸ τῶν Τρώων Ο, 360, μέχρις ὅτου ὁ Ἕκτωρ προσέβαλε τὸ πλοῖον Ο, 704, κεῖται σειρὰ μαχῶν. Εἰκάζει δ', ὅτι ὁ Σοφοκλῆς ἐνταῦθα, ὡς καὶ ἐν στίχ. 1029, ἠκολούθησεν ἄλλῃ παραδόσει.

[5]) Ταῦτα λέγονται ὡς ἀπόκρισις εἰς τὸν στίχον 1237. Ἐπειδὴ ὅμως τὰ ἐνταῦθα ἀνασκευαζόμενα δὲν εἶπεν ὁ Ἀγαμέμνων, οἱ ἀρχαῖοι παρετήρησαν, ὅτι ὁ Τεῦκρος συκοφαντεῖ τὸν Ἀτρείδην, ὡς λέγει ὁ Σχολιαστής· «Φαμέν οὖν, ὅτι, ὥσπερ κατὰ τὰς ἔριδας συμβαίνει προσφέρειν ἔσθ' ὅτε τὸν ἀντίδικον ἀπολογούμενον τῇ προηγουμένῳ τῆς δίκης τοιαῦτα, ἃ οὐδέποτ' αὐτὸς ἐφθέγξατο, οὕτω κἀνταῦθα». Οἱ νεώτεροι συνήθως δέχονται, ὅτι εἶναι ὑπερβολὴ προελθοῦσα ἐξ ὀργῆς. Ὁ Ἀγαμέμνων εἶχεν εἰπεῖ, ὅτι ὁ Αἴας πάντοτε μετὰ τοῦ Ἀγαμέμνονος ἔβαινε καὶ ἵστατο. Ἐνταῦθα ὅμως ὁ Τεῦκρος θείξας περιστάσεις, ἐν αἷς μόνος ὁ Αἴας εἰργάσθη ἄνευ τοῦ Ἀτρείδου, ἐλέγχει τοῦτον. Εἰς τὸ συμβῆναι ἐννοεῖται ἡ δοτικὴ σοί. Ὁ μὲν Hartung ἀπιθάνως ἔτρεψεν εἰς οὐδὲ συμβαλεῖν πόδα, ὁ δὲ Krauss πιθανώτερον εἰς οὐ σὺ μή, βῆναι ποδί.

[6]) Κατὰ τὴν ὑμετέραν κρίσιν, ὡς ἐν Ἀντιγόν. 904 «καίτοι σ' ἐγὼ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χὥτ'[1] αὖθις αὐτὸς Ἕκτορος μόνος μόνου,
λαχὼν τε κἀκέλευστος[2], ἦλθ' ἐναντίος,
οὗ δραπέτην[3] τὸν κλῆρον ἐς μέσον καθεὶς
ὑγρᾶς ἀρούρας βῶλον, ἀλλ' ὃς εὐλόφου
κυνῆς ἔμελλε πρῶτος ἅλμα κουφιεῖν[4];
ὃδ' ἦν ὁ πράσσων ταῦτα, σὺν[5] δ' ἐγὼ παρών,
ὁ δοῦλος, οὐκ τῆς βαρβάρου μητρὸς γεγώς.
δύστηνε, ποῖ βλέπων[6] ποτ' αὐτὰ καὶ θροεῖς;
οὐκ οἶσθα, σοῦ πατρὸς μὲν ὃς προύφυ πατήρ,
ἀρχαῖον ὄντα Πέλοπα βάρβαρον Φρύγα[7],
Ἀτρέα δ', ὃς αὖ σ' ἔσπειρε, δυσσεβέστατον

1285

1290

ἐτίμησα τοῖς φρονοῦσιν εὖ» καὶ Εὐριπίδ. ἐν Φοινίσσ. 495.

[1]) Καὶ ὅτε, ὅπερ ἀναφέρεται εἰς τὸ οὐ μνημονεύεις ἐν στίχ. 1273, ὡς καὶ τὸ προηγούμενον ἡνίκα. Ἡ σύνταξις ἔχει οὕτως· αὐτὸς μόνος ἦλθ' ἐναντίος Ἕκτορος μόνου.

[2]) Ὁ Σχολιαστὴς ἑρμηνεύει «ἀκληρωθεὶς καὶ αὐθόρμητος». Ταῦτα περιγράφει ὁ Ὅμηρος ἐν Ἰλιάδ. Η, 92 καὶ 171—190. Νομίζομεν, ὅτι τὸ ἀκέλευστος ὑποδεικνύει περίστασιν, καθ' ἣν ὁ Αἴας δὲν ἐξηρτᾶτο ἐκ τῶν κελευσμάτων τοῦ Ἀγαμέμνονος.

[3]) Οἱ τρεῖς Ἡρακλεῖδαι, ὁ Τήμενος, ὁ Κρεσφόντης καὶ ὁ Ἀριστόδημος, θέλοντες νὰ διανείμωσι τὴν Πελοπόννησον ἀλλήλοις ὡμολόγησαν, ὅτι ἐκεῖνος, οὗ ὁ κλῆρος ἤθελεν ἐξέλθει πρῶτος, ἤθελε λάβει τὸ Ἄργος, καὶ ὁ ἑπόμενος τὴν Λακωνικήν. Ἐκεῖνος δέ, οὗ κλῆρος ἤθελε μείνει ἐν τῇ ὑδρίᾳ, ἔμελλε νὰ λάβῃ τὴν πλουσίαν Μεσσηνίαν. Ἐπειδὴ δὲ ὁ Κρεσφόντης ταύτης ὠρέγετο, ἔρριψεν ἀντὶ λίθου ὑγρὰν βῶλον, ἥτις διαλυθεῖσα ἔμεινεν ἐν τῇ ὑδρίᾳ Ἀπολλόδωρ. 2, 8, 4. Διὰ τοῦτο τὸν τοιοῦτον κλῆρον λέγει δραπέτην. Τοῦτο εἶναι ἀναχρονισμός· διότι ἡ εἰσβολὴ τῶν Δωριέων εἰς τὴν Πελοπόννησον ἐγένετο μετὰ τὸν Τρωϊκὸν πόλεμον.

[4]) Ποιητικῶς ἀντὶ, κούφως ποιήσειν, ὡς Εὐριπίδ. ἐν Ἡλέκτρ. 858 «ὡς νεβρὸς οὐράνιον πήδημα κουφίζουσα». Ὁ μὲν Κρεσφόντης πρὸς τὸ συμφέρον αὐτοῦ ἔρριψε κλῆρον, ἵνα μείνῃ κάτω, ὁ δὲ Αἴας πρὸς ἴδιον κίνδυνον, ἵνα κούφως πηδήσῃ. Ὅρα Ἰλιάδ. Η, 182.

[5]) Δηλαδὴ σὺν τῷδε, ὡς ἐν Ἀντιγόν. 85 «κεῖθε· σὺν δ' αὖτως ἐγώ». Οἱ δύο ἀδελφοὶ συχνάκις ἵστανται ὁμοῦ Ἰλιάδ. Ο, 436 καὶ Θ, 266.

[6]) Κατὰ τὸν Σχολιαστήν· «Ἤγουν εἰς ποίαν εὐγένειαν σὴν ἀφορῶν ταῦτα λέγεις;»

[7]) Ὁ Πέλοψ κυρίως ἦτο Λυδός, ἀλλ' ἐξηγεῖται ἐκ τοῦ Στράβωνος 12, 571 «Καὶ τὴν περὶ Σίπυλον Φρυγίαν οἱ παλαιοὶ καλοῦσιν, ἣ καὶ τὸν Τάνταλον Φρύγα καὶ τὸν Πέλοπα καὶ τὴν Νιόβην». Ὅρα Σοφοκλ. ἐν Ἀντιγόν. 824. Καὶ παρὰ τῷ Ἡροδότῳ VII, 11 ὁ Πέλοψ λέγεται Φρύξ. Ὁ Ἀγαμέμνων εἶπεν ἐν στίχ. 1263 «τὴν βάρβαρον γὰρ γλῶσσαν οὐκ ἐπαΐων»· διότι ἡ μήτηρ τοῦ Τεύκρου ἦτο ἐκ Φρυγίας,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προθέντ' ἀδελφῷ[1] δεῖπνον οἰκείων τέκνων;
αὐτὸς δὲ μητρὸς ἐξέφυς Κρήσσης[2], ἐφ' ᾗ
λαβὼν ἐπακτὸν[3] ἄνδρ' ὁ φυτεύσας πατὴρ
ἐφῆκεν ἐλλοῖς[4] ἰχθύσιν διαφθοράν.
τοιοῦτος ὢν τοιῷδ' ὀνειδίζεις σποράν;
ὃς ἐκ πατρὸς μέν[5] εἰμι Τελαμῶνος γεγώς,
ὅστις στρατοῦ τὰ πρῶτ'[6] ἀριστεύσας ἐμὴν
ἴσχει[7] ξύνευνον μητέρ', ἣ φύσει μὲν ἦν

ἀλλ' ἐνταῦθα καὶ αὐτὸς ὁ Ἀτρείδης ἐλέγχεται ὡς Φρύξ. Κατὰ τὸν Nauck οἱ ἀνάρμοστοι στίχοι 1291—98 δυσκόλως δύνανται νὰ ἦναι γνήσιοι. Ὅρα εἰσαγωγ. σελ. 42.

1) Ἐννοεῖ τὸν Θυέστην.

2) Κατὰ τὸν Schneidewin τοῦτο λέγει πρὸς περιφρόνησιν, διότι οἱ Κρῆτες λέγονται ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί.

3) Ὁ Σχολιαστὴς ἑρμηνεύει· «ἐπείσακτον, μοιχόν». Ἐνταῦθα γεννᾶται τὸ ζήτημα, τίνα ἐννοεῖ ὁ ποιητὴς διὰ τῆς φράσεως ὁ φυτύσας πατήρ. Τὸν πατέρα τῆς Ἀερόπης, (Ἀπολλόδωρ. 3, 2 καὶ Σχολ. Λυκόφρ. 149), ἢ τὸν ἄνδρα αὐτῆς τὸν Ἀτρέα; Ὁ Σχολιαστὴς ἐννοεῖ τὸν πρῶτον· «Ἡ ἱστορία ἐν ταῖς Κρήσσαις Εὐριπίδου, ὅτι διαφθαρεῖσαν αὐτὴν λάθρᾳ ὑπὸ θεράποντος, ὁ πατὴρ Ναυπλίῳ παρέδωκεν, ἐντειλάμενος ἀποπον-τῶσαι. Ὁ δὲ οὐκ ἐποίησεν, ἀλλ' ἐνεγγύησε Πλεισθένει». Ἀλλ' ὁ Σχολιαστὴς τοῦ Εὐριπίδου ἐν Ὀρέστ. 800 παραδίδει ἄλλως τὸν μῦθον· «Ἀτρεὺς τὴν γυναῖκα Ἀερόπην τιμωρεῖται, ὅτι ἐμοιχεύετο Θυέστῃ, ῥίψας αὐτὴν εἰς τὴν θάλασσαν, ὡς φησὶ Σοφοκλῆς» Ὅρα καὶ Σχολ. Λιβαν. τόμ. IV, σελ. 65. Ὁ Schneidewin ἐννοεῖ τὸν πατέρα τῆς Ἀερόπης, διότι, ὡς λεγει, τοῦτο δεικνύει ἡ φράσις ἐπακτὸς ἀνήρ, ἤτις ὅμως ὑποδεικνύει μᾶλλον τὸν Ἀτρέα. Κατὰ δὲ τὸν Dindorf ἂν ὁ ποιητὴς ἐνόει τὸν Ἀτρέα, ἔπρεπε νὰ εἴπῃ ὁ φιτύσας σ' ἀνὴρ ἢ ὁ φιτύσας Ἀτρεὺς καὶ ὄντως ὁ Hermann εἶχε γράψει ὁ φιτύσας σ' Ἀτρεύς. Νομίζομεν, ὅτι ὁ ποιητὴς ἐννοεῖ τὸν Ἀτρέα καὶ ὅτι οὐδεμιᾶς διορθώσεως εἶναι ἀνάγκη, διότι ὁ πατὴρ εἶναι τοῦ αὐτοῦ ἐκείνου, οὗ καὶ ἡ μήτηρ. Ἂν δὲ ἐνόει τὸν Κατρέα, ἔπρεπε νὰ ἄρξηται ἄλλως τοῦ λόγου, δηλ. ἔπρεπε νὰ εἴπῃ περὶ τῆς Ἀερόπης ὡς περὶ θυγατρὸς καὶ οὐχὶ ὡς περὶ μητρός, ἐφ' ᾗ. Ἄλλως ὁ θεράπων τοῦ Κατρέως ἠδύνατο νὰ ὀνομασθῇ ἐπακτός; Οὗτος ᾠκει ἐν τῷ οἴκῳ, Ἡρόδοτ. II, 102 «Τῇ Ἑλλάδι πενίη μὲν αἰεί κοτε σύντροφος σύνεστι, ἀρετὴ δὲ ἐπακτός ἐστι ἀπό τε σοφίης κατεργασμένη καὶ νόμου ἰσχυροῦ».

4) Τινὲς ἑρμηνεύουσι τὸ ἐπίθετον ταχὺς παράγοντες τοῦτο ἐκ τοῦ ἑλαύνω, ὀρθότερον δὲ ὁ Σχολιαστὴς ἄφωνος. Νομίζομεν, ὅτι διὰ τοῦ ἐπιθέτου τούτου ὁ ποιητὴς θέλει νὰ ὑποδηλώσῃ τὴν πρόθεσιν τοῦ Ἀτρέως, ὅπως διαμείνῃ ἡ πρᾶξις ἐν κρυπτῷ.

5) Ὡς ἀπόδοσιν περιεμένομεν τὴν φράσιν, ἐκ μητρὸς δέ, ἀνθ' ἧς εἶπεν ἀνακολούθως, ὅστις ἴσχει, ὡς ἐν Τραχιν. 6, ἐν Οἰδίποδ. ἐπὶ Κολων. 1285 καὶ πολλαχοῦ.

6) Τὸ ἀριστεύειν εἶναι ἀμετάβατον, ἀλλὰ δέχεται τὴν σύστιχον αἰτιατικήν. Ὅρα στίχ. 435.

7) Μετεχειρίσθη τὸν ἐνεστῶτα,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βασίλεια, Λαομέδοντος· ἔκκριτον δέ νιν
δώρημα κείνῳ δῶκεν Ἀλκμήνης γόνος.
ἆρ' ὧδ' ἄριστος[1] ἐξ ἀριστέων δυοῖν
βλαστὼν ἂν αἰσχύνοιμι τοὺς πρὸς αἵματος[2], 1305
οὓς νῦν σὺ τοιοῖσδ' ἐν πόνοισι[3] κειμένους
ὠθεῖς ἀθάπτους, οὐδ' ἐπαισχύνει λέγων[4];
εὖ νυν τόδ' ἴσθι, τοῦτον εἰ βαλεῖτέ[5] που,
βαλεῖτε χἡμᾶς, τρεῖς[6] ὁμοῦ συγκειμένους·
ἐπεὶ καλόν μοι τοῦδ' ὑπερπονουμένῳ 1310
θανεῖν προδήλως[7] μᾶλλον, ἢ τῆς σῆς ὑπὲρ
γυναικός[8], ἢ τοῦ σοῦ γ' ὁμαίμονος λέγω.

διότι κατὰ τὸν μῦθον ἡ Ἡσιόνη ἔτι ἔζη, ὡς λέγει ὁ Bellermann.

1) Τοῦτο ἀναφέρεται εἰς τὴν προσωπικὴν τοῦ Τεύκρου ἀρετήν. Ὅρα, ὅτι ἐν τῇ ἑπομένῃ φράσει συνήνωσε πληθυντικὸν μετὰ δυϊκοῦ ἀριθμοῦ.

2) Δηλαδὴ τοὺς συγγενεῖς, ὡς ἐν Ἠλέκτρ. 1125. Παρὰ τοῖς τραγικοῖς συχνάκις ὁ πληθυντικὸς κεῖται ἀντὶ τοῦ ἑνικοῦ· ἐννοεῖται μόνον ὁ Αἴας.

3) Κατὰ τὸν Σχολιαστήν· «Τοιαύταις ἐν συμφοραῖς».

4) Ἐννοεῖται τὸ ἀντικείμενον τοῦτο. Σημειωτέον, ὅτι ὁ μὲν Erfurdt διώρθωσεν εἰς ψέγων, ὁ δὲ Wolff εἰς γελῶν. Ἀλλ' οὐδεμία διόρθωσις εἶναι ἀναγκαία. Παραπλήσιον εἶναι τὸ ἐν Φιλοκτήτ. 928.

5) Ῥίψητε ἄθαπτον, ὡς καὶ ἐν στίχ. 133.

6) Ὁ ἀρχαῖος Σχολιαστὴς ἐνόμιζεν, ὅτι ἐννοεῖ τὸν Τεῦκρον αὐτόν, τὸν Ἀγαμέμνονα καὶ τὸν Μενέλαον, ὅπερ δὲν εἶναι ὀρθόν. Ὀρθότερον ἐννοεῖ ὁ νεώτερος Σχολιαστής· «Ἑαυτὸν λέγει καὶ τὴν Τέκμησσαν καὶ τὸν Εὐρυσάκην». Οἱ μὲν δύο ἤπτοντο ἔτι τοῦ πτώματος τοῦ Αἴαντος, ὅτι δὲ ὁ τρίτος εἶναι ὁ Τεῦκρος μαρτυρεῖ τὸ ἡμᾶς.

7) Ὁ μὲν Schneidewin εὑρίσκων μεγάλην δυσκολίαν περὶ τὴν ἑρμηνείαν τοῦ ἐπιρρήματος εἰκάζει, ὅτι τὸ χωρίον διεφθάρη, ὁ δὲ Wolff ἐξηγεῖ πρὸ τῶν ὀφθαλμῶν τοῦ ὅλου στρατοῦ. Ἀλλ' ἂν ἔπιπτεν ἐν τῷ πεδίῳ τῆς μάχης, δὲν ἤθελε συμβῆ τὸ αὐτό; Ὁ Σχολιαστὴς ἑρμηνεύει λαμπρῶς, ἀνδρείως, ὅπερ δέχεται καὶ ὁ Dindorf. Ἐρωτῶμεν ὅμως· τὸ πίπτειν ἐν τῷ πεδίῳ τῆς μάχης δὲν εἶναι ἀνδρεῖον; Διὰ ταῦτα ἡμεῖς ἐξηγοῦμεν τὴν λέξιν ἐν τῇ κυρίᾳ αὐτῆς σημασίᾳ, δι' αἰτίαν φανεράν, οἷα ἡ τοῦ θνήσκειν ὑπὲρ τοῦ θείου δικαίου καὶ οὐχὶ διὰ γυναικείας αἰτίας, αἵτινες πάντοτε εἶναι ἀσαφεῖς· διότι αἱ γυναῖκες εἰ μὴ ἤθελον, δὲν ἐκλέπτοντο, ὡς λέγει ὁ Ἡρόδοτος ἐν I, 4. Ἡ ἑπομένη κτητικὴ ἀντωνυμία λέγεται περιφρονητικῶς, ὡς παρ' Εὐριπίδ. ἐν Ἀντιγόν. 573.

8) Βεβαίως αἰτία τοῦ Τρωϊκοῦ πολέμου δὲν ἦτο ἡ Κλυταιμνήστρα, ἀλλ' ἡ Ἑλένη, πρὸς ὁμοίαν ὅμως περιφρόνησιν ὁ Ἀχιλλεὺς παρ' Ὁμήρῳ συνέδεσε τοὺς Ἀτρείδας ἐν Ἰλιάδ. I, 327 «ἀνδράσι μαρνάμε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρὸς ταῦθ' ὅρα μὴ τοὐμόν, ἀλλὰ καὶ τὸ σόν.
ὡς εἴ με πημανεῖς τι, βουλήσει ποτὲ
καὶ δειλὸς εἶναι μᾶλλον, ἢ 'ν ἐμοὶ θρασύς[1]. 1315

ΧΟΡΟΣ.

ἄναξ Ὀδυσσεῦ[2], καιρὸν ἴσθ' ἐληλυθώς,
εἰ μὴ[3] ξυνάψων, ἀλλὰ συλλύσων πάρει.

ΟΔΥΣΣΕΥΣ.

τί δ' ἔστιν, ἄνδρες; τηλόθεν γὰρ ἠσθόμην
βοὴν Ἀτρειδῶν τῷδ' ἐπ' ἀλκίμῳ[4] νεκρῷ.

ΑΓΑΜΕΜΝΩΝ.

οὐ γὰρ[5] κλύοντές ἐσμεν αἰσχίστους λόγους, 1320
ἄναξ Ὀδυσσεῦ, τοῦδ' ὑπ' ἀνδρὸς ἀρτίως;

ΟΔΥΣΣΕΥΣ.

ποίους; ἐγὼ γὰρ ἀνδρὶ συγγνώμην ἔχω[6]

νος ὁάρων ἕνεκα σφετεράων» καὶ ἐν στίχ. 340 «ἦ μοῦνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων Ἀτρεΐδαι;». Τὴν ἑπομένην φράσιν πάντα τὰ χειρόγραφα ἔχουσιν ἢ σοῦ σοῦ θ' ὁμαίμονος, ἣν οἱ κριτικοὶ πολλαχῶς ἐπιχειροῦσι νὰ διορθώσωσιν· ὁ μὲν Hermann, ἢ τοῦ σοῦ θ' ὁμαίμονος, ὁ δὲ Dindorf ἢ τοῦ σοῦ ξυναίμονος, ὁ δὲ Bergk ἢ σοῦ τοῦ θ' ὁμαίμονος καὶ ὁ Thiersch ἢ τοῦ σοῦ γ' ὁμαίμονος, ἣν καὶ προτιμῶμεν. διότι ἡ μεταβολὴ εἶναι ἐλαχίστη καὶ παρέχει κρεῖττονα ἔννοιαν. Οὕτως ἡ δευτέρα αὕτη διαζευκτικὴ πρότασις εἶναι μὲν μικρά τις ἐπιδιόρθωσις τῆς προηγουμένης, ἀλλὰ πάντοτε ὑπολείπεται ἡ ἔννοια, ὅτι ἡ Κλυταιμνήστρα κατὰ τὸ ἦθος δὲν διαφέρει τῆς Ἑλένης.

1) Διὰ τῶν φράσεων τούτων ὁ Τεῦκρος ἀπειλεῖ τὸν Ἀγαμέμνονα λέγων, ὅτι θέλει μεταμεληθῆ.

2) Ὁ ὑποκριτὴς ὁ τὸ πρόσωπον τῆς Τεκμήσσης ἔχων ἔλαβε τὸ τοῦ Ὀδυσσέως. Ὀρθῶς λέγει ὁ Σχολιαστής· «Ἵνα μὴ ᾖ αὐτῶν εἰς μακρὰν ἡ φιλονεικία, διαλλακτὴν εἰσήνεγκε τὸν Ὀδυσσέα. Τοιοῦτον γὰρ ὁ καιρὸς ἐζήτει. Εἰσῆκται δὲ Ὀδυσσεὺς ὡς σοφὸς καὶ ἀμνησίκακος». Ὅρα εἰσαγωγ. σελ. 63.

3) Τὸ μὴ προσδιορίζει μόνον τὸ ξυνάψων. Διὰ μὲν τῆς πρώτης μετοχῆς δηλοῖ τὴν περιπλοκὴν τῆς ἔριδος, διὰ δὲ τῆς δευτέρας τὴν διάλυσιν αὐτῆς. Ὅρα καὶ Ἀντιγόν. στίχ. 40. Ἔθηκε τὴν σὺν πρόθεσιν ἐν τῷ συλλύσων, διότι καὶ ὁ χορὸς πειρᾶται νὰ διαλλάξῃ τοὺς ἐρίζοντας.

4) Εὐθὺς ἐν ἀρχῇ διαφαίνεται ἡ τοῦ Ὀδυσσέως γνώμη. Λοιπὸν πάρεστι λύσων.

5) Αἰτιολογεῖ τὸ ἐννοούμενον βεβοήκαμεν.

6) Ἔχει ἐνεργητικὴν σημασίαν, συγχωρῶ, ὡς ἐν Φιλοκτήτ. 1319, παθητικὴν δὲ ἐν Τραχιν. 328.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κλύοντι φλαῦρα συμβαλεῖν[1] ἔπη κακά.

ΑΓΑΜΕΜΝΩΝ.

ἤκουσεν αἰσχρά· δρῶν γὰρ ἦν τοιαῦτά[2] με.

ΟΔΥΣΣΕΥΣ.

τί γάρ σ' ἔδρασεν, ὥστε καὶ βλάβην ἔχειν;

ΑΓΑΜΕΜΝΩΝ.

οὗ φησ' ἐάσειν τόνδε τὸν νεκρὸν ταφῆς
ἄμοιρον[3], ἀλλὰ πρὸς βίαν θάψειν ἐμοῦ.

ΟΔΥΣΣΕΥΣ.

ἔξεστιν[4] οὖν εἰπόντι τἀληθῆ φίλῳ
σοὶ μηδὲν ἧσσον ἢ πάρος ξυνηρετεῖν[5];

ΑΓΑΜΕΜΝΩΝ.

εἶπ'· ἦ γὰρ εἴην[6] οὐκ ἂν εὖ φρονῶν, ἐπεὶ
φίλον σ' ἐγὼ μέγιστον Ἀργείων νέμω.

ΟΔΥΣΣΕΥΣ.

ἄκουέ νυν. τὸν ἄνδρα τόνδε πρὸς θεῶν
μὴ τλῇς ἄθαπτον ὧδ' ἀναλγήτως[7] βαλεῖν·
μηδ' ἡ βία σε μηδαμῶς νικησάτω[8]
τοσόνδε μισεῖν, ὥστε τὴν δίκην πατεῖν.
κἀμοὶ γὰρ ἦν ποθ' οὗτος ἔχθιστος στρατοῦ,
ἐξ οὗ 'κράτησα τῶν Ἀχιλλείων ὅπλων.

1) Ἡ σύνταξις ἔχει, ὡς ἐν ταῖς φράσεσι πόλεμον, μάχην, ἔριν συμβάλλειν τινί, ὡς παρ' Εὐριπίδ. ἐν Ἰφιγεν. ἐν Αὐλίδ. 830 «αἰσχρὸν δέ μοι γυναιξὶ συμβάλλειν λόγους».

2) Κατὰ τὸν Σχολιαστήν· «Λόγῳ ἤκουσεν αἰσχρά, καὶ γὰρ αὐτὸς ἔργῳ ἐποίησεν ἐμὲ αἰσχρά».

3) Δηλαδὴ ἀμέτοχον ταφῆς.

4) Ὁ συνετὸς Ὀδυσσεὺς γινώσκων, ὅτι οἱ ἄνθρωποι ἀγανακτοῦσι διὰ τὴν ἀλήθειαν καὶ ἀντιλέγουσιν, ἐρωτᾷ, ἂν θέλῃ διαμείνῃ φίλος, ἀφ' οὗ εἴπῃ τὴν ἀλήθειαν.

5) Ἡ μεταφορὰ ἐλήφθη ἐκ τῶν ἐρεσσόντων. Ὁ μὲν Φώτιος λέγει· «συνηρέτης, σύμφωνος, ὡς ἐναντίος ἀντηρέτης», ὁ δὲ Σχολιαστὴς ἐξηγεῖ συμφωνεῖν. Ἡ δοτικὴ σοὶ ἀνήκει καὶ εἰς τὸ εἰπόντι καὶ εἰς τὸ ξυνηρετεῖν.

6) Λείπει ἡ ὑπόθεσις, δηλ. εἰ μὴ ἔξεστι σοί. Κατὰ τὸν Σχολιαστήν· «εἰ μὴ φίλου ἀκούσαιμι».

7) Οὕτως ἀνοίκτως ῥίψῃς ἄταφον.

8) Κατὰ τὸν Σχολιαστήν· «Μὴ ἡ ἐξουσία βιασάσθω σε, ὥστε πρᾶξαί τι παρὰ τὸ δίκαιον· τουτέστι μὴ ὑπὲρ τοῦ ἐνδείξασθαι τούτῳ τὴν ἐξουσίαν παραβῇς τὸ δίκαιον».

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλ' αὐτὸν ἔμπας[1] ὄντ' ἐγὼ τοιόνδ' ἐμοὶ
οὐκ ἀντατιμάσαιμ'[2] ἄν, ὥστε μὴ λέγειν
ἔν'[3] ἄνδρ' ἰδεῖν ἄριστον Ἀργείων, ὅσοι
Τροίαν ἀφικόμεσθα, πλὴν Ἀχιλλέως.
ὥστ' οὐκ ἂν ἐνδίκως γ' ἀτιμάζοιτό σοι.
οὐ γάρ τι τοῦτον, ἀλλὰ τοὺς θεῶν νόμους[4]
φθείροις ἄν· ἄνδρα δ' οὐ δίκαιον, εἰ θάνοι,
βλάπτειν τὸν ἐσθλόν[5], οὐδ' ἐὰν μισῶν κυρῇς.

ΑΓΑΜΕΜΝΩΝ.

σὺ[6] ταῦτ', Ὀδυσσεῦ, τοῦδ' ὑπερμαχεῖς ἐμοί;

ΟΔΥΣΣΕΥΣ.

ἔγωγ'· ἐμίσουν δ', ἡνίκ' ἦν μισεῖν καλόν.

ΑΓΑΜΕΜΝΩΝ.

οὐ γὰρ θανόντι καὶ προσεμβῆναί[7] σε χρή;

[1]) Ὅμως ἄν καὶ ἦτο τοιοῦτος ὡς πρὸς ἐμέ.

[2]) Ὁ μὲν Τρικλίνιος ἔγραφεν, οὐκ ἄν γ' ἀτιμάσαιμ', ἀλλ' ὑπὸ τῶν πλείστων κριτικῶν ἐπιδοκιμάζεται ἡ ὑπὸ τοῦ Bothe διόρθωσις, ἥτις ὑπάρχει ἐν τῷ κειμένῳ. Τὸ ἀντατιμάζω ἐσχηματίσθη κατὰ τὸ ἀνταδικῶ.

[3]) Τὸ εἷς ἐπιτείνει τὴν σημασίαν τοῦ ὑπερθετικοῦ, ὡς καὶ ἐν τῇ λατινικῇ fortissimus unus, ἐν Φιλοκτήτ. 1344 «Ἑλλήνων ἕνα κριθέντ' ἄριστον». Ὅτι ὁ Αἴας ἦτο ὁ ἄριστος μετὰ τὸν Ἀχιλλέα μαρτυρεῖ σύμπασα ἡ ἀρχαιότης, Ἰλιάδ. Ρ. 279 «Αἴας, ὃς περὶ μὲν εἶδος, περὶ δ' ἔργα τέτυκτο τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλείωνα», Πίνδ. ἐν Νεμ. 7, 27 «Αἴας, ὃν κράτιστον Ἀχιλέος ἄτερ μάχᾳ πόρευσαν Ζεφύροιο πομπαὶ πρὸς Ἴλου πόλιν» καὶ Ἄλκ. ἀποσπάσμ. 48, σελ. 918. Ἡ ὁμολογία αὕτη τοῦ νικητοῦ ἀποκαθίστησι τὴν τιμὴν τοῦ ἀδικηθέντος Αἴαντος, δι' ἣν ὁ τοῦ δράματος ἥρως ἠγωνίζετο. Ἐνταῦθα κεῖται ἡ κάθαρσις τῆς τραγῳδίας, ὡς διὰ μακρῶν ἐν τῇ εἰσαγωγῇ σελ. 35 ἐδείξαμεν.

[4]) Εἶναι οἱ θεῖοι νόμοι, ὑπὲρ ὧν ἡ Ἀντιγόνη ἐγένετο θῦμα καὶ περὶ ὧν ἡ ἡρωὶς λέγει ἐν στίχ. 496 «οὐ γάρ τι νῦν γε κἀχθές, ἀλλ' ἀεί ποτε ζῇ ταῦτα, κοὐδείς οἶδεν ἐξ ὅτου ἐφάνη».

[5]) Ὁ Σχολιαστὴς τὸ ἐπίθετον συνάπτει μετὰ τοῦ ἄνδρα· «Οὐ δίκαιον δὲ βλάπτειν σε τὸν ἄνδρα τὸν ἀνδρεῖον». Τούτῳ ἀκολουθοῦσιν οἱ πλεῖστοι τῶν ἑρμηνευτῶν, ὡς ὁ Dindorf καὶ ὁ Wunder. Ὀρθότερον ὅμως ὁ Bellermann θεωρεῖ ὑποκείμενον τοῦ βλάπτειν, δηλ. ὁ ἐσθλὸς οὐ βλάπτει ἄνδρα θανόντα. Διότι ὁ περιορισμὸς τῆς ταφῆς μόνον ἐπὶ τῶν ἐσθλῶν ἀντίκειται πρὸς τοὺς θείους νόμους καὶ τὴν γνώμην τοῦ ποιητοῦ, ἣν ἀναπτύσσει ἐν τῇ Ἀντιγόνῃ.

[6]) Οὐχὶ διὰ τοὺς λόγους, ἀλλὰ διὰ τὸ πρόσωπον, ὅπερ τούτους λέγει, ἐκπλήσσεται ὁ Ἀγαμέμνων.

[7]) Ἐν τοιαύτῃ σημασίᾳ οἱ ἀρχαῖοι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΔΥΣΣΕΥΣ.

μὴ χαῖρ', Ἀτρείδη, κέρδεσιν τοῖς μὴ καλοῖς[1].

ΑΓΑΜΕΜΝΩΝ.

τόν τοι τύραννον εὐσεβεῖν οὐ ῥᾴδιον[2]. 1350

ΟΔΥΣΣΕΥΣ.

ἀλλ'[3] εὖ λέγουσι τοῖς φίλοις τιμὰς νέμειν.

ΑΓΑΜΕΜΝΩΝ.

κλύειν[4] τὸν ἐσθλὸν ἄνδρα χρὴ τῶν ἐν τέλει.

ΟΔΥΣΣΕΥΣ.

παῦσαι. κρατεῖς τοι, τῶν φίλων νικώμενος[5].

ΑΓΑΜΕΜΝΩΝ

μέμνησ'[6] ὁποίῳ φωτὶ τὴν χάριν δίδως.

ΟΔΥΣΣΕΥΣ.

ὁδ' ἐχθρὸς ἀνήρ, ἀλλὰ γενναῖός ποτ' ἦν. 1355

ΑΓΑΜΕΜΝΩΝ.

τί ποτε ποιήσεις; ἐχθρὸν ὧδ' αἰδεῖ νέκυν;

ΟΔΥΣΣΕΥΣ.

νικᾷ γὰρ ἀρετή γε τῆς ἔχθρας πολύ[7].

μεταχειρίζονται τὰ ῥήματα ἐπεμβαίνειν, ἐπισκιρτᾶν, ἐνάλλεσθαι. Κατὰ τὸν Wolff προσέθηκεν ὁ ποιητὴς πρόθεσιν πρὸς δήλωσιν τοῦ πρὸς τῇ δυστυχίᾳ τοῦ θανάτου.

1) Οἱ ἀρχαῖοι ἐκ παντὸς τρόπου ἀπέτρεπαν τοὺς ἀνθρώπους, ὅπως μὴ τοὺς νεκροὺς ἀτιμάζωσιν. Ὁ Περίανδρος ἔλεγεν· ἐπὶ νεκρῷ μὴ γέλα, Σοφοκλ. ἐν Ἀντιγόν. 1029 «μηδ' ὀλωλότα κέντει. Τίς ἀλκὴ τὸν θανόντ' ἐπικτανεῖν;» Εὐριπίδ. ἐν ἀποσπάσμ. 8 «τί κέρδος οὐκέτ' ὄντας αἰκίζειν νεκρούς;»

2) Ἐννοήσας ὁ Ἀγαμέμνων τὴν προσβολὴν τοῦ Ὀδυσσέως ἀποκρίνεται, ὅτι δὲν εἶναι εὔκολον εἰς τὸν τύραννον νὰ ἦναι εὐσεβής· διότι ἡ εὐσέβεια δὲν δύναται πάντοτε νὰ συμφωνῇ πρὸς τὴν πολιτικήν.

3) Ἐκ τοῦ ἡγουμένου στίχου ἐννοεῖται τὸ ῥᾴδιον.

4) Οὐχὶ ὁ Ἀγαμέμνων, ἀλλ' ὁ Ὀδυσσεὺς ὀφείλει νὰ ὑπακούῃ ὡς ὑπήκοος εἰς ἄρχοντα.

5) Τὸ νικᾶσθαι συνετάχθη πρὸς γενικὴν κατ' ἀναλογίαν τοῦ ἡττᾶσθαι. Παραπλήσιον εἶναι τὸ παρ' Ἀριστοφάν. ἐν Νεφέλ. 1070 «τί δῆτ' ἐρεῖς, ἢν τοῦτο νικηθῇς ἐμοῦ;» Ὁ Ὀδυσσεὺς λέγει, ὅτι ἡ ὑποχώρησις εἰς τοὺς φίλους ἐνισχύει τὴν ἀρχήν. Τοὐναντίον ἡ δυσμένεια τῶν θεῶν καὶ ἡ δυσαρέσκεια ἐκθέτουσιν εἰς κίνδυνον ταύτην. Τὰ ἐνταῦθα λεγόμενα ἔχουσιν ὑψηλὴν πολιτικὴν σημασίαν.

6) Ὁ Σχολιαστὴς ἑρμηνεύει ἀναλογίζου.

7) Κατὰ τὸν Wolff ἡ γενικὴ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΑΓΑΜΕΜΝΩΝ.

τοιοίδε[1] μέντοι φῶτες ἔμπληκτοι βροτῶν.

ΟΔΥΣΣΕΥΣ.

ἡ κάρτα πολλοὶ νῦν φίλοι, καὖθις πικροί[2].

ΑΓΑΜΕΜΝΩΝ.

τοιούσδ'[3] ἐπαινεῖς δῆτα σὺ κτᾶσθαι φίλους; 1360

ΟΔΥΣΣΕΥΣ.

σκληρὰν ἐπαινεῖν οὐ φιλῶ ψυχὴν ἐγώ.

ΑΓΑΜΕΜΝΩΝ.

ἡμᾶς σὺ δειλοὺς[4] τῇδε θἠμέρᾳ φανεῖς;

ΟΔΥΣΣΕΥΣ.

ἄνδρας[5] μὲν οὖν Ἕλλησι πᾶσιν ἐνδίκους.

ΑΓΑΜΕΜΝΩΝ.

ἄνωγας[6] οὖν με τὸν νεκρὸν θάπτειν ἐᾶν;

ΟΔΥΣΣΕΥΣ.

ἔγωγε. καὶ γὰρ αὐτὸς ἐνθάδ'[7] ἵξομαι. 1365

ἔχθρας ἐξαρτᾶται ἐκ τοῦ πολύ, ὅπερ δὲν εἶναι ὀρθόν. διότι κατὰ τὸν Schneidewin τὴν γενικὴν δέον νὰ ἀποδώσωμεν εἰς τὸ νικᾷ, ἐν ᾧ κεῖται ἡ ἔννοια τῆς παραθέσεως. Ἡ ὅλη φράσις ἰσοδυναμεῖ πρὸς τήνδε ἡ ἀρετὴ πολὺ κρείττων μοί ἐστι τῆς ἔχθρας.

[1]) Οἷον εἰκόνισεν ἑαυτὸν ὁ Ὀδυσσεὺς ἐν τῷ ἡγουμένῳ στίχῳ, δηλ. οἱ τὴν ἔχθραν εὐκόλως καταλείποντες. Ἔμπληκτοι, εἶναι οἱ ἀσταθεῖς, οἱ εὐμετάβλητοι ὡς παρ' Εὐριπίδ. ἐν Τρῳάς. 1204 «αἱ τύχαι, ἔμπληκτος ὡς ἄνθρωπος ἄλλοτ' ἄλλοσε πηδῶσι». Ἡ γενικὴ βροτῶν ἐξαρτᾶται ἐκ τοῦ τοιοίδε, ὡς παρ' Εὐριπίδ. ἐν Ἰφιγεν. ἐν Αὐλίδ. 922 «λελογισμένοι γὰρ οἱ τοιοίδ' εἰσὶν βροτῶν»

[2]) Ὁ Ὀδυσσεὺς ὁμολογεῖ, ὅτι τοῦτο εἶναι ἀνθρώπινον, ὡς καὶ ὁ Σχολιαστὴς λέγει· «Πολύ, φησί, τοῦτο ἀνθρώπων ἐστι, τὸ κατὰ καιρὸν μεταβάλλεσθαι εἰς φιλίαν ἢ εἰς ἔχθραν». Διὰ τῆς ὁμολογίας ὅμως ταύτης ὑπελέγχει, ὅτι ὁ Αἴας προτερον καὶ τοῦ Ὀδυσσέως καὶ αὐτοῦ τοῦ Ἀγαμέμνονος ἦτο φίλος καὶ ὑπαινίσσεται, ὅτι καὶ πρὸς ἑαυτὸν θέλει φανῇ πικρὸς ὁ Ἀτρείδης.

[3]) Διὰ τοῦ στίχου τούτου ὁ Ἀγαμέμνων ὑπαινίσσεται, ὅτι καὶ ὁ Ὀδυσσεὺς εἶναι ἀσταθής, ὡς ἐκεῖνοι, οὓς κτᾶται φίλους.

[4]) Ἂν οἱ Ἀτρεῖδαι δὲν ἐξετέλουν τὰς ἀπειλὰς αὐτῶν, ἤθελε φανῇ, ὅτι ἐφοβήθησαν τὸν Τεῦκρον ἀπειλήσαντα ἐν στίχ. 1308. Λοιπὸν ὁ Ἀγαμέμνων λέγει, ὅτι προτιμότερον εἶναι νὰ φανῇ σκληρὸς ἢ δειλός.

[5]) Ἐκ τοῦ ἡγουμένου στίχου ἐννοεῖται τὸ φανῶ. Πολὺ μᾶλλον θὰ δείξω ὑμᾶς εἰς τὰ ὄμματα ὅλων τῶν Ἑλλήνων ἄνδρας δικαίους. Τὸ μὲν οὖν ἐν ταῖς ἀποκρίσεσι σημαίνει πολλῷ μᾶλλον, ὡς ἐν Ἠλέκτρ. 1503.

[6]) Ὁ Σχολιαστὴς ἑρμηνεύει συμβουλεύεις.

[7]) Κατὰ δύο τρόπους ἐξηγεῖ ὁ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΑΓΑΜΕΜΝΩΝ.

ἦ πάνθ' ὁμοῖα[3]· πᾶς ἀνὴρ αὑτῷ πονεῖ.

ΟΔΥΣΣΕΥΣ.

τῷ[4] γάρ με μᾶλλον εἰκός, ἢ 'μαυτῷ πονεῖν;

ΑΓΑΜΕΜΝΩΝ.

σὸν ἆρα τοὔργον, οὐκ ἐμὸν[5] κεκλήσεται.

ΟΔΥΣΣΕΥΣ.

ὡς ἂν ποιήσῃς, πανταχῇ[6] χρηστός γ' ἔσει.

ΑΓΑΜΕΜΝΩΝ.

ἀλλ' εὖ γε μέντοι τοῦτ' ἐπίστασ', ὡς ἐγὼ
σοὶ μὲν νέμοιμ' ἂν τῆσδε καὶ μείζω χάριν·
οὗτος δὲ κἀκεῖ[1] κἀνθάδ' ὢν ἔμοιγ' ὁμῶς
ἔχθιστος ἔσται. σοὶ δὲ δρᾶν ἔξεσθ', ἃ χρῄζ[2].

ΧΟΡΟΣ.

ὅστις σ', Ὀδυσσεῦ, μὴ λέγει γνώμῃ σοφὸν
φῦναι, τοιοῦτον ὄντα, μῶρός ἐστ' ἀνήρ.

Σχολιαστής· «Καὶ γὰρ αὐτὸς ὑπόκειμαι τῇ ὁμοίᾳ τύχῃ, τῇ ἀνθρωπίνῃ. Ἢ καὶ αὐτός ἔξομαι πρὸς τὸ θάψαι αὐτόν» Τὴν μὲν δευτέραν ἑρμηνείαν δέχεται ὁ Dindof, τὴν δὲ πρώτην ὁ Schneidewin, ὁ Wolff καὶ ἄλλοι. Πρὸς τὴν πρώτην ἑρμηνείαν, ἥτις εἶναι πιθανωτέρα, συμφωνεῖ καὶ τὸ ἐν ἀρχῇ τῆς τραγῳδίας ἐν στίχ. 124 εἰρημένον ὑπὸ τοῦ Ὀδυσσέως οὐδὲν τὸ τούτου μᾶλλον ἢ τοὐμὸν σκοπῶν».

1) Τοῦτο εἶναι παροιμία· ἃ π α ν θ' ὅ μ ο ι α κ α ὶ Ῥ ο δ ῶ π ι ς ἡ κ α λ ή. Ὅρα Soud. ἐν λ· ὅλοι οἱ ἄνθρωποι εἶναι ὅμοιοι· ἕκαστος ἐργάζεται διὰ τὸν ἑαυτόν του. Τὴν εὐγένειαν τοῦ Ὀδυσσέως ὁ Ἀγαμέμνων καταβιβάζει εἰς ἰδιοτέλειαν.

2) Βεβαίως ἐργάζομαι διὰ τὸν ἑαυτόν μου· διότι διὰ ποῖον ἄλλον εἶναι περισσότερον δίκαιον νὰ ἐργάζωμαι παρὰ διὰ τὸν ἑαυτόν μου; Εὐριπ. δ. ἐν ἀποσπάσμ. 460 «πέπονθ' ὅπερ πάντες βροτοί· φιλῶν μάλιστ' ἐμαυτὸν οὐκ αἰσχύνομαι», καὶ ἐν Οἰδίποδ. ἐπὶ Κολων, 309 «τίς γὰρ ἔσθ' ὃς οὐχ αὑτῷ φίλος».

3) Ὁ Ἀγαμέμνων πάντοτε φοβεῖται, μὴ θεωρηθῇ δειλός, ὡς εἶπεν ἐν στίχ. 1362.

4) Καθ' ὁποιονδήποτε τρόπον καὶ ἂν ποιήσῃς, δηλ. ἄν τε σὺ αὐτὸς θάψῃς, ἄν τε ἐμοὶ ἐπιτρέψῃς τοῦτο, κατὰ πάντα τρόπον θὰ ἦσαι βέβαια χρηστός, δὲν θὰ προσβληθῇ τὸ ὄνομά σου. Μετὰ τὴν ὁμολογίαν ταύτην ὁ Ἀγαμέμνων ἀναλαμβάνει τὴν βασιλικὴν αὐτοῦ μεγαλοπρέπειαν. Παραπλήσιον εἶναι τὸ ἐν Ἀντιγον. 634 «ἦ σοὶ μὲν ἡμεῖς πανταχῇ δρῶντες φίλοι;».

5) Δηλαδὴ ἐν Ἅιδου.

6) Κατὰ τὸν Ἡσύχιον «χρῇς· θέλεις, χρῄζεις». Ἐν Ἀντιγόν. 887

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΔΥΣΣΕΥΣ.

καὶ νῦν γε Τεύκρῳ[1] τἀπὸ τοῦδ' ἀγγέλλομαι,
ὅσον τότ'[2] ἐχθρὸς ἦν, τοσόνδ' εἶναι φίλος·
καὶ τὸν θανόντα τόνδε συνθάπτειν[3] θέλω,
καὶ ξυμπονεῖν, καὶ μηδὲν ἐλλείπειν, ὅσον
χρὴ τοῖς ἀρίστοις ἀνδράσιν πονεῖν βροτούς. 1380

ΤΕΥΚΡΟΣ.

ἄριστ' Ὀδυσσεῦ, πάντ' ἔχω σ' ἐπαινέσαι
λόγοισι, καί μ' ἔψευσας ἐλπίδος[4] πολύ.
τούτῳ γὰρ ὢν ἔχθιστος Ἀργείων ἀνήρ,
μόνος παρέστης χερσίν[5], οὐδ' ἔτλης παρὼν
θανόντι τῷδε ζῶν[6] ἐφυβρίσαι μέγα, 1385
ὡς ὁ στρατηγὸς οὐπιβρόντητος[7] μολὼν
αὐτός τε χὠ ξύναιμος ἠθελησάτην
λωβητὸν αὐτὸν ἐκβαλεῖν ταφῆς ἄτερ.

«εἴτε χρῂ θανεῖν». Μετὰ τοὺς λόγους τούτους ὁ Ἀγαμέμνων ἀπέρχεται.

1) Ὁ Wolff νομίζει, ὅτι ὁ Ὀδυσσεὺς δὲν λέγει σοί, διότι ἤθελεν εἶναι ἀσαφές· ἠδύνατο νὰ ἀποδοθῇ τῷ Ἀγαμέμνονι, ὅστις ἔτι ἐνοεῖτο ἀπερχόμενος. Νομίζομεν ὅμως, ὅτι ὁ Ὀδυσσεὺς ἀποτείνει τὸν λόγον μᾶλλον εἰς τὸν χορόν. Τὸ ἀγγέλλομαι ὁ Σχολιαστὴς ἑρμηνεύει ὑπισχνοῦμαι. Ἐν τῇ αὐτῇ σημασίᾳ συχνότερον ἀπαντῶσι τὰ σύνθετα ἐπαγγέλλομαι καὶ ἐξαγγέλλομαι.

2) Πρὸ τῆς συνδιαλλαγῆς.

3) Κατὰ τὸν Σχολιαστήν· «Σὺν ὑμῖν δηλονότι θέλω θάπτειν».

4) Ἐνταῦθα σημαίνει προσδοκίαν, φόβον. Ὁ Τεῦκρος ἐφοβεῖτο, μὴ ὁ Ὀδυσσεὺς ἦναι κακὸς πρὸς τὸν πρώην ἐχθρὸν αὐτοῦ. Ἡ μεταβολὴ τοῦ Ὀδυσσέως δὲν παρεσκευάσθη ἱκανῶς ὑπὸ τοῦ ποιητοῦ, ὅστις ἐθεώρησεν ἱκανὴν τὴν σύνεσιν τοῦ Λαερτιάδου, ὅπως οὗτος μεταβληθεὶς λύσῃ τὸν περιπλεχθέντα μῦθον. Ὁ Εὐριπίδης ἤθελε λύσει τὸν μῦθον διὰ τοῦ ἀπὸ μηχανῆς θεοῦ.

5) Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Συνεμάχησας ἔργῳ, οὐ λόγῳ».

6) Ἐτέθη πρὸς ἀντίθεσιν τοῦ θανόντι. Ἂν ἡ ὕβρις μὴ ἐπιτρέπηται κατὰ τῶν ἀπόντων, πολὺ ὀλιγώτερον κατὰ τῶν θανόντων, οἵτινες στεροῦνται τῶν μέσων τῆς ὑπερασπίσεως.

7) Ἐπιβρόντητος σημαίνει ὅτι καὶ τὸ ἐμβρόντητος. Κατὰ τὸν Σχολιαστήν· «Ὁ ἐμβρόντητος, ὁ ἐκτραπεὶς τῶν φρενῶν ἀπὸ ἦχου βροντῆς», δηλ. ἔκπληκτος, μωρός. Ὅρα, ὅτι ἐν ᾧ λέγει μολών, τὸ ῥῆμα τίθησι κατὰ δυϊκὸν ἀριθμόν, ἀλλ' εἶναι ἡ συνήθης τοῖς ἀρχαίοις ἐπέκτασις, ὡς παρ' Εὐριπίδ. ἐν Ἀλκήστιδ. 734 «ἔρρων νυν αὐτὸς χὴ συνοικήσασά σοι, ἄπαιδε παιδὸς ὄντος, ὥσπερ ἄξιοι, γηράσκετε», καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοιγάρ σφ' Ὀλύμπου τοῦδ'[1] ὁ πρεσβεύων πατὴρ
μνήμων τ' Ἐρινὺς καὶ τελεσφόρος Δίκη[2]
κακοὺς κακῶς φθείρειαν, ὥσπερ ἤθελον
τὸν ἄνδρα λώβαις ἐκβαλεῖν ἀναξίως.
σὲ δ', ὦ γεραιοῦ σπέρμα Λαέρτου πατρός,
τάφου[3] μὲν ὀκνῶ τοῦδ' ἐπιψαύειν ἐᾶν,
μὴ τῷ θανόντι[4] τοῦτο δυσχερὲς ποιῶ·
τὰ δ' ἄλλα[5] καὶ ξύμπρασσε· κεἴ τινα στρατοῦ
θέλεις κομίζειν[6], οὐδὲν ἄλγος ἕξομεν.
ἐγὼ δὲ τἄλλα πάντα[7] πορσυνῶ· σὺ δὲ
ἀνὴρ καθ' ἡμᾶς[8] ἐσθλὸς ὢν ἐπίστασο.

Ξενοφ. ἐν Κύρ. ἀνάβασ. 7,1,40 «πρασελθὼν δὲ Τιμασίων καὶ Νέων καὶ Κλεάνωρ ἔλεγον Κοιρατάδῃ μὴ θύειν»

[1]) Λέγων ταῦτα ὁ Τεῦκρος δείκνυσι τὸν οὐρανόν, ὡς ἐν Ἀντιγόν. 758. Πρεσβεύων εἶναι ὁ ἔχων τὰ πρεσβεῖα κατὰ τὸν Σχολιαστήν.

[2]) Ἡ Δίκη ἐθεωρεῖτο μὲν ὡς θυγάτηρ τοῦ Διὸς καὶ τῆς Θέμιδος, ἔμεινεν ὅμως ὡς ἀλληγορικὴ μορφή, ἐνῷ αἱ Ἐρινύες, ἡ Θέμις καὶ ἡ Νέμεσις ἔτυχον θείας λατρείας. Λέγεται δὲ τελεσφόρος ἡ Δίκη ὡς φέρουσα εἰς τέλος, ὡς ἐκτελοῦσα τὴν τιμωρίαν τῆς ἀδικίας.

[3]) Ἐπειδὴ ἡ λέξις τάφος κατὰ τὸν Morstadt περιλαμβάνει πᾶν τὸ ἀνῆκον εἰς τὴν ταφήν, δὲν ἐξηγεῖται ἡ ἑπομένη φράσις, τὰ δ' ἄλλα καὶ σύμπρασσε· τούτου ἕνεκεν εἰκάζει, ὅτι τὸ τάφου πρέπει νὰ τρέψωμεν εἰς νεκροῦ. Ἡ εἰκασία δὲν εἶναι ἀτυχής, ἀλλὰ δύναται τὸ χωρίον νὰ ἐξηγηθῇ ἄνευ διορθώσεως. Τινὲς πρὸς ἐξήγησιν τῆς εἰρημένης φράσεως ἀπεῖδον εἰς τὸ περίδειπνον, ἤτοι τὴν ἑστίασιν διὰ τὸν νεκρόν, τὴν μακαρίαν ὅπερ ἀπιθανώτατον. Βεβαίως ὁ Ἀγαμέμνων ἐπέτρεψε τὴν ταφὴν τοῦ νεκροῦ, ἀλλ' ὁ στρατὸς τῶν Ἀχαιῶν ἦτο πλήρης ὀργῆς κατὰ τοῦ Αἴαντος καὶ τῶν συγγενῶν αὐτοῦ, ὡς ὄντως ἔδειξε τὴν ὀργὴν κατὰ τοῦ Τεύκρου. Ἐπειδὴ λοιπὸν ὑπῆρχε φόβος μὴ κακοποιηθῶσιν οὗτοι, οὐδὲν τὸ παράδοξον, ὅτι ζητεῖ τὴν σύμπραξιν τοῦ Ὀδυσσέως. Ἄλλως διὰ τῆς φράσεως ταύτης θέλει νὰ μετριάσῃ τὴν κακὴν αἴσθησιν, ἣν ἤθελε παραγάγει ἡ ἀπόκρισις τῆς συμμετοχῆς τῆς ταφῆς.

[4]) Κατὰ τὴν γνώμην τῶν ἀρχαίων οἱ νεκροὶ δὲν ἐδέχοντο τὰς παρὰ τῶν ἐχθρῶν τιμὰς καὶ θυσίας, Σοφοκλ. ἐν Ἠλέκτρ. 432 «οὔ σοι θέμις οὐδ' ὅσιον ἐχθρᾶς ἀπὸ γυναικὸς ἱστάναι κτερίσματα».

[5]) Τὸν στίχον τοῦτον καὶ τὸν ἑπόμενον ὁ Schneidewin θεωρεῖ νόθους, ἀλλ' οὕτω λείπει ἡ ἀντίθεσις τοῦ τάφου μέν.

[6]) Ἐννοεῖται τὸ ἀντικείμενον τὸν Αἴαντα, καὶ τὸ ῥῆμα σημαίνει θάπτειν.

[7]) Εἶναι τὰ τῆς ταφῆς, ὅπερ διὰ τὴν προηγουμένην ὁμοίαν φράσιν ἤγειρεν ὑπονοίας. Ὁ μὲν Morstadt εἰκάζει πάντα ταῦτα, ὁ δὲ Rauchenstein τἀμὰ πάντα, ἅπερ δὲν φαίνονται μοι πιθανά.

[8]) Ὡς πρὸς ἡμᾶς, ὡς Εὐριπίδ.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΔΥΣΣΕΥΣ.

ἀλλ' ἤθελον μέν[1]. εἰ δὲ μή 'στί σοι φίλον
πράσσειν τάδ' ἡμᾶς, εἶμ', ἐπαινέσας τὸ σόν[2].

ΤΕΥΚΡΟΣ.

ἅλις· ἤδη γὰρ πολὺς ἐκτέταται[3]
χρόνος. ἀλλ' οἱ μὲν κοίλην κάπετον
χερσὶ ταχύνατε[4], τοὶ δ' ὑψίβατον
τρίποδ' ἀμφίπυρον[5] λουτρῶν ὁσίων
θέσθ' ἐπίκαιρον·
μία δ' ἐκ κλισίας ἀνδρῶν ἴλη
τὸν ὑπασπίδιον[6] κόσμον φερέτω.
παῖ[7], σὺ δὲ πατρός γ', ὅσον ἰσχύεις,
φιλότητι θιγὼν πλευρὰς σὺν ἐμοὶ
τάσδ' ἐπικούφιζ'[8]. ἔτι γὰρ θερμαὶ

ἐν Ἀνδρομάχ. 741 «ἐὰν τὸ λοιπὸν ᾖ σώφρων καθ' ἡμᾶς, σώφρον' ἀντιλήψεται».

[1]) Δηλαδὴ ἐπιφαύειν τοῦδε τοῦ τοῦ τάφου. Ὁ Ὀδυσσεὺς ἀποκρίνεται μόνον πρὸς τὴν κυρίαν ὑπόθεσιν στίχ. 1394, λέγων, ὅτι ἡ ἐπιθυμία αὐτοῦ ἔμεινεν ἀνεκπλήρωτος, στίχ. 1378.

[2]) Ὃ σὺ λέγεις.

[3]) Κατὰ τὸν Σχολιαστήν· «Πιθανὴ ἡ ἔξοδος διὰ τὴν σπουδὴν τῆς ταφῆς. Πολὺς οὖν ἤδη χρόνος, ἀφ' οὗ τετελεύτηκεν ὁ Αἴας. Καὶ ἤδη δεῖ αὐτὸν ταφῆναι».

[4]) Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Μετὰ σπουδῆς ὀρύξατε». Ὑψίβατος καὶ ὑψιβάμων λέγεται ὁ ὑψηλὴν βάσιν ἔχων.

[5]) Μετεχειρίσθη ἐπίθετον ἀντὶ ἐμπροσθέτου προσδιορισμοῦ, ὡς ἐν Ἰλιάδ. Σ, 344 «ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν». Τὴν ἑπομένην γενικὴν ὁ Τρικλίνιος συνάπτει μετὰ τοῦ τρίποδα, ὅπερ ἐπιδοκιμάζει ὁ Dindorf καὶ ὁ Wolf· διότι παραβάλλουσι πρὸς τὸ ὁμηρικὸν τρίποδα λοετροχόον ἐν Ἰλιάδ. Σ, 346. Ὁ Hermann ὅμως καὶ ἄλλοι συνάπτουσι μετὰ τοῦ ἐπίκαιρον = καιρὸν ἔχοντα λουτρῶν.

[6]) Ἐννοεῖ τὰ ὅπλα τὰ ὑπὸ τῆς ἀσπίδος καλυπτόμενα, ἅπερ κατὰ τὴν τελευταίαν τοῦ Αἴαντος θέλησιν μέλλουσι νὰ ταφῶσι μετὰ τοῦ σώματος στίχ. 576. Αὐτὸ δὲ τὸ σάκος ἐδόθη τῷ υἱῷ Εὐρυσάκει, στίχ. 574.

[7]) Προέταξε τὴν κλητικὴν ἀντὶ νὰ εἴπῃ σὺ δ', ὦ παῖ, ὡς ἐν Ἀντιγόν. 1087 καὶ ἐν Οἰδίποδ. ἐπὶ Κολων. 507.

[8]) Ὁ Σχολιαστὴς ἑρμηνεύει· «ἀνακούφιζε, ἀναβάσταζε». Ὁ Τεῦκρος παρακελεύεται τὸν Εὐρυσάκη, ἵνα ὑψώνῃ τὸ σῶμα τοῦ πατρὸς πρὸς τὰ ἄνω, ὅπως οὕτω κωλύηται ἡ τοῦ αἵματος ῥοὴ ἐκ τῆς ῥινὸς καὶ τοῦ στόματος. Ὅρα στίχ. 917, Αἰσχύλ. ἐν Ἀγαμέμν. 1067 καὶ Ὀδυσ. χ, 18 «αὐτίκα δ' αὐλὸς ἀνὰ ῥῖνας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σύριγγες[1] ἄνω φυσῶσι μέλαν
μένος[2]. ἀλλ' ἄγε πᾶς, φίλος ὅστις ἀνὴρ
φησὶ παρεῖναι[3], σούσθω, βάτω,
τῷδ' ἀνδρὶ πονῶν τῷ πάντ' ἀγαθῷ 1415
κούδενί[4] πω λῴονι θνητῶν
Αἴαντος, ὅτ' ἦν, τότε φωνῶ[5].

ΧΟΡΟΣ.

ἦ πολλὰ[6] βροτοῖς ἔστιν ἰδοῦσιν
γνῶναι· πρὶν ἰδεῖν δ', οὐδεὶς μάντις
τῶν μελλόντων[7], ὅ τι πράξει.

παχὺς ἦλθεν αἵματος ἀνδρομέοιο ». Ἡ σκηνὴ εἶναι τραγικωτάτη.

1) Αἱ φλέβες ἢ αἱ ἀρτηρίαι.

2) Ἀντὶ νὰ εἴπῃ αἷμα εἶπε μένος, διότι τὸ αἷμα παρὰ τοῖς ἀρχαίοις ἐθεωρεῖτο ὡς ἕδρα τῆς δυνάμεως.

3) Ἡ φράσις σημαίνει ὅτι καὶ ἡ ὁμηρικὴ εὔχεται εἶναι. Τὰς ἐπομένας προστακτικὰς ὁ Σχολιαστὴς ἑρμηνεύει, βάτω καὶ πορευέσθω.

4) Κατὰ μὲν τὸν Wunder κεῖται ἀντὶ τοῦ, καὶ οὗ οὐδεὶς πω θνητῶν λῴων ἦν, κατὰ δὲ τὸν Wolff καὶ ἄλλους ἐννοεῖται ἡ μετοχὴ πονήσας, ὡς ὑποδεικνύει τὸ πω.

5) Ὁ στίχος οὗτος φέρεται ἐν πᾶσι τοῖς χειρογράφοις, ἀλλ' ὁ Dindorf ἐξήλειψε τοῦτον καὶ εὗρε μιμητὰς τοὺς πλείστους τῶν νεωτέρων ἐκδοτῶν. Νομίζει δ' ὁ ἐξαλείψας, ὅτι ὁ στίχος ἐγράφη ὑπὸ γραμματικοῦ καὶ οὐχὶ ὑπὸ τοῦ ποιητοῦ, ὅστις δὲν ἠθέλησε νὰ εἴπῃ τὸ ὄνομα τοῦ Αἴαντος, ὡς δεικνύει ἡ φράσις, τῷδ' ἀνδρὶ πονῶν. Τοὐναντίον νομίζομεν, ὅτι ὁ Σοφοκλειος Τεῦκρος ἠθέλησε περιπαθῶς νὰ ὀνομάσῃ τὸ ὄνομα τοῦ ἀδελφοῦ. Ἡ γενικὴ θνητῶν εἶναι διαιρετικὴ εἰς τὸ οὐδενί, ἡ δὲ γενικὴ Αἴαντος εἶναι ὁ δεύτερος ὅρος τῆς συγκρίσεως.

6) Ὁ τραγικὸς τοῦ Αἴαντος θάνατος, ἡ μεταβολὴ τοῦ Ὀδυσσέως καὶ ἡ ἐπίτευξις τῆς ταφῆς ἐμπεδοῦσιν ἐν τῷ χορῷ τὴν γνώμην, ὅτι οἱ ἄνθρωποι δὲν δύνανται νὰ προΐδωσι τὰ μέλλοντα. Ἡ ἀμβλυωπία τῶν βροτῶν ἐν ταῖς τραγῳδίαις τοῦ Σοφοκλέους οὐ μόνον λέγεται, ἀλλὰ καὶ διὰ τῶν πραγμάτων ἐκδηλοῦται.

7) Ἡ γενικὴ ἐπεξηγεῖται διὰ τῆς ἑπομένης ἀναφορικῆς προτάσεως, ὡς ἐν ἀποσπάσματι 528 τοῦ Σοφοκλέους· «θνητὰ φρονεῖν χρή, κατειδότας ὡς οὐκ ἔστιν πλὴν Διὸς οὐδεὶς τῶν μελλόντων ταμίας ὅ τι χρὴ τετελέσθαι». Κατὰ τὸν Σχολιαστὴν ἡ ἑπομένη φράσις ἔχει γενικὴν σημασίαν· «Ὅπως διακείσεται, ἢ εὐπραγήσει λέγω, ἢ δυσπραγήσει. Ἀμφότερα γὰρ ἡ λέξις δηλοῖ». Ἐν ᾧ δὲ ταῦτα λέγουσι, παραπέμπουσι τὸν νεκρόν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΗΜΑΡΤΗΜΕΝΩΝ ΔΙΟΡΘΩΣΙΣ

Σελὶς	*στίχος*	*ἀντὶ*	*ἀνάγνωθι*
8	7	τοὺς Τρωσὶ	τοῖς Τρωσὶν
10	25	τὸ ἆθλον	τοῦ ἄθλου
11	2	εἶναι	εἶναι
23	29	ἀούχὶ θρόοι	οὐχὶ ἀθρόοι
28	14	Τελαμῶν	Τελαμὼν
43	21	ἔπειτα	ἔπειτα
46	24	Τεκμήσης	Τεκμήσσης
84	41	Ἐριννύων	Ἐρινύων
89	38	ἀπεικύνισε	ἀπεικόνισε
»	42	στρέφειν	στέφειν
90	18	ἐπιτετριμένος	ἐπιτετριμμένος
95	41	Ἰκάρου	Ἰκάρου
97	11	μανίας	μανίας εἰς τοὺς ἵππους
104	8	ὅτι	ὅτι
119	28	ἐρειπίους	ἐρειπίοις
130	15	θέτουσιν	θέτυυσι
138	6	ἀρεστείων	ἀριστείων
»	32	ἀρισιτείων	ἀριστείων
141	7	κοὶ	καὶ
157	23	ᾆσμα	ᾆσμα
190	32	εὑρίσκεται	εὑρίσκεσαι
194	15	τῷ αὐτῷ	τὸ αὐτῷ
200	33	Wunter	Wunder

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΡΑΓΩΔΙΑΙ

ΣΟΦΟΚΛΕΟΥΣ

ΕΚΔΙΔΟΜΕΝΑΙ ΜΕΤΑ ΣΧΟΛΙΩΝ

ΥΠΟ

ΓΕΩΡΓΙΟΥ ΜΙΣΤΡΙΩΤΟΥ

ΤΑΚΤΙΚΟΥ ΚΑΘΗΓΗΤΟΥ ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ ΓΡΑΜΜΑΤΩΝ ΕΝ ΤΩΙ ΕΘΝΙΚΩΙ ΠΑΝΕΠΙΣΤΗΜΙΩΙ

ΗΛΕΚΤΡΑ

ΕΝ ΑΘΗΝΑΙΣ


ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ Π. Δ. ΣΑΚΕΛΛΑΡΙΟΥ

ΟΔΟΣ ΑΘΗΝΑΣ ΑΡΙΘΜΟΣ 56.

1885

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πᾶν ἀντίτυπον μὴ φέρον τὴν ἰδιόχειρον ὑπογραφήν μου θεωρεῖται κλοπιμαῖον καὶ καταδιώκεται κατὰ τὸν νόμον.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΕΙΣΑΓΩΓΗ

ΕΙΣ ΤΗΝ

ΗΛΕΚΤΡΑΝ ΤΟΥ ΣΟΦΟΚΛΕΟΥΣ

Ὡς ὁ μὲν Ἡράκλειτος φιλοσοφῶν ἔκλαιε καὶ ὁ Δημόκριτος ἐγέλα, οὕτω καὶ ἡ τραγῳδία φιλοσοφοῦσα θρηνεῖ καὶ ἡ κωμῳδία γελᾷ· τὴν δὲ ἱλαροτραγῳδίαν τῶν Ταραντίνων ἀπεικάζομεν πρὸς τὸν ὁμηρικὸν Αἴαντα, ὅστις μέλλων νὰ μονομαχήσῃ πρὸς τὸν Ἕκτορα μειδιᾷ διὰ βλοσυροῦ προσώπου. Ἀλλ' ἀκριβέστερον τὸν τραγικὸν ἠδύνατό τις νὰ παραβάλῃ οὐχὶ πρὸς φιλοσοφοῦντα ἄνθρωπον, ἀλλὰ πρὸς τὸν σοφώτατον τοῦ ὅλου κόσμου ποιητήν. Διότι ὡς ἐκεῖνος μετὰ σοφίας τὸν κόσμον δημιουργήσας σιωπᾷ, οὕτω καὶ ὁ τραγικὸς ποιητὴς δὲν κηρύσσει, ἐὰν μὴ παραβαίνῃ τοὺς νόμους τῆς τέχνης αὐτοῦ, φιλοσοφικὰ ἀπὸ τῆς σκηνῆς ἀξιώματα, ἀλλ' οὕτω τοὺς μίτους τῆς ὑποθέσεως πλέκει, καὶ τὰ ἤθη τῶν δρώντων προσώπων διαπλάσσει, ὥστε αὐτὸς ὁ θεατὴς ἀκούων καὶ βλέπων φιλοσοφεῖ. Ὁ τραγικὸς ποιητὴς δὲν εἶναι ἠθικὸς φιλόσοφος, ἀλλὰ σοφὸς μικροκόσμου δημιουργός, ὅστις διὰ τῆς σοφῆς αὐτοῦ δημιουργίας ἄγει τὸν θεατὴν εἰς φιλοσοφικὰ ἀξιώματα, ὡς ὁ παρατηρητὴς τῆς ἁρμονίας τοῦ ὑλικοῦ καὶ πνευματικοῦ κόσμου φιλοσοφεῖ περὶ τῆς δικαιοσύνης τοῦ δημιουργοῦ τοῦ ἀπείρου κόσμου. Ἐπειδὴ δ' οὕτως ἔχει, οἱαδήποτε τοῦ πραγματικοῦ κόσμου ὑπόθεσις δὲν εἶναι ἀξία δρα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ματικῆς μιμήσεως, ἀλλὰ μόνον ἐκείνη, ἐν ᾗ ἡ ἠθικὴ καὶ ἡ δικαιοσύνη θριαμβεύουσι καὶ οἱ ὑπὲρ τούτων ἀγωνιζόμενοι, ζῶντες ἢ καὶ θανόντες, διὰ τοῦ καλλινίκου τῆς ἀρετῆς στεφάνου ἀμείβονται.

Κατὰ τὴν ἐποπτείαν ἄρα τοῦ δραματικοῦ ποιητοῦ ἑκάστη ἄδικος πρᾶξις τιμωρεῖται καὶ πρέπει νὰ τιμωρῆται, ὅπερ ἀποτελεῖ τὴν κάθαρσιν τοῦ δράματος. Ἡ ἀτιμώρητος ἀδικία θεωρεῖται ὡς νόσος δεομένη θεραπείας, δὲν εἶναι δρᾶμα, ἀλλ' ἀπόσπασμα δράματος, ἢ εἶναι ἡ πρώτη τραγῳδία τῆς τριλογίας. Ὁ δραματικὸς ἄρα μικρόκοσμος δὲν παρίσταται ὡς ἀδρανὴς καὶ ἀπαθής, ἀλλ' ὁμοιάζει πρὸς σῶμα νοσοῦν καὶ φλεγμαῖνον καὶ πρὸς φυσικὸν κόσμον καταιγίδων καὶ κλυδώνων μεστόν. Δυσαὶς ἐνταῦθα συρίττει ὁ βορρᾶς τῶν ἀνθρωπίνων παθῶν, δεινὸς συστρέφεται ὁ λαῖλαψ τῶν ἀντιθέτων ἐπιθυμιῶν, ἀλλεπάλληλα ἐξυψοῦνται τὰ ἄγρια τῶν συμφορῶν κύματα, ἀντιπλῆγες ἠχοῦσιν αἱ καρδίαι τῶν πασχόντων, γελῶσιν οἱ ἀδικοῦντες, οἰμώζουσιν οἱ ἀδικούμενοι, ἀλλὰ σφυρηλατοῦνται οἱ κεραυνοὶ τῆς κολάσεως καὶ ἐπιφαίνεται ὁ τῆς ἀδικίας τιμωρός, ὅστις εἰς τοὺς ἀσκοὺς ὡς ἄλλος Αἴολος τοὺς διασπαρέντας ἀνέμους περισυνάγων καθαίρει τὸν ποιητικὸν οὐρανόν. Ἐκ δὲ τῆς καθάρσεως ἀκτινοβόλος ἀναλάμπει ὁ ἥλιος τῆς δικαιοσύνης, εὐαεῖς πνέουσαι αἱ ποντιάδες αὖραι καθαίρουσι καὶ ἐξαγνίζουσι τὴν ψυχὴν τοῦ θεατοῦ, καὶ ὁ χορὸς ὁ ἐκπροσωπῶν τὴν ἀνθρωπίνην συνείδησιν ἐν τῇ αἰθρίᾳ καθορᾷ καὶ δίκην ὑμνῳδοῦ ἀηδόνος ᾄδει τοὺς νικητηρίους τῆς θείας δικαιοσύνης παιᾶνας. Ἂν ἐν τῷ τεχνικῷ τούτῳ κατασκευάσματι ὑπῆρχον καὶ θεοὶ θεαταί, τὸ δρᾶμα ἤθελε παράσχει τελειοτάτην εἰκόνα ὁμηρικοῦ κόσμου, ἐν ᾧ οἱ

Δημοσια Κεντρικη Βιβλιοθηκη Βεροιας

θεοὶ ἐπὶ τοῦ Ὀλύμπου καθήμενοι θεῶνται τὰ ἐν τῷ κόσμῳ συμβαίνοντα. Τοιούτους θεοὺς ἐδημιούργησεν ἡ σοφὴ τοῦ Σοφοκλέους τέχνη, καθ' ἣν τὸ ὑψηλὸν τοῦ θεατοῦ ἐδώλιον ὁμοιάζει πρὸς τὸν Ὄλυμπον τοῦ Ὁμήρου. Οἱ θεαταὶ τῶν δραμάτων τοῦ Σοφοκλέους καθήμενοι ἐπὶ τῶν ἐδωλίων αὐτῶν ὁρῶσι μὲν τὰς πλάνας τῶν ἀνθρώπων, ἀκούουσι δὲ τὰς ματαίας αὐτῶν οἰμωγὰς καὶ αἰσθάνονται τῶν ἀνοήτων θριάμβων ἔχοντες ἀκεραίαν τὴν ἡδονήν, ὅτι δίκην θεῶν γινώσκουσι τὸ ἀληθὲς τῶν συμβαινόντων, καὶ ἐπιθυμοῦσι μὲν νὰ φωνήσωσιν, ὅπως ῥυθμίσωσι τὰ αἰσθήματα τῶν δρώντων καὶ πασχόντων κατὰ τὴν φύσιν τῶν πράξεων, ἀλλὰ φοβοῦνται νὰ πράξωσι τοῦτο, ὅπως μὴ διαταράξωσι τὴν οἰκονομίαν τοῦ ποιητοῦ, ὡς οἱ ὁμηρικοὶ θεοὶ φοβούμενοι τὴν θέλησιν τοῦ Διὸς ἢ ἀδυνατοῦντες νὰ μετατρέψωσι τὴν σιδηρᾶν τῆς εἱμαρμένης βούλησιν ἀρνοῦνται νὰ παράσχωσι βοήθειαν τοῖς ἐν τῷ Τρωϊκῷ πεδίῳ ἀγωνιζομένοις.

Ἐν τῇδε τῇ τραγῳδίᾳ, ὅπως ἡ θεωρία διὰ παραδείγματος κυρωθῇ, ὁ θεατὴς γινώσκει ἐκ τοῦ προλόγου, ὅτι ὁ Ὀρέστης εἰς τὰς Μυκήνας κατελθὼν πέμπει τὸν παιδαγωγὸν αὐτοῦ, ὅπως πρὸς ἐπίτευξιν τῆς τιμωρίας ἀγγείλῃ ψευδῶς τῷ Αἰγίσθῳ καὶ τῇ Κλυταιμνήστρᾳ, ὅτι ὁ υἱὸς τοῦ Ἀγαμέμνονος ἔθανεν ἐν τοῖς Πυθικοῖς ἀγῶσιν. Τῆς εἰδήσεως ταύτης κομισθείσης ἡ μὲν ἄστοργος μήτηρ χαίρουσα χλευάζει τὸν θανόντα, ἡ δὲ φιλάδελφος Ἠλέκτρα οἰμώζει, θρηνῳδεῖ καὶ εὔχεται, ἵνα ἀποθάνῃ. Καὶ πάλιν ἡ μὲν Χρυσόθεμις τοὺς βοστρύχους τοῦ Ὀρέστου ἰδοῦσα ἐν τῷ τάφῳ τοῦ πατρὸς πληροῦται χαρᾶς διὰ τὸν νόστον τοῦ ἀδελφοῦ, ἀλλὰ μεταπείθεται ὑπὸ τῆς Ἠλέκτρας, ὅτι κατὰ τὴν μαρτυρίαν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[7]) Ἀπειθοῦσα πρὸς τοὺς κρατοῦντας ἡ Ἠλέκτρα παρεσκεύασεν ἑαυτῇ θέσιν δούλης, στίχ. 189. Ἀντὶ τοῦ δεῖ ἐν τοιαύτῃ σημασίᾳ τίθεται τὸ μέλλω.

[8]) Τοῦτο λέγει ὁ τραγικὸς κατὰ τὴν διάταξιν τοῦ Σόλωνος· ἀρχῶν ἄκουε καὶ δίκαια κἄδικα καὶ Σοφοκλ. ἐν Ἀντιγόν. 63 «ἀρχόμεσθ' ἐκ κρεισσόνων καὶ ταῦτ' ἀκούειν κἄτι τῶνδ' ἀλγίονα».

[9]) Ὁ Monk οὐχὶ ἀπιθάνως εἴκασεν, ὅτι πρέπει νὰ γραφῇ σέ γ'·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κείνου λελῆσθαι, τῆς δὲ τικτούσης[1] μέλειν.
ἅπαντα γάρ σοι τἀμὰ[2] νουθετήματα
κείνης[3] διδακτά, κοὐδὲν ἐκ σαυτῆς λέγεις.
ἔπειθ' ἑλοῦ γε[4] θάτερ', ἢ φρονεῖν κακῶς, 345
ἢ τῶν φίλων[5], φρονοῦσα, μὴ μνήμην ἔχειν·
ἥτις λέγεις[6] μὲν ἀρτίως, ὡς, εἰ λάβοις
σθένος, τὸ τούτων μῖσος ἐκδείξειας ἄν,
ἐμοῦ[7] δὲ πατρὶ πάντα τιμωρουμένης,

διότι τὸ γὲ μᾶλλον εἰς τὴν ἀντωνυμίαν ἁρμόζει. Ὁ δὲ Nauck ἐπιθυμεῖ νὰ γραφῇ, δεινὸν σὲ φῦσαν, ὅπερ δὲν ἤθελεν εἶναι ἄτοπον, ἂν ὑπῆρχεν ἐν τοῖς χειρογράφοις. Ἐπειδὴ ἡ γυνὴ ἐθεωρεῖτο μόνον ὡς ἡ ἄρουρα καὶ τὸ σπέρμα ὑποδεχομένη καὶ ὑποθάλπουσα, τὸ τέκνον δὲν ἀνῆκε τῇ μητρί, ἀλλὰ τῷ πατρί, Αἰσχύλ. ἐν Εὐμενίδ. 657 «οὐκ ἔστι μήτηρ ἡ κεκλημένη τέκνου τοκεύς, τροφὸς δὲ κύματος φυτοσπόρου, τίκτει δ' ὁ θρώσκων», Εὐρυπίδ. ἐν Ὀρέστ. 552 «πατὴρ μὲν ἐφύτευσέν με, σὴ δ' ἔτικτε παῖς, τὸ σπέρμ' ἄρουρα παραλαβοῦσ' ἄλλου πάρα» καὶ ἐν Ἀποσπάσμ. 1048. «Στέργω τὸν φύσαντα τῶν πάντων βροτῶν μάλιστα. Κείνου γὰρ ἐξέβλαστον, οὐδ' ἂν εἷς ἀνὴρ γυναικὸς αὐδήσειεν, ἀλλὰ τοῦ πατρός».

[1]) Συχνάκις παρὰ τοῖς τραγικοῖς τὸ τίκτω κεῖται ἐν τῇ σημασίᾳ παρακειμένου. Τὸ μέλειν μετεχειρίσθη ὡς προσωπικόν, ἐν Αἴαντι 688 «Τεύκρῳ σημήνατε μέλειν μὲν ἡμῶν εὖ νοεῖν δ' ὑμῖν ἅμα» καὶ Αἰσχύλ. ἐν Ἀγαμέμν. 355 «θεοὺς βροτῶν ἀξιοῦσθαι μέλειν».

[2]) Κεῖται κτητικὴ ἀντωνυμία ἀντὶ γενικῆς, ὡς ἐν Οἰδίποδι τυράνν. 969 «τὠμῷ πόθῳ». Ὁ Σχολιαστὴς ἐξηγεῖ· «ἃ εἶπες ἐμὲ νουθετοῦσα».

[3]) Ἀντὶ ὑπὸ κείνης διδακτά, ὡς ἐν Τραχιν. 1051 «Ἐρινύων ὑφαντὸν ἀμφίβληστρον»,

[4]) Οὐχὶ ἀφυῶς ὁ Hartung τὸ ἑλοῦ γε ἔτρεψεν εἰς ὁμολόγει· διότι πρῶτον τὸ γὲ μετὰ προστακτικῆς ἀπαντᾷ σπανίως, δεύτερον ἐνταῦθα δὲν πρόκειται περὶ ἐκλογῆς, ἀλλὰ περὶ ὁμολογίας καὶ τρίτον φαίνεται, ὅτι ὁ Σχολιαστὴς δὲν ἀνέγνω ἑλοῦ γε· διότι δὲν ἤθελεν ἐξηγήσει διὰ τοῦ ὁμολογεῖν· «Ὁμολόγησον σαυτὴν ἢ φρονεῖν κακῶς προστιθεμένην τοῖς ἐχθροῖς· ἢ φρονοῦσαν, τῶν φιλτάτων ἀμνημονεῖν, οἷον θάτερά σε δεῖ ὁμολογῆσαι, ἢ ὅτι κακῶς φρονεῖς, ἢ ὅτι ἐκοῦσα ἁμαρτάνεις καὶ παρορᾷς». Ἡ διόρθωσις ὅμως δὲν ἐγένετο δεκτή. Τὸ περὶ οὗ ὁ λόγος δύναται μὲν νὰ θεωρηθῇ ὡς ὁμολογία, ἀλλὰ καὶ ὡς ἐκλογή.

[5]) Ἐννοεῖ τὸν Ἀγαμέμνονα. Τὸ φρονεῖν τίθεται πολλάκις ἀντὶ τοῦ εὖ φρονεῖν. Ἡ Ἠλέκτρα τίθησι τὴν ἀδελφὴν αὐτῆς εἰς τὸ δίλημμα ἢ ὅτι εἶναι ἀνόητος (διότι γίνεται τυφλὸν ὄργανον τῶν φονέων τοῦ πατρός) ἢ ὅτι (ἂν ἐν γνώσει πράττῃ τοῦτο) ἀμελεῖ τοῦ πατρός. Παραβαίνει δὲ τὸ πρὸς τὸν πατέρα καθῆκον διὰ τὰ δῶρα, ἅπερ παρὰ τῶν φονέων λαμβάνει, στίχ. 360.

[6]) Ἔθηκεν ἐνεστῶτα ἀντὶ ἀορίστου.

[7]) Δὲν ἦτο ἀνάγκη ἐνταῦθα γενικῆς ἀπολύτου, διότι ἠδύνατο νὰ τεθῇ δοτικὴ κατὰ τὸ ξυνέρδειν. Εἰκάζομεν δ', ὅτι ἀπέφυγε ταύτην ἕνεκα τῆς ἑπομένης δοτικῆς, πατρί. Τὸ πάντα σημαίνει πᾶσαν τιμωρίαν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὔτε ξυνέρδεις τήν τε δρῶσαν[1] ἐκτρέπεις. 350
οὐ ταῦτα πρὸς κακοῖσι[2] δειλίαν ἔχει;
ἐπεὶ δίδαξον, ἢ μάθ' ἐξ ἐμοῦ[3], τί μοι
κέρδος γένοιτ' ἂν τῶνδε ληξάσῃ[4] γόων.
οὐ ζῶ; κακῶς μέν, οἶδ', ἐπαρκούντως[5] δέ μοι,
λυπῶ δὲ τούτους[6], ὥστε τῷ τεθνηκότι 355
τιμὰς προσάπτειν[7], εἴ τίς ἐστ' ἐκεῖ χάρις.
σὺ δ' ἡμὶν[8] ἡ μισοῦσα μισεῖς μὲν λόγῳ,
ἔργῳ δὲ τοῖς φονεῦσι τοῦ πατρὸς ξύνει.
ἐγὼ μὲν οὖν οὐκ ἄν ποτ', οὐδ' εἴ μοι τὰ σὰ
μέλλοι τις οἴσειν δῶρ'[9], ἐφ' οἷσι νῦν χλιδᾷς, 360
τούτοις ὑπεικάθοιμι· σοὶ δὲ πλουσία
τράπεζα κείσθω καὶ περιρρείτω[10] βίος.
ἐμοὶ γὰρ ἔστω τοὐμὲ μὴ[11] λυπεῖν μόνον

1) Λέγει γενικῶς, ἐν ᾧ πρόκειται μόνον περὶ τῆς Ἠλέκτρας. Περιεμένομεν δὲ τὴν φράσιν, ἐμέ τε τὴν ὁρῶσαν ἐκτρέπεις.

2) Τίνα εἶναι τὰ κακά; Κατὰ τὸν Σχολιαστήν· «Ἥγουν πρὸς τὸ εἶναί σε κακὴν ὑπάρχεις καὶ δειλή. Κακὴ μέν, ὅτι οὐ τιμᾷς τὸν πατέρα· δειλὴ δέ, ὅτι φοβῇ τοὺς κτανόντας τὸν πατέρα». Οἱ πλεῖστοι ὅμως τῶν νεωτέρων, ὡς ὁ Schneidervin καὶ ὁ Wolff, ἐννοοῦσι τὰς καταπιέσεις, ἃς ὑφίστανται διὰ τὸν Αἴγισθον, στίχ. 335.

3) Κεῖται παρενθετικῶς, διότι ὁ ἑπόμενος λόγος ἐξαρτᾶται ἐκ τοῦ δίδαξον.

4) Εἶναι ὑποθετικὴ μετοχή, ἤ: ἡ ἀπόδοσις τὸ γένοιτ' ἄν.

5) Τὸ ἐπίρρημα φέρεται μόνον παρὰ Ἰωάννῃ Φιλοπόνῳ (600 μ.Χ.) καὶ τούτου ἕνεκεν προτιμᾶται ὑπό τινων ἐκδοτῶν τὸ ἀπαρκούντως. Εὕρηται ὅμως τὸ ἐπαρκεῖν καὶ ἐπαρκής. Ὁ Σχολιαστὴς λέγει καὶ τὴν αἰτίαν· «Οὐ γὰρ ἐφίεμαι τρυφερώτερον ζῆν».

6) Ἐννοεῖ τὸν Αἴγισθον καὶ τὴν Κλυταιμνήστραν, ὡς ἐν στίχ. 271.

7) Λέγει τοῦτο, καθ' ὅσον ἡ λύπη τῶν φονέων γίνεται πρὸς τιμὴν τοῦ φονευθέντος. Τὸ ἐκεῖ συχνάκις οἱ ἀρχαῖοι μεταχειρίζονται ἐπὶ Ἅιδου, ὡς ἐν Αἴαντι, 854 «ὦ Θάνατε· καίτοι σὲ μὲν κἀκεῖ προσαυδήσω» καὶ ἐν στίχ. 1372. Χάρις εἶναι ἡ εὐχάριστος πρᾶξις.

8) Εἶναι ἠθικὴ δοτικὴ καὶ λέγεται μετὰ πικρίας.

9) Ἃ σοὶ δωροῦνται, ἃ σὺ λαμβάνεις. Τὸ χλιδᾷς ὁ Σχολιαστὴς ἐξηγεῖ τρυφᾷς.

10) Περισσός, δαψιλὴς ἔστω.

11) Οἱ κριτικοὶ ἐξήντλησαν τὴν νοημοσύνην αὐτῶν, ὅπως διορθώσωσι τὸ χωρίον· καὶ ὁ μὲν Döderlein ἔτρεψεν εἰς τοὐμὲ μὴ λιπεῖν, ὁ δὲ Schmidt μὴ ἀλιτεῖν, ὁ Helbig τοὐμμενῆ λυπεῖν, ὁ Schneidewin τοὐμὲ μὴ λήγειν γόων, ὁ Wolff τούσδε δὴ καὶ ἄλλοι ἄλλως. Ὁ τελευταῖος παρα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βόσκημα· τῆς σῆς δ' οὐκ ἐρῶ τιμῆς τυχεῖν,
οὐδ' ἄν[1] σὺ σώφρων γ' οὖσα. νῦν δ' ἐξὸν πατρὸς 365
πάντων ἀρίστου παῖδα κεκλῆσθαι, καλοῦ
τῆς μητρός·[2] οὕτω γὰρ φανεῖ πλείστοις κακή,
θανόντα πατέρα καὶ φίλους προδοῦσα σούς.

ΧΟΡΟΣ.

μηδὲν πρὸς ὀργήν[3], πρὸς θεῶν· ὡς τοῖς λόγοις
ἔνεστιν ἀμφοῖν κέρδος, εἰ σὺ[4] μὲν μάθοις 370
τοῖς τῆσδε χρῆσθαι, τοῖς δὲ σοῖς αὖτη[5] πάλιν.

ΧΡΥΣΟΘΕΜΙΣ.

ἐγὼ μέν, ὦ γυναῖκες, ἠθάς[6] εἰμί πως
τῶν τῆσδε μύθων· οὐδ' ἂν ἐμνήσθην[7] ποτέ,
εἰ μὴ κακὸν μέγιστον εἰς αὐτὴν ἰὸν

τηρεῖ, ὅτι μόνον ἐνέργειά τις δύναται νὰ ὀνομασθῇ βόσκημα, οὐχὶ δὲ καὶ παράλειψις. Νομίζομεν ὅμως, ὅτι καὶ ἡ ἔλλειψις ἐνοχλήσεως δύναται νὰ ἦναι χαρά, εὐχαρίστησις καὶ ὡς τοιαύτη δύναται να ὀνομασθῇ βόσκημα. Διὰ τοῦτο ἴσως δὲν εἶναι ἀνάγκη διορθώσεως καὶ ὀρθῶς ὁ Σχολιαστὴς ἑρμηνεύει· «Τοῦτο μόνον ἐμὲ βοσκέτω, τὸ μὴ λυπεῖν ἐμὲ αὐτήν, εἰ τοῖς φονεῦσι τοῦ πατρὸς πείθεσθαι ἀναγκασθήσομαι».

1) Ἐκ τοῦ ἡγουμένου στίχου ἐννοεῖται τὸ ἦρας, δηλ. οὐδ' ἂν σὺ ἦρας, εἰ σώφρων γε ἦσθα.

2) Ἡ φράσις αὕτη παρέχει πολὺ ὄνειδος, διότι τῆς μητρὸς κατ' ἐξοχὴν καλοῦνται τὰ νόθα τέκνα. Κατὰ τὴν ἀρχαίαν ῥῆσιν ὁ παῖς πρέπει νὰ ἦναι τοῦ πατρός, ἐν Φιλοκτήτ. 260 καὶ ἐν Ἀποσπάσμ. 140 «Οὗτοι χρή . . . μητρὸς καλεῖσθαι παῖδα, τοῦ πατρὸς παρόν». Ὁ δὲ Εὐριπίδης ἐν Ἠλέκτρ. 933 λέγει· «κἀκείνους στυγῶ τοὺς παῖδας, ὅστις τοῦ μὲν ἄρσενος πατρὸς οὐκ ὠνόμασται, τῆς δὲ μητρὸς ἐν πόλει».

3) Κεῖται ἀντὶ ἐπιρρήματος ὡς πρὸς βίαν, πρὸς χάριν. Ἐννοεῖται τὸ λέξῃς.

4 Διὰ μὲν τοῦ σὺ ἐννοεῖ τὴν Ἠλέκτραν, διὰ δὲ τοῦ αὕτη τὴν Χρυσόθεμιν. Κατὰ τὸν Σχολιαστήν· «εἰ συγκεράσετε τοὺς τρόπους, εὖ ἂν ἔχει. Ἡ μὲν γὰρ αὐστηρά, ἡ δὲ ἀνειμένη». Ἐν τῇ ἀρχαίᾳ τραγῳδίᾳ ὁ χορὸς λαμβάνει μεσάζουσαν θέσιν.

5) Ἐπὶ τοῦ αὐτοῦ προσώπου μεταχειρίζεται τὴν ὅδε καὶ οὗτος, ὡς ἐν Φιλοκτήτ. 1434 «οὔτε γὰρ σὺ τοῦδ' ἄτερ σθένεις ἐλεῖν τὸ Τροίας πεδίον οὔθ' οὗτος σέθεν. Ἀλλὰ φυλάσσετον οὗτος σὲ καὶ σὺ τόνδε».

6) Τὸ ἠθὰς συνετάχθη πρὸς γενικήν, διότι σημαίνει ἔμπειρος. Κατὰ τὸν Schneidewin τὸ πως κεῖται εἰρωνικῶς.

7) Δύναται τὸ ἀντικείμενον νὰ νοηθῇ ἐκ τῆς φράσεως τοῖς τῆσδε τοῦ στίχ. 371.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἤκουσ', ὁ ταύτην τῶν μακρῶν σχήσει[1] λόγων. 375

ΗΛΕΚΤΡΑ.

φέρ' εἰπὲ δὴ τὸ δεινόν[2]· εἰ γὰρ τῶνδέ μοι
μεῖζόν τι λέξεις, οὐκ ἂν ἀντείποιμ' ἔτι.

ΧΡΥΣΟΘΕΜΙΣ.

ἀλλ' ἐξερῶ σοι πᾶν, ὅσον κάτοιδ' ἐγώ.
μέλλουσι γάρ σ', εἰ τῶνδε μὴ λήξεις γόων,
ἐνταῦθα πέμψειν, ἔνθα μήποθ[3] ἡλίου 380
φέγγος προσόψει· ζῶσα δ' ἐν κατηρεφεῖ[4]
στέγῃ χθονὸς τῆσδ' ἐκτὸς ὑμνήσεις[5] κακά.
πρὸς ταῦτα φράζου, καί με μή ποθ' ὕστερον
παθοῦσα μέμψῃ· νῦν γὰρ ἐν καλῷ[6] φρονεῖν.

ΗΛΕΚΤΡΑ.

ἦ ταῦτα δή με καὶ[7] βεβούλευνται ποιεῖν; 385

ΧΡΥΣΟΘΕΜΙΣ.

μάλισθ'· ὅταν[8] περ οἶκαδ' Αἴγισθος μόλῃ.

ΗΛΕΚΤΡΑ

ἀλλ' ἐξίκοιτο τοῦδέ γ'[9] οὕνεκ' ἐν τάχει.

1) Ὁ Σχολιαστὴς ἐξηγεῖ ἐφέξει, κωλύσει.

2) Λέγει τοῦτο δεινόν, διότι ὠνόμασε τοιοῦτον ἡ Χρυσόθεμις. Ὅρα Αἴαντ. στίχ. 312. Τάδε εἶναι ἡ παροῦσα κατάστασις τῆς Ἠλέκτρας.

3) Ἔθηκε τὸ μή, ὅπως δηλωσῃ τὸν σκοπὸν τῶν μελλόντων νὰ πράξωσι τοῦτο.

4) Κατὰ τὸν Σχολιαστὴν κατασκεπασμένῃ, σκοτεινῇ. Ἐν τοιαύτῃ στέγῃ καθείρχθη ἡ Ἀντιγόνη ὑπὸ τοῦ Κρέοντος.

5) Ὁ Σχολιαστὴς παρατηρεῖ· «καὶ ἐπὶ μέλους θρηνώδους, καθ' ἃ λέγεται ἐνταῦθα τὸ ὑμνήσεις».

6) Σημαίνει εὔκαιρον, ὡς παρὰ Ξενοφῶντ. ἐν Ἑλλ. 4, 3, 5 «νομίσαντες οὐκ ἐν καλῷ εἶναι πρὸς τοὺς ὁπλίτας ἱππομαχεῖν».

7) Οἱ ἑρμηνευταὶ ἐξηγοῦσι διὰ τοῦ ὄντως, ἀληθῶς, ὡς ἐν Αἴαντ. 44 «ἦ καὶ τὸ βούλευμ' ὡς ἐπ' Ἀργείοις τόδ' ἦν». Τῆς στιχομυθίας, ἥτις ὑπάρχει ἐνταῦθα, γίνεται χρῆσις ἐν ζωηρᾷ συζητήσει καὶ ἐν ἀγγελίᾳ σπουδαίων γεγονότων.

8) Προσδιορίζει τὸ ἐκ τοῦ προηγουμένου στίχου ἐννοούμενον ποιεῖν.

9) Ὁ γέ ἦτο ἀναγκαῖος, διότι ἡ Ἠλέκτρα εὔχεται, ἵνα ὁ Αἴγισθος ἐπανέλθῃ μόνον, ὅπως ἐκτελέσῃ τὴν ἀπόφασιν αὐτοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΧΡΥΣΟΘΕΜΙΣ.

τίν', ὦ τάλαινα, τόνδ' ἐπηράσω λόγον;

ΗΛΕΚΤΡΑ.

ἐλθεῖν[1] ἐκεῖνον, εἴ τι τῶνδε δρᾶν νοεῖ.

ΧΡΥΣΟΘΕΜΙΣ.

ὅπως πάθῃς[2] τί χρῆμα; ποῦ ποτ' εἶ φρενῶν; 390

ΗΛΕΚΤΡΑ.

ὅπως ἀφ' ὑμῶν[3] ὡς προσώτατ' ἐκφύγω.

ΧΡΥΣΟΘΕΜΙΣ.

βίου δὲ τοῦ παρόντος οὐ μνείαν ἔχεις;

ΗΛΕΚΤΡΑ.

καλὸς γὰρ[4] οὑμὸς βίοτος, ὥστε θαυμάσαι.

ΧΡΥΣΟΘΕΜΙΣ.

ἀλλ' ἦν ἄν[5], εἰ σύ γ' εὖ φρονεῖν ἠπίστασο.

ΗΛΕΚΤΡΑ.

μή μ' ἐκδίδασκε τοῖς φιλοις[6] εἶναι κακήν. 395

ΧΡΥΣΟΘΕΜΙΣ.

ἀλλ' οὐ διδάσκω· τοῖς[7] κρατοῦσι δ' εἰκαθεῖν.

ΗΛΕΚΤΡΑ.

σὺ ταῦτα[8] θώπευ'· οὐκ ἐμοὺς τρόπους λέγεις.

1) Ἐξαρτᾶται ἐκ τοῦ λέγω, ὅπερ ἐξάγεται ἐκ τοῦ λόγον.

2) Ἡ Χρυσόθεμις ὑποδεικνύει, ὅτι ἡ πρᾶξις τοῦ Αἰγίσθου εἶναι φοβερὸν πάθημα αὐτῆς.

3) Ἐν τῇ ἀγανακτήσει ἡ ἡρωὶς καταλέγει τὴν ἀδελφὴν μετὰ τοῦ Αἰγίσθου καὶ τῆς Κλυταιμνήστρας. Τὴν ἑπομένην φράσιν ὁ L. Dindorf ἔτρεψεν εἰς προσωτάτω φύγω, διότι τὸν τύπον τοῦτον μεταχειρίζονται οἱ ἀττικοί.

4) Ὁ γὰρ ἐν τῷ διαλόγῳ συχνάκις αἰτιολογεῖ παραλειφθεῖσαν πρότασιν, ὡς ἐνταῦθα τήν, οὐκ ἔχω μνείαν. Ταῦτα λέγει μετὰ πικρᾶς εἰρωνείας.

5) Ἐννόησον ἐκ τοῦ ἡγουμένου στίχου τὸ καλός.

6) Ἡ ὑπὸ τῆς Χρυσοθέμιδος ὀνομασθεῖσα φρόνησις εἶναι κακὸν πρὸς τοὺς φίλους, δηλ. τὸν πατέρα.

7) Τὸ πλῆρες ἤθελεν εἶναι, οὐ διδάσκω τοῖς φίλοις εἶναι κακήν, διδάσκω δέ. Κατὰ τὸν Elmsley τὰ ἀμυναθεῖν, διωκαθεῖν, εἰρξαθεῖν καὶ εἰργαθεῖν, δὲν εἶναι ἐνεστῶτες, ἀλλ' ἀόριστοι.

8) Βραχυλογικῶς ἀντί, ταῦτα πρά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΧΡΥΣΟΘΕΜΙΣ.

καλόν γε μέντοι μὴ 'ξ ἀβουλίας πεσεῖν.

ΗΛΕΚΤΡΑ.

πεσούμεθ'[1], εἰ χρή, πατρὶ τιμωρούμενοι.

ΧΡΥΣΟΘΕΜΙΣ.

πατὴρ δὲ τούτων[2], οἶδα, συγγνώμην ἔχει. 400

ΗΛΕΚΤΡΑ.

ταῦτ' ἔστι τἄπη πρὸς[3] κακῶν ἐπαινέσαι.

ΧΡΥΣΟΘΕΜΙΣ.

σὺ δ' οὐχὶ πείσει καὶ συναινέσεις ἐμοί;

ΗΛΕΚΤΡΑ.

οὐ δῆτα· μήπω[4] νοῦ τοσόνδ' εἴην κενή.

ΧΡΥΣΟΘΕΜΙΣ.

χωρήσομαι τἄρ', οἷπερ ἐστάλην ὁδοῦ.

ΗΛΕΚΤΡΑ.

ποῖ δ' ἐμπορεύει; τῷ φέρεις ταδ' ἔμπυρα;[5] 405

οὖσα θώπευε τοὺς κρατοῦντας. Κατὰ τὸν Wolff ἡ ἀντωνυμία κεῖται ἀντὶ τοῦ ἐπιρρήματος οὕτως. Τὸ ἀσύνδετον κρατύνει τὴν ἀντίθεσιν. Σὺ μὲν κολάκευε, ἀλλ' ὅ τι λέγεις, δὲν εἶναι ὁ τρόπος, καθ' ὃν ἐγὼ σκέπτομαι.

1) Φαίνεται ὀρθὴ ἡ παρατήρησις τοῦ Schneidewin, ὅτι ἡ Ἠλέκτρα μεταχειρίζεται τὸ πεσούμεθα ἐν διαφόρῳ σημασίᾳ τοῦ πεσεῖν. Θὰ πέσωμεν, ἐὰν ἦναι ἀνάγκη, ἐκδικούμενοι τὸν πατέρα. Τὴν μετοχὴν ἔτρεψεν εἰς ἀρσενικὸν γένος ἕνεκα τοῦ πληθυντικοῦ ἀριθμοῦ.

2) Δηλαδὴ τῶν τρόπων τῆς Χρυσοθέμιδος, τοῦ μὴ τιμωρεῖσθαι τῷ πατρί. Οὐχὶ πολὺ διάφορον εἶναι τὸ ὑπὸ τῆς Ἰσμήνης εἰρημένον ἐν Ἀντιγόν. 65 «Ἐγὼ μὲν οὖν αἰτοῦσα τοὺς ἀπὸ χθονὸς ξύγγνοιαν ἴσχειν, ὡς βιάζομαι τάδε, τοῖς ἐν τέλει βεβῶσι πείσομαι».

3) Ἀντὶ ἁπλῆς γενικῆς οἱ τραγικοὶ συχνάκις μεταχειρίζονται τὴν πρὸς μετὰ γενικῆς, ὡς ἐν Αἴαντ. 581 «οὐ πρὸς ἰατροῦ σοφοῦ (ἐστὶ) θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι». Κατὰ τὸν Σχολιαστήν· «κακῶν ἐστιν ἐπαινέσαι ταῦτα τὰ ἤθη».

4) Ἐν τῷ ἔπει καὶ τῇ τραγῳδίᾳ εὑρηται τὸ πῶ μετὰ ἀρνήσεως ἐν τῇ σημασίᾳ τοῦ πώς, ὡς ἐν Οἰδίπ. τυράνν. 594 «οὔπω τοσοῦτον ἠπατημένος κυρῶ, ὥστ' ἄλλα χρῄζειν ἢ τὰ σὺν κέρδει καλά» καὶ Εὐριπίδ. ἐν Ἑκάβ. 1278 «μήπω μανείη Τυνδαρὶς τοσόνδε πατς».

5) Δὲν ἐννοεῖ ζῷα πρὸς θυσίαν, ἀλλὰ σπονδὰς ἐκ γάλακτος, μέλιτος καὶ οἴνου, ὡς λέγει ὁ Τρικλίνιος· «Καταχρηστικῶς δὲ εἶπε τὰ ἔμπυρα —ἔμπυρα γὰρ κυρίως τὰ δια πυ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΧΡΥΣΟΘΕΜΙΣ.

μήτηρ με πέμπει πατρὶ τυμβεῦσαι[1] χοάς.

ΗΛΕΚΤΡΑ.

πῶς[2] εἶπας; ἢ τῷ δυσμενεστάτῳ βροτῶν;

ΧΡΥΣΟΘΕΜΙΣ.

ὃν ἔκταν' αὐτή· τοῦτο γὰρ λέξαι θέλεις.

ΗΛΕΚΤΡΑ.

ἐκ τοῦ φίλων πεισθεῖσα; τῷ[3] τοῦτ' ἤρεσεν;

ΧΡΥΣΟΘΕΜΙΣ.

ἐκ δείματός του νυκτέρου, δοκεῖν[4] ἐμοί. 410

ΗΛΕΚΤΡΑ.

ὦ θεοὶ πατρῷοι, συγγένεσθέ γ'[5] ἀλλὰ νῦν.

ΧΡΥΣΟΘΕΜΙΣ.

ἔχεις τι θάρσος τοῦδε τοῦ τάρβους[6] πέρι;

ΗΛΕΚΤΡΑ.

εἴ μοι λέγοις[7] τὴν ὄψιν, εἴποιμ' ἂν τότε.

ΧΡΥΣΟΘΕΜΙΣ.

ἀλλ' οὐ κάτοιδα πλὴν ἐπὶ σμικρὸν[8] φράσαι.

ρὸς γενόμεναι, αἱ διὰ πυρὸς θυσίαι». Ὅρα καὶ Εὐριπίδ. ἐν Ὀρέστ. 115.

1) Κατὰ τὸν Σχολιαστήν· «Σπεῖσαι τῷ τύμβῳ τοῦ πατρὸς χοάς». Ὁ Wunder ὅμως ἐξηγεῖ· πατρὶ χοὰς κρύψαι ἐν τύμβῳ.

2) Δικαίως ἡ ἡρωὶς ἐκπλήσσεται, ὅτι ἡ τὸν ἄνδρα φονεύσασα πέμπει τούτῳ σπονδάς. Εἰς τὸ δυσμενεστάτῳ ἐνεοεῖται ἡ δοτικὴ αὐτῇ.

3) Εἰς τίνα τοῦτο ἦτο ἀρεστόν; Ἡ Ἠλέκτρα δὲν πιστεύει, ὅτι ἡ μήτηρ αὐτοκέλευστος πράττει τοῦτο. Ἀντὶ ὅμως φίλου ἀκούει, ὅτι οἱ θεοὶ δι' ὀνείρου κατώρθωσαν τοῦτο.

4) Κατὰ τὸ δοκοῦν ἐμοί. Ἡ Χρυσόθεμις δὲν ἐγίνωσκεν ἀκριβῶς περὶ τοῦ ὀνείρου· ὅρα 117 καὶ 424.

5) Ὀρθῶς παρατηρεῖ ὁ Σχολιαστής· «Συμμαχήσατε, συνεργήσατε, συμπράξατε ἡμῖν κἂν νῦν. Ἀκούσασα δέ, ὅτι ἐν τοῖς ὀνείροις δείματά τινα τῇ Κλυταιμνήστρα γέγονε, θαρσεῖ καὶ ἐπικαλεῖται τοὺς θεούς, εἰ καὶ μὴ πρότερον, κἂν νῦν παριστάναι». Ὁ γὲ κατὰ μετάθεσιν ἐτέθη παρὰ τῷ συγγένεσθε, ἐν ᾧ προσδιορίζει τὸ νῦν.

6) Ἡ Χρυσόθεμις παρετήρησεν, ὅτι ἐκ τοῦ φόβου τῆς μητρὸς ἤντλησε θάρρος.

7) Ἐν τισι χειρογράφοις εὑρηται τὸ ῥῆμα καὶ καθ' ὁριστικήν, ἀλλὰ δὲν προτιμᾶται ὑπὸ τῶν κριτικῶν.

8) Ἐπιγεγραμμένον εὑρηται σμικρῶν, ὅπερ φαίνεται, ὅτι ἀνέγνω καὶ ὁ Σχολιαστής, ὅστις ἐξηγεῖ διὰ τῆς φράσεως πλὴν ὀλίγων. Τὴν παρεπιγραφὴν ταύτην προτιμᾷ καὶ ὁ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΗΛΕΚΤΡΑ.

λέγ' ἀλλὰ[1] τοῦτο· πολλά τοι σμικροὶ λόγοι
ἔσφηλαν[2] ἤδη καὶ κατώρθωσαν βροτούς.

ΧΡΥΣΟΘΕΜΙΣ.

λόγος τις αὐτὴν ἐστιν εἰσιδεῖν[3] πατρὸς
τοῦ σοῦ τε κἀμοῦ δευτέραν ὁμιλίαν[4]
ἐλθόντος ἐς φῶς· εἶτα τόνδ' ἐφέστιον[5]
πῆξαι λαβόντα σκῆπτρον[6], οὑφόρει ποτὲ
αὐτός, τὰ νῦν δ' Αἴγισθος, ἔκ τε τοῦδ' ἄνω
βλαστεῖν βρύοντα θαλλόν[7], ᾧ κατάσκιον
πᾶσαν γενέσθαι[8] τὴν Μυκηναίων χθόνα.

Wolff παραπέμπων εἰς παράλληλα χωρία, ἐν Αἴα.τ. 1268 « σοῦ οὐδ' ἐπὶ σμικρῶν λόγων ἔτ' ἴσχει μνῆστιν» καὶ Ἰουλιαν. ἐν III, 128 A « τούτων ἐπὶ σμικρῶν μνημονεύει». Ἀλλ' οἱ πλεῖστοι τῶν ἐκδοτῶν προτιμῶσι τὴν αἰτιατικήν, ὡς παρ' Ἡροδότ. IV, 129 « ταῦτα μέν νυν ἐπὶ σμικρόν τι ἐρρόντο τοῦ πολέμου» καὶ Ἀριστοτέλ. ἐν Πολιτ. VIII, 5, 31 « ἀλλ' ἐπὶ μικρὸν καὶ πάντες τῆς τοιαύτης αἰσθήσεως κοινωνοῦσιν».

1) Ἐγένετο μετάθεσις τοῦ ἀλλ' ἀντὶ, ἀλλὰ λέγε τοῦτο.

2) Τὸ σφάλλεσθαι εἶναι ἀντίθετον τοῦ ὀρθοῦσθαι, ὡς ὀρθῶς παρατηρεῖ ὁ Εὐστάθιος εἰς Ἰλιάδ. Z, 39. Οὐχὶ πολὺ διάφορον λέγει ὁ Δημοσθένης πρὸς Λεπτ. κεφ. 35 « μικροὶ καιροὶ μεγάλων πραγμάτων αἴτιοι γίγνονται».

3) Οἱ τραγικοὶ ἐνίοτε μετακειρίζονται τὸ εἰσοραῖν ἀντὶ τοῦ ἁπλοῦ ὁρᾶν, ὡς ἐν Τραχιν. 1112 « ὦ πλῆμον Ἑλλάς, πένθος οἷον εἰσορῶ ἔξουσαν» καὶ ἐν Οἰδίπ. ἐπὶ Κολων. 1097.

4) Κατὰ τὸν Σχολιαστήν· « Ὡς αὖθις αὐτοῦ ἀναζήσαντος καὶ προσομιλήσαντος ».

5) Οὐχὶ ὀρθῶς ἑρμηνεύει ὁ Σχολιαστής· « Ἐπὶ τὴν οἰκίαν γενόμενον, τουτέστιν ἐπ' οἶκον »· διότι, ὡς ὀρθῶς λέγει ὁ Dindorf, τὸ ἐφέστιον δὲν ἀποδίδεται εἰς τὸν Ἀγαμέμνονα, ἀλλ' εἰς τὸ σκῆπτρον. Τὸ ὄνειρον ὑπαινίσσεται, ὅτι ὁ Ἀτρείδης ἀφεῖλε τὸν Αἴγισθον τὴν βασιλείαν καὶ ἦνεγκεν εἰς τὸν οἶκον, ὅπως βασιλεύσῃ ὁ υἱὸς Ὀρέστης.

6) Τὴν ἱστορίαν τοῦ σκήπτρου τούτου περιέγραψεν ὁ Ὅμηρος ἐν Ἰλιάδι B, 101.

7) Παραπλήσιον ἐνύπνιον εἶδεν ὁ Ἀστυάγης κατὰ τὴν διήγησιν τοῦ Ἡροδότου ἐν I, 108 « Ἐδόκεε (Ἀστυάγεϊ) ἐκ τῶν αἰδοίων τῆς θυγατρὸς ταύτης φῦναι ἄμπελον. τὴν δὲ ἄμπελον ἐπισχεῖν τὴν Ἀσίην πᾶσαν — ἐκ τῆς ὄψιος τῶν Μάγων ὀνειροπόλοι ἐσήμαιναν ὅτι μέλλοι ὁ τῆς θυγατρὸς αὐτοῦ γόνος βασιλεύσειν ἀντ' ἐκείνου ».

8) Περιεμένομεν, ᾧ χθὼν γένοιτο, ἀλλ' ἡ σύνταξις ἀφωμοιώθη πρὸς τὴν προηγουμένην.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοιαῦτά του[1] παρόντος, ἡνίχ' Ἡλίῳ
δείκνυσι[2] τοὔναρ, ἔκλυον ἐξηγουμένου. 425
πλείω δὲ τούτων οὐ κάτοιδα, πλὴν ὅτι
πέμπει μ' ἐκείνη τοῦδε τοῦ φόβου[3] χάριν.
πρός νυν[4] θεῶν σε λίσσομαι τῶν ἐγγενῶν,
ἐμοὶ πιθέσθαι μηδ' ἀβουλίᾳ[5] πεσεῖν·
εἰ γάρ μ' ἀπώσει[6], σὺν κακῷ μέτει πάλιν. 430

1) Ὁ Schneider εἰκάζει κατὰ τύχην παρευρεθέντα ὑπηρέτην. Οἱ κακὰ ἐνύπνια βλέποντες διηγοῦντο ταῦτα τῷ Ἡλίῳ, ὅπως οὗτος ὡς διώκων τὴν νύκτα ἀποδιώξῃ καὶ τὰ κατὰ ταύτην γενόμενα. Κατὰ τὸν Σχολιαστήν· «Τοῖς παλαιοῖς ἔθος ἦν ἀποτροπιαζομένους τῷ Ἡλίῳ διηγεῖσθαι τὰ ὀνείρατα». Ὁ Wolff λέγει, ὅτι μέχρι τοῦδε δεισιδαίμονες Ἕλληνες πράττουσι τοῦτο. Ὄντως ὁ λόγιος ἰατρὸς κ. Πύρλας, ὅστις ἔσχε τὸν ἀξιέπαινον ζῆλον νὰ μελετήσῃ τὰ τοιαῦτα, ἐβεβαίωσέ με, ὅτι ὁ βλέπων δυσάρεστον ὄνειρον πρὸς τὸν ἥλιον ἀτενίζων ἐπιφωνεῖ· ὅπως σκορπᾷ ὁ ἥλιος, οὕτω νὰ σκορπίσῃ καὶ τὸ ὄνειρον. Ἡ σύνταξις ἔχει οὑτωσί, τοιαῦτα ἔκλυον ἐξηγουμένου του, ὃς παρῆν ἡνίχ' Ἡλίῳ δείκνυσι τὸ ὄναρ.

2) Τὸ δεικνύναι μεταχειρίζεται ἐν τῇ σημασίᾳ τοῦ ἀποκαλύπτειν, ἀγγέλλειν, ὡς ἐν Τραχιν. 1250 «τὸ σὸν θεοῖσι δεικνὺς ἔργον».

3) Ἡ Χρυσόθεμις ἐν στίχ. 410 μετ' ἀμφιβολίας εἶπεν, ὅτι τὸ νύκτερον δεῖμα ἦτο ἡ αἰτία τῆς θυσίας. Νῦν ὅμως μετὰ βεβαιότητος λέγει τοῦτο. Ἴσως τὴν γνώμην ταύτην ἐνίσχυσεν ἡ φράσις τῆς Ἠλέκτρας, ὦ θεοὶ πατρῷοι, ξυγγένεσθέ γ' ἀλλὰ νῦν.

4) Ἐν τοῖς χειρογράφοις ἀναγινώσκεται πρὸς νῦν, ὅπερ διατηροῦσιν ὁ Schneider καὶ ὁ Hartung. Κατὰ τὴν γραφὴν ταύτην σημαίνει ὑπὸ τοιαύτας περιστάσεις, καθ' ἃς ἐλήφθη σκληρὰ ἀπόφασις κατὰ τῆς Ἠλέκτρας καὶ ἡ Κλυταιμνήστρα ἕνεκα τοῦ ἐνυπνίου ἐκ προνοίας δύναται νὰ ἐκτελέσῃ τὴν ἀπόφασιν. Παρὰ τῷ Τρικλινίῳ ὅμως εὑρηται πρός νυν, ὅπερ ἐκράτησε παρὰ τοῖς πλείστοις τῶν νεωτέρων ἐκδοτῶν. Ὁ συλλογιστικὸς σύνδεσμος συνάπτει τὴν παραίνεσιν μετὰ τοῦ φόβου τῆς Κλυταιμνήστρας. Οὐ μόνον ἡ Ἠλέκτρα ἠδύνατο νὰ προΐδῃ εἰς παράτολμόν τι, ἀλλὰ καὶ ἡ Κλυταιμνήστρα νὰ ἐπισπεύσῃ τὴν ἐκτέλεσιν τῆς ἀποφάσεως ἐκ φόβου. Ἄξιον σημειώσεως, ὅτι ἡ Χρυσόθεμις μετὰ τὴν διήγησιν τοῦ ἐνυπνίου δὲν ζητεῖ τὴν ἐξήγησιν τοῦ θάρρους, ὅπερ ἠντλησεν ἡ ἀδελφή, ἀλλὰ τοὐναντίον ἐξάγει συμπέρασμα πρὸς φόβον. Θεοὶ ἐγγενεῖς εἶναι οἱ πατρῷοι (στίχ. 411), οἱ προστατεύοντες τὸ γένος.

5) Τὴν αὐτὴν ἔννοιαν ἐδήλωσε διὰ τῆς φράσεως ἐξ ἀβουλίας πεσεῖν ἐν στίχ. 398.

6) Ἐκ τῆς ἀντιθέσεως κατὰ τὸν Schneidwin δέον νὰ ἐννοήσωμεν τὸ νῦν. Ἡ φράσις σὺν κακῷ σημαίνει συνοῦσα κακῷ, ὕστερον παθοῦσα στίχ. 383. Ὁ Σχολιαστὴς παρατηρεῖ· «Εἰ γὰρ νῦν, φησί, δεομένην σου ἀπώσῃ με, κακοῦ σοί τινος γενομένου μετὰ ταῦτα αὐτὴ μετελεύσῃ με καὶ ἀξιώσεις μετὰ σοῦ γενέσθαι».

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΗΛΕΚΤΡΑ.

ἀλλ' ὦ φίλη[1], τούτων μέν, ὧν ἔχεις χεροῖν,
τύμβῳ προσάψῃς μηδέν· οὐ γάρ σοι θέμις
οὐδ' ὅσιον, ἐχθρᾶς ἀπὸ[2] γυναικὸς ἱστάναι
κτερίσματ' οὐδὲ λουτρὰ[3] προσφέρειν πατρί·
ἀλλ' ἢ πνοαῖσιν[4] ἢ βαθυσκαφεῖ κόνει
κρύψον νιν[5], ἔνθα μήποτ' εἰς εὐνὴν πατρὸς
τούτων πρόσεισι μηδέν· ἀλλ'[6] ὅταν θάνῃ,
κειμήλι'[7] αὐτῇ ταῦτα σῳζέσθω κάτω.
ἀρχὴν[8] δ' ἄν, εἰ μὴ τλημονεστάτη γυνὴ

[1]) Ἡ ἡρωὶς ἐκ τοῦ ἐνυπνίου θάρρος ἀντλήσασα καὶ μέλλουσα νὰ παρακαλέσῃ τὴν ἀδελφὴν καλεῖ ταύτην φίλην.

[2]) Ἐπειδὴ ἡ πρᾶθεσις λείπει ἔν τισι χειρογράφοις, ὁ μὲν Dindorf εἶχασε πρός, ὁ δὲ Kayser ὅσων ἔστ' ἐχθρᾶς γυναικός καὶ ὁ Nauck μετέβαλε τὴν φράσιν εἰς, ἐχθρᾶς ἱστάναι κτερίσματα γυναικός. Ὁ προσδιορισμὸς ἐχθρᾶς ἀπὸ γυναικὸς ἀνήκει καὶ εἰς τὸ κτερίσματα καὶ εἰς τὸ λουτρά. Εἶπε δὲ βραχυλογικῶς ἀντὶ φέρουσαν ἱστάναι.

[3]) Λουτρὰ ὀνομάζει ποιητικῶς τὰς χοάς, ἃς ἡ Χρυσόθεμις ἔμελλε να χύσῃ ἐπὶ τοῦ τάφου τοῦ Ἀγαμέμνονος. Ἐπειδὴ οἱ ἀρχαῖοι ἐπίστευον, ὅτι τὰ ἀνθρώπινα πάθη ἐξηκολούθουν καὶ μετὰ θάνατον, δὲν ἐπέτρεπον, ἵνα οἱ ἐχθροὶ ἢ τὰ τῶν ἐχθρῶν πλησιάσωσι εἰς τοὺς τάφους τῶν ἐχθρικῶς διακειμένων, ὡς Αἴαντ. 1394 « τάφον μὲν ὀκνῶ τοῦδ' ἐπιψαύειν ἐᾶν, μὴ τῷ θανόντι τοῦτο δυσχερὲς ποιῶν».

[4]) Τῷ Nauck ἡ φράσις πνοαῖσι κρύπτειν ἐφάνη ἀκατάληπτος καὶ ἔτρεψεν εἰς ἢ ῥοαῖσιν· διότι καὶ τὸ ζεῦγμα δὲν δέχεται καὶ τὰ κτερίσματα ἔπρεπε νὰ φυλαχθῶσιν, ὅπως χρησιμεύσωσι τῇ Κλυταιμνήστρᾳ (ἐν στίχ. 438). Βεβαίως αἱ πνοαὶ δὲν διατηροῦσι τὰ κτερίσματα, ἀλλ' οὐδὲ αἱ ῥοαί· ὁ Schneider συνάπτει μετὰ τῶν ἡγουμένων, δηλ. ἀλλ' ἢ πνοαῖσι πρόσαψον. Ὀρθῶς ποιοῦντες οἱ πλεῖστοι τῶν ἑρμηνευτῶν προτιμῶσι τὸ ζεῦγμα κατὰ τὸν Σχολιαστήν· « Πρὸς μὲν τὸ βαθυσκαφεῖ κόνει ἁρμοδίως λέγεται τὸ κρύψον· πρὸς δὲ τὸ πνοαῖσιν οὐ δύναται ἁρμόσαι. Δεῖ οὖν συνυπακούειν ἔξωθεν ῥῆμα κατὰ ἀναλογίαν, ἢ τὸ ῥῖψον, ἢ τὸ δός, ἤ τι τῶν τοιούτων ». Παραπλήσια ἀπαντῶσι πολλά, ὡς Πίνδαρ. ἐν Πυθ 4, 186 « οὔτε ἔργον (δηλ. δράσας) οὔτ' ἔπος εὐτράπελον εἰπών», Σοφοκλ. ἐν Οἰδίποδ. τυράνν. 189 « πέμψον ἀλκάν, Ἄρεά τε νωτίσαι (δηλ. ποιεῖ)». Βαθυσκαφὴς εἶναι ἡ εἰς βάθος ὀρωρυγμένη κατὰ τὸν Σχολιαστήν.

[5]) Αὐτὰ ἤτοι τὰ κτερίσματα καὶ λουτρά. Τὸ ἔνθα κεῖται ἀντί, τοῦ ἐνταῦθα ὅθεν, ὡς παρὰ Ξενοφῶντ. Οἰκονομ. 18, 1 « στὰς ἔνθα πνεῖ ἄνεμος ἢ ἀντίος ». Λέγων ἐνταῦθα εὐνὴν ἐννοεῖ τὸν τάφον. Ἡ Ἠλέκτρα παρακελεύεται τὴν ἀδελφήν, ὅπως τὰ κτερίσματα ἀπομακρυνῃ, ὡσεὶ ἦσαν μολύσματα.

[6]) Ποιεῖ ἀντίθεσιν εἰς τὴν εὐνὴν πατρός.

[7]) Λέγει τοῦτο μετὰ σαρκασμοῦ.

[8]) Κεῖται ἐπιῤῥηματικῶς, καθ' ὃ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πασῶν ἔβλαστε, τάσδε δυσμενεῖς χοὰς[1] 440
οὐκ ἄν ποθ', ὅν γ' ἔκτεινε, τῷδ' ἐπέστεφε.
σκέψαι γάρ, εἰ σοι προσφιλῶς αὐτῇ[2] δοκεῖ
γέρα τάδ' οὖν τάφοισι δέξασθαι[3] νέκυς,
ὑφ' ἧς θανὼν ἄτιμος ὥστε δυσμενὴς[4]
ἐμασχαλίσθη[5] κἀπὶ λουτροῖσιν[6] κάρα 445

λου, ὅλως. Τὸ δὲ τλήμων σημαίνει τολμηρά. Κατὰ τὸν Σχολιαστήν· «Εἰ μὴ τολμηροτάτη πασῶν ἐτύγχανεν, οὐκ ἂν ποτε ταῦτα ἔπραττεν ἐπὶ τιμῇ τοῦ πατρός, ὃν αὐτὴ ἀνεῖλεν».

1) Εἶναι ἐπέκτασις τῆς ἐτυμολογικῆς συντάξεως, στέφειν στέφη ἐπί τινι.

2) Ἡ δοτικὴ αὕτη ἀνήκει εἰς τὸ προσφιλῶς καὶ εἰς τὸ δέξασθαι κατὰ τὸν Schneidewin· ὁ Schneider ὅμως ἄλλως συντάσσει τὸ χωρίον· τὸ μὲν σοὶ ἀποδίδει εἰς τὸ δέξασθαι, τὸ δὲ αὐτῇ εἰς τὸ δοκεῖ καὶ ἐξάγει τήνδε τὴν ἔννοιαν· σκέψθητι, ἂν καὶ ἡ Κλυταιμνήστρα αὐτὴ δύναται νὰ πιστεύσῃ, ὅτι τὰ δῶρα αὐτῆς δύνανται νὰ ἦναι προσφιλῆ. Νομίζομεν, ὅτι ἡ πρώτη σύνταξις εἶναι πιθανωτέρα· διότι ἂν μὴ ἡ Κλυταιμνήστρα εἶχε τοιαύτην γνώμην, δὲν ἔπεμπε τὰ δῶρα. Ἄλλως ἦτο εἰρωνεία, περὶ ἧς ἐνταῦθα δὲν δύναται νὰ γείνῃ λόγος.

3) Εἰς μέλλοντα ἔτρεψεν ὁ Heath, ἀλλ' ἡ διόρθωσις μόνον ὑπό πάνυ ὀλίγων ἐγένετο δεκτή.

4) Τὸ ἐπίθετον κεῖται ἐν τῇ σημασίᾳ οὐσιαστικοῦ, ὡς ἐν Ἀντιγόν. 653 «πτύσας ὡσεί τε δυσμενῆ μέθες τὴν παῖδα» καὶ ἐν Αἴαντ. 564.

5) Ὁ Σχολιαστὴς ἐξηγεῖ οὕτωσί· «Εἰώθεσαν οἱ δρῶντες ἐμφύλιον φόνον ἀκρωτηριάζειν τοὺς ἀναιρεθέντας .... ὥσπερ τὴν δύναμιν ἐκείνων ἀφαιρούμενοι διὰ τὸ μὴ παθεῖν ἐς ὕστερόν τι δεινόν παρ' ἐκείνων. Ἐφόρουν δὲ εἰς τὰς μασχάλας τὰ ἄκρα, ὃ καὶ μασχαλισθῆναι ἔλεγον». Τὰ αὐτὰ περίπου παραδίδει καὶ ὁ Σχολιαστὴς Ἀπολλωνίου τοῦ Ῥοδίου 4, 477 «Ἐξάργματα τῶν ἀποθανόντων οἱ δολοφονοῦντες ἀρχαίως ἀκρωτηριάσματά τινα ἐποίουν τοῦ ἀναιρουμένου καὶ ταῦτα λαβόντες ἐξήρτων τοῦ τραχήλου αὐτῶν». Οἱ πλεῖστοι τῶν νεωτέρων ἑρμηνευτῶν δέχονται ὡς ἱκανὴν τὴν ἐξήγησιν ταύτην, ἀλλ' ὁ Schneider ἔχει ἄλλην ἑρμηνείαν. Κατὰ τοῦτον ἡ Κλυταιμνήστρα διὰ τῆς διατομῆς τῶν βραχιόνων, τῶν κυρίων ὀργάνων τῆς ἐνεργείας, ἠθέλησε νὰ ἐνδείξῃ, ὅτι ὁ Ἀγαμέμνων πρῶτος ἐπετέθη κατ' αὐτῆς καὶ ὅτι αὕτη ἠναγκάσθη νὰ λάβῃ τιμωρίαν. Τοιαύτην πονηρίαν οἱ δολοφόνοι ἐνίοτε ἐπιτηδεύονται, ἀλλ' ἡ Κλυταιμνήστρα λέγουσα τὴν αἰτίαν, δι' ἣν ἐφόνευσε τὸν ἄνδρα, δὲν αἰτιᾶται τοιαύτην ἐπίθεσιν. Ὅρα στίχ. 524.

6) Σημαίνει ἐπὶ καθάρσει τοῦ φόνου. Ὅρα. ὅτι τὸ ὑποκείμενον μετεβλήθη, ἐμασχαλίσθη (ὁ Ἀγαμέμνων), ἐξέμαξεν (ἡ Κλυταιμνήστρα). Ἔπρεπε νὰ θέσῃ ἐνταῦθα τὸ ἤ. Ἐν τοῖς χειρογράφοις εὑρηται κάρα (ὀνομαστική), ἀλλ' ἐν δ.σὶ εὑρηται δοτική, ἥτις ἀπὸ τοῦ Brunck ἐκράτησε παρὰ τοῖς ἐκδόταις. Ὁ Σχολιαστὴς ἐξηγεῖ τὸ χωρίον· «Ἐπεὶ εἰώθεσαν εἰς τὰς κεφαλὰς τῶν ἀναιρουμένων ἀπομάσσειν τὰ ξίφη, ὥσπερ ἀποτροπιαζόμενοι τὸ μύσος τὸ ἐν τῷ φόνῳ»· καὶ ὁ Εὐστάθιος εἰς Ὀδυσσ. Τ, 92 «καὶ ἔστιν εὑρεῖν τοιαύτην ἔννοιαν καὶ παρὰ τῷ Σοφοκλεῖ, ἔνθα φαίνεται ταῖς τῶν πεφονευμένων κεφαλαῖς ἐναπομάττεσθαι τὸ ἐν τοῖς ξίφεσιν αἷμα, ὡς εἰς κε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κηλῖδας ἐξέμαξεν. ἆρα μὴ δοκεῖς
λυτήρι' αὐτῇ ταῦτα τοῦ φόνου[1] φέρειν;
οὐκ ἔστιν. ἀλλὰ ταῦτα μὲν μέθες· σὺ δὲ[2]
τεμοῦσα κρατὸς βοστρύχων ἄκρας φόβας[3],
κἀμοῦ ταλαίνης, σμικρὰ μὲν τάδ'[4], ἀλλ' ὅμως 450
ἄχω, δὸς αὐτῷ, τήνδ' ἀλιπαρῆ[5] τρίχα
καὶ ζῶμα[6] τοὐμὸν οὐ χλιδαῖς ἠσκημένον.
αἰτοῦ δὲ προσπίτνουσα[7], γῆθεν εὐμενῆ
ἡμῖν ἀρωγὸν αὐτὸν εἰς ἐχθροὺς μολεῖν,
καὶ παῖδ' Ὀρέστην ἐξ ὑπερτέρας χερὸς[8] 455
ἐχθροῖσιν αὐτοῦ[9] ζῶντ' ἐπεμβῆναι ποδί,
ὅπως τὸ λοιπὸν αὐτὸν ἀφνεωτέραις
χερσὶ στέφωμεν ἢ τὰ νῦν δωρούμεθα.

φαλὴν δῆθεν ἐκείνοις τρεπόμενοι τοῦ κακοῦ».

1) Ἡ γενικὴ ἐξαρτᾶται ἐκ τοῦ λυτήρια. Ἐπειδὴ ἡ Ἠλέκτρα ἔθηκε τὴν ἔννοιαν ταύτην παρὰ τῇ ἠγουμένῃ, εἰκάζομεν, ὅτι σκοπεῖ νὰ ὑποδείξῃ, ὅτι καὶ αἱ θυσίαι αὗται ὁμοιάζουσι πρὸς τὴν κάθαρσιν τοῦ φόνου.

2) Ἐπειδὴ ὑποκείμενον εἶναι τὸ αὐτό, ἡ ἀντίθεσις δὲν πίπτει ἐπὶ τούτου· διότι ὁ ποιητὴς ἔπρεπε νὰ εἴπῃ, φόβας δὲ δός. Τοιαύτη σύνταξις ἁπαντᾷ ἤδη παρ' Ὁμήρῳ ἐν Ἰλιάδ. Κ, 237 «μηδὲ σὺ γ' αἰδόμενος σῇσι φρεσὶ τὸν μὲν ἄρειω καλλείπειν, σὺ δὲ χείρον' ὀπάσσεαι». Ὅρα καὶ Αἰσχύλ. ἐν Ἀγαμέμν. 1060.

3) Κατὰ τὸν θάνατον τῶν συγγενῶν ἦτο συνήθης ἡ ἐν χρῷ κουρά, ἐν ταῖς ἔπειτα ὅμως θυσίαις ἤρκει καὶ δέσμη τριχῶν.

4) Ταῦτα λέγουσα ἡ Ἠλέκτρα κόπτει τρίχας ἐκ τῆς κεφαλῆς καὶ λύει τὴν ζώνην.

5) Τὰ μὲν χειρόγραφα ἔχουσιν ἀλιπαρῆ, ὁ δὲ Εὐστάθιος καὶ ὁ Σουΐδας λιπαρῆ· «Ἀλιπαρῆ τρίχα· περιπαθῶς μὲν τὸ τῆς πενίας· τὸ δὲ ἀλιπαρῆ ἀντὶ τοῦ αὐχμηράν· ἐν δὲ τῷ ὑπομνήματι λιπαρῆ, ὅ ἐστιν, ἐξ ἧς αὐτὸν λιπαρήσομεν, ὡς εἰ ἔλεγεν ἱκέτιν τρίχα». Τὴν δευτέραν γραφὴν (λιπαρῆ) δέχεται ἐκ τῶν νεωτέρων ὁ Wolff λέγων, ὅτι ἡ θρὶξ ὡς θυσία ὑποστηρίζει τὴν εὐχήν. Ἀλλ' ὁ Hartung παρατηρεῖ, ὅτι δύναται μὲν νὰ ὀνομασθῇ λιπαρὴς χείρ, οὐχὶ δὲ καὶ λιπαρὴς θρίξ. Κατὰ τοῦτον πρέπει νὰ γραφῇ, τήν δεγ' ἀλίπαρον τρίχα.

6) Δίδωσι τὴν ζώνην ἀντὶ ταινίας, ὅπως διὰ ταύτης στέψῃ τὸν τάφον. Τὸ χλιδαῖς ἠσκημένον σημαίνει κεκοσμημένον

7) Ἐννοεῖται ἡ δοτικὴ τῷ τύμβῳ.

8) Ὁ Σχολιαστὴς ἐξηγεῖ· «Ἀντὶ ἰσχυροτέρας, μετὰ δυνάμεως μείζονος».

9) Δηλαδὴ τοῦ Ἀγαμέμνονος. Τὸ ζῶντα λέγεται ἐν ἀντιθέσει πρὸς τοὺς κτεινομένους ἐχθρούς, ὅπερ ὑποδεικνύει τὸ ἐπεμβῆναι ποδί.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἶμαι μὲν οὖν, οἶμαί τι κἀκείνῳ[1] μέλον
πέμψαι τάδ' αὐτῇ δυσπρόσοπτ'[2] ὀνείρατα·
ὅμως δ'[3], ἀδελφή, σοί θ' ὑπούργησον τάδε
ἐμοί τ' ἀρωγά, τῷ τε φιλτάτῳ βροτῶν
πάντων, ἐν Ἅιδου κειμένῳ κοινῷ πατρί.

ΧΟΡΟΣ.

πρὸς εὐσέβειαν[4] ἡ κόρη λέγει· σὺ δὲ
εἰ σωφρονήσεις, ὦ φίλη, δράσεις τάδε.

ΧΡΥΣΟΘΕΜΙΣ.

δράσω· τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον
δυοῖν[5] ἐρίζειν, ἀλλ' ἐπισπεύδειν τὸ δρᾶν.
πειρωμένη δὲ τῶνδε τῶν ἔργων ἐμοὶ
σιγὴ[6] παρ' ὑμῶν, πρὸς θεῶν, ἔστω, φίλαι.
ὡς εἰ τάδ' ἡ τεκοῦσα πεύσεται, πικρὰν
δοκῶ με[7] πεῖραν τήνδε τολμήσειν ἔτι.

[1]) Οὐ μόνον οἱ θεοί, ἀλλὰ καὶ ἐκεῖνος φροντίζει νὰ πέμψῃ ταῦτα τὰ ὀνείρατα. Εἰς τὸ μέλον ἐννοεῖται τὸ εἶναι, ἂν μὴ θεωρήσωμεν ὡς αἰτιατικὴν ἀπόλυτον.

[2]) Κατὰ τὸν Σχολιαστήν· « τὰ κακὴν ὄψιν ἔχοντα ὀνείρατα ».

[3]) Ἂν καὶ ὁ Ἀγαμέμνων αὐτὸς φροντίζει περὶ τιμωρίας, ὅμως καὶ σὺ ἔχεις καθήκοντα νὰ ὑπηρετήσῃς σαυτῇ, βοηθήσῃς τῇ ἀδελφῇ καὶ τῷ πατρί.

[4]) Κεῖται ἀντὶ ἐπιρρήματος, εὐσεβῶς.

[5]) Τὸ χωρίον τοῦτο παρέχει δυσκολίαν τοῖς ἑρμηνευταῖς καὶ κριτικοῖς, ἐξ ὧν ὁ ἀρχαῖος ἐκεῖνος Scaliger διώρθωσιν εἰς λόγοιν δυοῖν, ὅπερ ἐδέξατο καὶ ὁ Hartung, ὁ δὲ Nauck εἰς κλύοντ' ἐρίζειν, δηλ. οὐκ ἔχει λόγον ἐρίζειν τὸ δίκαιον κλύοντα καὶ ὁ Neue εἰς δύο ἐρίζειν. Ἡ τελευταία αὕτη διόρθωσις, ἥτις εἶναι ἡ ἁπλουστάτη, ἐγένετο κατὰ τὴν ἑρμηνείαν τοῦ Σχολιαστοῦ. « Οὐκ ἔχει λόγον τὸ φιλονεικεῖν πε τοῦ δικαίου, ὥστε περὶ αὐτοῦ δ ὄντας ἐρίζειν ». Ὁ Schneider ἐξ γεῖ ἄνευ δ.ορθώσεως οὕτωσί· τὸ φ λονεικεῖν περὶ τοῦ δικαίου πρὸς δ (τὴν Ἠλέκτραν καὶ τὸν ἡγήτορα τ χοροῦ) εἶναι ἀνόητον. Κατὰ τ Wolff ὅμως σημαίνει τὸ δίκαιο δὲν παρέχει ἀφορμὴν εἰς δύο νὰ φ λονεικῶσιν, ὅπερ φαίνεται πιθανώ τερον. Τὸ ἑπόμενον ἀπαρέμφατ κατὰ μὲν τὸν Schneider ἐξαρτᾶτ ἐκ τοῦ ἐννοουμένου ἔχει λόγον, κατ δὲ τὸν Scheidewin ἐννοητέον τ δεῖ.

[6]) Καὶ μετὰ τὴν γενναίαν ἀπό φασιν ἡ Χρυσόθεμις ἐξακολουθεῖ οὐσ περιδεής.

[7]) Ἐπὶ ταὐτοπροσωπίας ἔθη τὸ ὑποκείμενον τοῦ ἀπαρεμφάτου ὡς παρὰ Ξενοφῶντ. ἐν Ἀπομν. I 4, 8 « σαυτὸν δοκεῖς ἔχειν ». Κατ τὸν Σχολιαστήν· « Εἰ ἀκούσετα ταῦτα ἡ τεκοῦσα, ἀλγεινὴν νομίζω

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΧΟΡΟΣ.

Στροφή.

εἰ μὴ[1] ’γὼ παράφρων μάντις ἔφυν 472
καὶ γνώμας λειπομένα σοφᾶς,[2] 473
εἶσιν ἁ πρόμαντις[3] 475
Δίκα[4], δίκαια φερομένα χεροῖν κράτη· 476
μέτεισιν[5], ὦ τέκνον, οὐ μακροῦ χρόνου. 477
ὕπεστί[6] μοι θράσος,
ἀδυπνόων[7] κλύουσαν 480
ἀρτίως ὀνειράτων·
οὐ γάρ ποτ’ ἀμνηστεῖ γ’[8] ὁ φύσας
Ἑλλάνων ἄναξ,

εἰς τὸ ἐξῆς τολμήσειν ἐμὲ τήνδε τὴν πεῖραν». Τοιαύτην σημασίαν ἔχει τὸ ἔτι καὶ ἐν στίχ. 66. Μετὰ τοὺς λόγους τούτους ἡ μὲν Χρυσόθεμις λαβοῦσα τὰς τρίχας καὶ τὴν ζώνην τῆς ἀδελφῆς ἀπέρχεται, ἡ δὲ Ἠλέκτρα μένει ἐπὶ τῆς σκηνῆς.

1) Ἐν τῷ ἐνυπνίῳ τῆς Κλυταιμνήστρας ἡ Ἠλέκτρα ἐνεῖδεν ἀγαθόν τι, ὁ δὲ χορός, ὅστις ἐκπροσωπεῖ τὴν ὁμοσίαν γνώμην, ἐκ τοῦ αὐτοῦ μαντευόμενος παρακελεύεται τὴν ἡρωΐδα νὰ θαρρῇ.

2) Δὲν εἶναι ταὐτολογία, διότι ὁ μὲν μάντις προαισθάνεται δι’ ὑποβολῆς τοῦ θείου μὴ δυνάμενος νὰ εἴπῃ τὰς αἰτίας, ὁ δὲ σοφὸς κατὰ ταύτας εἰκάζει. Τοιοῦτον τὸ ἐν Οἰδίποδ. τυράνν. 1086 «εἴπερ ἐγὼ μάντις εἰμὶ καὶ κατὰ γνώμαν ἶδρις». Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Ἐστερημένη συνετοῦ νοῦ».

3) Ἡ Δίκη λέγεται πρόμαντις, διότι ἡ τοῦ χοροῦ μαντεία ἐπὶ τῆς ἀποκαλύψεως ταύτης στηρίζεται.

4) Ἦτο θυγάτηρ τοῦ Διὸς καὶ τῆς Θέμιδος, ἀλλὰ δὲν εἶχεν ἴδιον ἱερόν, ὡς ἡ Θέμις, ἡ Νέμεσις καὶ αἱ Ἐρινύες.

5) Κατὰ τὸν Σχολιαστήν· «Κολάσει οὐ διὰ μακροῦ χρόνου». Ἐννοεῖται ἡ αἰτιατικὴ τοὺς φονέας. Ἡ ἑπομένη γενικὴ δηλοῖ τὸν χρόνον, ἐν ᾧ γίνεταί τι, ὡς ἐν Οἰδίποδ. ἐπὶ Κολων. 397 «βαιοῦ κούχὶ μυρίου χρόνου».

6) Ἴσως διὰ τοῦ ἀσυνδέτου εἰκονίζει τὴν χαρὰν τοῦ χοροῦ.

7) Ὁ Τρικλίνιος ἐξηγεῖ εὐφραντῶν ἡμῖν. Ἡδύπνους; κυρίως εἶναι ἡ φωνὴ καὶ ἡ Μοῦσα, παρὰ Πινδάρ. ἐν Ἰσθμ. 13, 21. Τὴν μεταφορὰν προεκάλεσε τὸ κλύουσαν, ὡς ὀρθῶς παρατηρεῖ ὁ Wolff. Ὅρα, ὅτι ἐτέθη αἰτιατικὴ μετὰ προηγουμένην δοτικήν, ὡς ἐν Αἴαντ. 1006 «ποῖ μολεῖν μοι δυνατὸν ἀρήξαντα μηδαμοῦ;» Αἰσχύλ. ἐν Ἀγαμέμν. 1578 «καλὸν τὸ κατθανεῖν ἐμοὶ ἰδόντα».

8) Τοσοῦτον εἶνε βέβαιον, τοὐλάγιστον. Παρὰ τοῖς τραγικοῖς τὸ μὲν φύσας συχνάκις κεῖται ἀντὶ τοῦ πατρός, τὸ δὲ τεκοῦσα ἀντὶ τῆς μητρός. Ἴσως ὁ ποιητὴς εἶχεν ἐν νῷ τοὺς Ὁμηρικοὺς στίχους ἐν Ἰλιάδ. Α 81 «εἴ περ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ, ἀλλά τε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσῃ».

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐδ' ἀ παλαιὰ[1] χαλκόπληκτος
ἀμφήκης γένυς,[2] 485
ἅ νιν κατέπεφνεν αἰσχίσταις ἐν αἰκίαις. 486

Ἀντιστροφή.

ἦξει καὶ[3] πολύπους καὶ πολύχειρ 488
ἃ δεινοῖς κρυπτομένα λόχοις 489
χαλκόπους[4] Ἐρινύς.
ἄλεκτρ', ἄνυμφα γὰρ[5], ἐπέβα μιαιφόνων 492
γάμων ἀμιλλήματ'[6], οἷσιν οὐ θέμις. 493
πρὸ τῶνδέ[7] τοί μ' ἔχει

[1]) Λέγει τὴν γένυν παλαιάν, διότι ἡ πρᾶξις πάλαι ἐγένετο. Εὕρηται καὶ ἡ γραφὴ χαλκόπλακτος ἐν ἑνὶ χειρογράφῳ, ἥτις ὑπὸ τοῦ Dindorf καὶ Wunder προτιμᾶται. Χαλκόπληκτος λέγεται ἡ ἀπὸ χαλκοῦ ἠλασμένη, ἡ σφυρήλατος. Τοιοῦτον εἶναι καὶ τὸ χαλκόκροτον φάσγανον τοῦ Εὐριπίδου ἐν Φοινίσσ. 1577.

[2]) Εἶναι εἶδος πελέκεως. Ἀπὸ κοινοῦ ἐννοεῖται τὸ ἀμνηστεῖ. Οἱ ποιηταὶ οὐχὶ σπανίως ἀποδίδουσιν εἰς ἄψυχα ὄντα συνείδησιν. Ἡ ἐξήγησις τῆς στροφῆς εἶναι ἥδε· ἐὰν ἐγὼ δὲν ἐγεννήθην παράφρων μάντις καὶ σοφῆς διανοίας στερουμένη, θὰ ἔλθῃ ἡ προμαντεύουσα Δίκη, δικαίαν ὑπερίσχυσιν κρατοῦσα εἰς τὰς χεῖρας· θὰ τιμωρήσῃ, ὦ θύγατερ, τοὺς φονεῖς οὐχὶ μετὰ μακρὸν χρόνον. Ὑπεισέρχεταί μοι θάρρος, διότι πρὸ ὀλίγου ἤκουον εὐχάριστα ὄνειρα· διότι οὐδέποτε τοὐλάχιστον λησμονεῖ ὁ πατὴρ ὁ βασιλεὺς τῶν Ἑλλήνων, οὐδὲ ὁ παλαιὸς σφυρήλατος δίστομος πέλεκυς, ὅστις τοῦτον ἐφόνευσε δι' αἰσχροτάτων κτυπημάτων.

[3]) Ὁ πρῶτος καὶ δὲν ἐτέθη χάριν τοῦ δευτέρου, ἀλλὰ πρὸς δήλωσιν, ὅτι πλὴν τῆς Δίκης θέλει ἔλθει καὶ ἡ Ἐρινύς. Τὰ ἑπόμενα ἐπίθετα κεῖνται κατηγορηματικῶς. Διὰ τοῦ πολὺ ὑπαινίσσεται, ὅτι ὁ χορὸς περιμένει τὸν Ὀρέστην μετὰ στρατοῦ ἢ μετὰ στασιωτῶν. Ὅρα στίχ. 1458-63. Μεταγενέστερός τις Σχολιαστὴς ἐξηγεῖ τὸ μὲν πολύπους διὰ τοῦ πολλὰ διερχομένη, τὸ δὲ πολύχειρ διὰ τοῦ πολλὰ ἐργαζομένη.

[4]) Χαλκόπους λέγεται ἡ Ἐρινὺς ἕνεκα τοῦ στερεοῦ βήματος πρὸς τιμωρίαν. Κατὰ τὸν Σχολιαστήν· « Ἡ στερεὰ καὶ ἀκοπίαστος ἐν τῷ ἐπιέναι κατὰ τῶν φονέων ».

[5]) Ἡ μετάθεσις τοῦ γὰρ εὕρηται καὶ ἐν Φιλοκτήτ. 1450 « καιρὸς καὶ πλοῦς ὅδ' ἐπείγει γάρ ».

[6]) Τὸ ἄλεκτρα καὶ ἄνυμφα συντακτικῶς μόνον ἀνήκουσιν εἰς τὰ ἀμιλλήματα, δηλ. δύσλεκτροι καὶ κακόνυμφοι σπουδαὶ ἢ ἐπιθυμίαι γάμων ἦλθον εἰς τούτους (τὸν Αἴγισθον καὶ τὴν Κλυταιμνήστραν), εἰς τοὺς ὁποίους δὲν ἦτο ἐπιτετραμμένον. Τοιοῦτον καὶ τὸ παρ' Εὐριπίδ. ἐν Ἱππολύτ. 1139 « νυμφιδία δ' ἀπόλωλε φυγᾷ σᾷ λέκτρων ἄμιλλα κούραις ». Ἀντὶ τοῦ ἀμιλλήματ' ὁ Miesgrave γράφει ὁμιλήματ', ὅπερ δικαίως ἀποδοκιμάζεται ὑπὸ τῶν κριτικῶν.

[7]) Κατὰ τὸν Dindorf οὐδεμίαν ἄλλην σημασίαν δύναται νὰ ἔχῃ ἢ τὴν τοῦ ἐκ τοῦδε, διὰ τοῦτο.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[θάρσος] †,[1] μήποθ' ἡμῖν
ἀψεγὲς πελᾶν τέρας
τοῖς ὁρῶσι καὶ συνδρῶσιν[2]. ἦ τοι
μαντεῖαι βροτῶν
οὐκ εἰσὶν ἐν δεινοῖς ὀνείροις 500
οὐδ' ἐν θεσφάτοις,[3]
εἰ μὴ τόδε φάσμα νυκτὸς εὖ κατασχήσει[4]. 502

Ἐπῳδός.

ὦ Πέλοπος ἀ[5] πρόσθεν
πολύπονος ἱππεία,

[1]) Τὸ χωρίον τοῦτο ὑπὸ πάντων ὁμολογεῖται ὡς διεφθαρμένον. Ἐπειδὴ δὲ ὁ Σχολιαστὴς παρατηρεῖ· «Λείπει τὸ ἐλπὶς ἡ θάρσος με ἔχει» καὶ ἐπειδὴ τὸ μέτρον δεικνύει, ὅτι ὑπάρχει κενόν, ὑπό τινων κριτικῶν προστίθεται ἡ λέξις θάρσος. Πρὸς δὲ παντοειδεῖς διορθώσεις ἐπενοήθησαν, π. χ. ὁ Martin προτείνει, μή ποθ' ἡκειν ἀψεγὲς μέλαν τέρας, ὁ δὲ Nauck, ἡμῖν μαφεπὲς πελᾶν τέρας καὶ ὁ Bergk καὶ ὁ Dindorf τὸ ἀψεγὲς τρέπουσιν εἰς ἀψεφὲς κατὰ τὸ παρ' Ἡσυχίῳ· «ἀψεφές· ἀφρόντιστον. Σοφοκλῆς Φαίδρᾳ» καὶ ἐν τοῖς ἀνεκδότοις τοῦ Bekker «ἀψεφές· ἀφρόντιστον. Σοφοκλῆς». Ὁ δὲ Schneider στηριζόμενος ἐπί τινος χειρογράφου πειρᾶται νὰ θεραπεύσῃ τὸ χωρίον διὰ τῆς στίξεως, δηλ. τίθησι τελείαν στιγμὴν μετὰ τὴν λέξιν τέρας καὶ τὰς ἑπομένας δοτικὰς συνάπτει μετὰ τῆς ἑπομένης προτάσεως. Ἀλλ' αἱ διορθώσεις, ὡς παρατηρεῖ καὶ ὁ Held, εἶναι τολμηραὶ καὶ πρέπει νὰ ἐμμείνωμεν ἐν τοῖς χειρογράφοις. Κατὰ τοῦτον τὸ ἡμῖν πρέπει νὰ συνάψωμεν μετὰ τοῦ πελᾶν (ὅπερ εἶναι μέλλοντος χρόνου) καὶ τὸ ἀψεγὲς μετὰ τῶν δοτικῶν τοῖς ὁρῶσι καὶ συνδρῶσιν. Οὕτως ἡ πρότασις ἔχει γενικὴν σημασίαν, δηλ. θαρρῶ, ὅτι οὐδέποτε θὰ πλησιάσῃ εἰς ἡμᾶς σημεῖον ἀψεγές, δηλ. διὰ τὸ ὁποῖον θὰ ἦναι εὐχαριστημένοι, θὰ χαρῶσιν οἱ ὁρῶντες καὶ οἱ συνδρῶντες.

[2]) Ἐννοεῖ τὸν Αἴγισθον καὶ τὴν Κλυταιμνήστραν.

[3]) Θέσφατα εἶναι οἱ χρησμοί. Παραπλήσιον λέγει ἐν Οἰδίποδ. τυράνν. 897 «οὐκ ἔτι τὸν ἄθικτον εἶμι γᾶς ἐπ' ὀμφαλὸν σέβων, οὐδ' ἐς τὸν Ἀβαῖσι ναόν, εἰ μὴ τάδε χειρόδεικτα πᾶσιν ἁρμόσει βροτοῖς».

[4]) Κατὰ τὸν Musgrave ἡ μεταφορὰ ἐλήφθη ἐκ τῶν πλοίων, περὶ ὧν λέγεται, ὅταν προσορμίζωνται, ἐν Φιλοκτήτ. 220 καὶ 270. Ἡ ἐξήγησις τῆς ἀντιστροφῆς εἶναι ἥδε· Θὰ ἔλθῃ καὶ ἡ ἄκαμπτος Ἐρινὺς ἡ κρυπτομένη ἐν φοβεραῖς ἐνέδραις μὲ πολλοὺς πόδας καὶ πολλὰς χεῖρας· διότι κακολέκτρων καὶ κακονύμφων φονικῶν γάμων ἐπιθυμίαι ἐπῆλθον εἰς ἐκείνους, εἰς τοὺς ὁποίους δὲν ἦτο ἐπιτετραμμένον. Διὰ τοῦτο ἔχω θάρρος, ὅτι δὲν θὰ μᾶς πλησιάσῃ κανὲν σημεῖον, τὸ ὁποῖον θὰ ἦναι εὐχάριστον διὰ τοὺς πράττοντας καὶ τοὺς βοηθοὺς αὐτῶν. Ἡ βεβαίως μαντεῖαι τῶν θνητῶν δὲν ὑπάρχουσιν ἐν τοῖς φοβεροῖς ὀνείροις οὐδὲ ἐν τοῖς χρησμοῖς, ἂν τοῦτο τὸ σημεῖον τῆς νυκτὸς δὲν ἐπαληθεύσῃ.

[5]) Ἡ σύνταξις ἔχει οὕτως· ὦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὡς ἔμολες αἰανὴς[1] τᾷδε γᾷ.
εὖτε γὰρ ὁ ποντισθεὶς
Μυρτίλος ἐκοιμάθη[2],
παγχρύσων δίφρων[3]
δυστάνοις[4] αἰκίαις
πρόρριζος[5] ἐκριφθείς, οὔ τί πω
ἔλειπεν ἐκ τοῦδ'[6] οἴκου
πολύπονος[7] αἰκία.

πολύπονος ἱππεία Πέλοπος ἁ πρόσθεν. Κατὰ τὸν Σχολιαστήν· « Ἱππασία παρὰ τοῖς ποιηταῖς ». Ὅρα, ὅτι ἔθηκεν ἔναρθρον προσδιορισμὸν εἰς τὴν κλητικήν. Ἡ ἐπισώρευσις τῶν πολλῶν π ἐξαίρει τὸ φοβερόν. Λέγεται δὲ ἡ ἱππεία πολύπονος, διότι ἐγένετο ἀφορμὴ πολλῶν πόνων καὶ δὴ ὁ Μυρτίλος ἐρρίφθη εἰς τὴν θάλασσαν ὑπὸ τοῦ Πέλοπος, Παυσαν. VIII, 14. 7 « Ἱπποδαμείας δὲ ἦρα μὲν καὶ αὐτὸς ὁ Μυρτίλος, ἐς δὲ τὸν ἀγῶνα ἀτόλμως ἔχων ὑπεῖκε, καὶ ἡνιόχει τῷ Οἰνομάῳ. Τέλος δὲ καὶ ἀναφανῆναι τοῦ Οἰνομάου προδότην φασὶν αὐτὸν ὑπαχθέντα ὅρκοις, ὡς οἱ νύκτα ὁ Πέλοψ μίαν Ἱπποδαμείᾳ συγγενέσθαι παρήσει. Ἀναμιμνήσκοντα οὖν τῶν ὅρκων ὁ Πέλοψ ἐξέβαλεν ἐκ τῆς νεώς. Φενεάται δὲ τοῦ Μυρτίλου τὸν νεκρὸν ἐκβληθέντα ὑπὸ τοῦ κλύδωνος λέγουσιν ἀνελόμενοι θάψαι, καὶ νύκτωρ κατὰ ἔτος ἐναγίζουσιν αὐτῷ ». Ὁ Σχολιαστὴς ὅμως παραπέμπων εἰς τὸν Φερεκύδην λέγει ἄλλην αἰτίαν τοῦ θανάτου τοῦ Μυρτίλου· «καὶ» ὁδὸν δὲ καταλαβὼν αὐτὸν προϊόντα πρὸς τὸ φιλῆσαι αὐτὴν ἔρριψεν εἰς θάλασσαν ». Παράβαλλ. καὶ Διόδωρ. Σικελ. 4, 73 καὶ Εὐριπίδ. ἐν Ὀρέστ. 981. Ὁ Μυρτίλος θνήσκων ἠράσατο κατὰ τοῦ Πέλοπος καὶ τοῦ γένους αὐτοῦ.

1) Ὀδυνηρά, λύπης πρόξενος. Τινὲς τῶν ἐκδοτῶν προτιμῶσι τὸν τύπον αἰανή.

2) Κατ' εὐφημισμὸν ἀντὶ ἔθανεν. Ὁ Σχολιαστὴς παρατηρεῖ· « Ἀφ' οὗ ὁ Μυρτίλος ἀπέθανεν, οὐ διέλιπεν αἰκία τοὺς πολυκτήμονας δόμους. Ὁ γὰρ Ἑρμῆς, πατὴρ Μυρτίλου, ἐμήνισε τοῖς Πελοπίδαις ».

3) Ἡ γενικὴ ἐξαρτᾶται ἐκ τοῦ ἐκριφθείς.

4) Χάριν τοῦ μέτρου ὁ Nauck γράφει δύστανος.

5) Ἡ μεταφορὰ ἐλήφθη ἐκ τῶν φυτῶν. Διὰ τοῦ θανάτου τοῦ Μυρτίλου ἀπεμαράνθη ὁλόκληρον τὸ γένος αὐτοῦ.

6) Ὅσοι δέχονται τὴν ἑπομένην λέξιν ὡς αἰτιατικὴν (οἶκους), οὗτοι θεωροῦσι τὸ ἐκ τοῦδε ὡς δεικτικὸν τοῦ εὐτε.

7) Ὁ μὲν Bothe ἔτρεψεν εἰς πολυπήμονας, ὁ δὲ Bergk εἰς πολυπάμονας κατὰ τὴν ἐξήγησιν τοῦ Σχολιαστοῦ· « τοὺς πολυκτήμονας δόμους ». Ὦ πολλὰς ταλαιπωρίας ἔχουσα ἱπποδρομία τοῦ Πέλοπος ἡ παλαιά, πόσον ὀδυνηρὰ ἦλθες εἰς ταύτην τὴν χώραν. Διότι ἀφ' ὅτου ὁ εἰς τὴν θάλασσαν πνιγεὶς Μυρτίλος ἀπέθανεν ἐκ τῶν ὁλοχρύσων ὀχημάτων μὲ ἐλεεινὰς ὕβρεις ὅλως ῥιφθείς, ἀκόμη κατά τι δὲν ἔλειψεν ἐκ τούτου τοῦ οἴκου ἡ πολύμοχθος δυστυχία.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἀνειμένη[1] μέν, ὡς ἔοικας, αὖ στρέφει·
οὐ γὰρ πάρεστ' Αἴγισθος, ὃς σ' ἐπεῖχ'[2] ἀεὶ
μή τοι θυραίαν γ' οὖσαν αἰσχύνειν[3] φίλους·
νῦν δ'[4], ὡς ἄπεστ' ἐκεῖνος, οὐδὲν ἐντρέπει
ἐμοῦ γε. καίτοι[5] πολλὰ πρὸς πολλοὺς με δὴ
ἐξεῖπας[6], ὡς θρασεῖα καὶ πέρα δίκης
ἄρχω, καθυβρίζουσα καὶ σὲ καὶ τὰ σά.
ἐγὼ δ' ὕβριν μὲν οὐκ ἔχω[7], κακῶς δέ σε
λέγω[8] κακῶς κλύουσα πρὸς σέθεν θαμά.
πατὴρ γάρ, οὐδὲν ἄλλο, σοὶ πρόσχημ.[9] ἀεί,
ὡς ἐξ ἐμοῦ τέθνηκεν[10]. ἐξ ἐμοῦ ; καλῶς
ἔξοιδα· τῶνδ' ἄρνησις οὐκ ἔνεστί μοι[11].
ἡ γὰρ Δίκη[12] νιν εἶλεν, οὐκ ἐγὼ μόνη·

1) Ἡ Κλυταιμνήστρα ἐξέρχεται διὰ τῆς μέσης θύρας μετὰ θεραπαινίδος φερούσης κανοῦν, ὅπερ περιέχει καρπούς πρὸς θυσίαν, στίχ. 634. Τί ἐννοεῖ διὰ τοῦ ἀνειμένη, ἐξηγεῖ διὰ τῶν δύο ἑπομένων στίχων. Παραπλήσια λέγει ὁ Κρέων περὶ τῆς Ἀντιγόνης καὶ τῆς Ἰσμήνης ἐν Ἀντιγόν. 578 «ἐκ δὲ τοῦδε χρὴ γυναῖκας εἶναι τάσδε μηδ' ἀνειμένας».

2) Σ' ἐκράτει ἐντός, δέν σοι ἐπέτρεπε νὰ ἐξέλθῃς.

3) Ὀρθῶς ὁ Σχολιαστὴς ἐξηγεῖ· «Καθ' ἡμῶν λέγειν». Φίλοι εἶναι οἱ προσήκοντες, οἵτινες νῦν διάκεινται ἐχθρικῶς, ὡς παρ' Αἰσχύλ. ἐν Ἑπτα ἐπὶ Θήβ. 946 «πρὸς φίλου ἔρθισο καὶ φίλον ἔκτανες».

4) Ἐπαναλαμβάνει κατ' ἄλλον τύπον τὴν αὐτὴν ἔννοιαν, ἣν εἶπε καὶ ἐν στιχ. 517, ὡς καὶ ἐν Τραχιν. 431 «ὡς ταύτης πόθῳ πόλις ὁμοίως, κοὐχ ἡ Λυδία πέρσειεν, ἀλλ' ὁ τῆσδ' ἔρως φανείς».

5) Καὶ ὅμως διὰ τί θαυμάζω διὰ τοῦτο ; Σὺ πολλάκις ἔπραξας τοῦτο. Κατὰ τὸν Dindorf τὸ πολλὰ δὴ κεῖται ἀντὶ τοῦ πολλάκις δή, ὡς ἐν στίχ. 603.

6) Εἶναι ἐντονώτερον τοῦ ἁπλοῦ, διότι δηλοῖ, ὅτι ἐξήνεγκε λόγους, ὅπως διαδοθῶσιν.

7) Κατὰ τὸν Σχολιαστήν· «Οὐχ ὑβρίζω, ἤ, οὐχ ὑβριστικὴ πέφυκα».

8) Τοῦτο εἶναι γενικὸς κανὼν κατὰ τὸ ὁμηρικὸν ἐν Ἰλιάδ. Υ. 250 «ὁπποτ' ἐγὼν κ' εἴπῃσθα ἔπος, τοτὲ κ' ἐπακούσαις» καὶ ἐν Οἰδίποδ. τυράνν. 408 «ἐξισωτέον τὰ ἴσ' ἀντιλέξαι».

9) Δηλαδὴ τοῦ κακῶς λέγειν ἐμέ.

10) Εἶναι ἐπεξηγηματικὴ προσθήκη. Κατὰ τὸν Σχολιαστήν· «Ἴδιον ῥητορικῆς τόλμης τὸ μὴ ἀρνεῖσθαι μέν, πιθανὴν δὲ τῶν δεδραμένων ἐπεισφέρειν αἰτίαν, οὐχ ὡς δίκαια δὲ πραττούσης συνηγορεῖ ὁ ποιητής, ἀλλ' ἵνα μὴ ἀργὸν εἴη τὸ πρόσωπον».

11) Τὴν αὐτὴν ἔννοιαν δηλοῖ καὶ ἀρνητικῶς, ὡς ἐν στίχ. 431.

12) Ἡ Κλυταιμνήστρα πειρᾶται νὰ εἰκονίσῃ ἑαυτὴν ὡς ὄργανον τῆς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἦ[1] χρῆν σ' ἀρήγειν, εἰ φρονοῦσ' ἐτύγχανες,
ἐπεὶ πατὴρ οὗτος σός[2], ὃν θρηνεῖς ἀεί,
τὴν σὴν ὅμαιμον[3] μοῦνος Ἑλλήνων ἔτλη
θῦσαι θεοῖσιν· οὐκ ἴσον καμὼν ἐμοὶ
λύπης[4], ὅτ' ἔσπειρ', ὥσπερ ἡ τίκτουσ' ἐγώ[5].
εἶεν[6]· δίδαξον δή με, τοῦ χάριν τίνων[7]
ἔθυσεν αὐτήν; πότερον Ἀργείων ἐρεῖς;
ἀλλ' οὐ μετῆν αὐτοῖσι τήν γ' ἐμὴν κτανεῖν[8].
ἀλλ'[9] ἀντ' ἀδελφοῦ δῆτα Μενέλεω κτανὼν
τἄμ', οὐκ ἔμελλε τῶνδέ[10] μοι δώσειν δίκην;
πότερον ἐκείνῳ παῖδες οὐκ ἦσαν δίπλοι[11],

δικαιοσύνης, καὶ παρ' Αἰσχύλῳ ἐν Χοηφ. 910. Καὶ ὁ Ἀγαμέμνων λέγει ἐν Ἰλιάδ. Τ. 86 «ἐγὼ δ' οὐκ αἴτιός εἰμι, ἀλλὰ Ζεὺς καὶ Μοῖρα καὶ ἠεροφοῖτις Ἐρινύς».

1) Ὁ μὲν Schneidewin ἀναφέρει εἰς τὴν Δίκην, ὁ δὲ Schneider εἰς τὸ ἐγώ, ὅπερ εἶναι πλησιέστερον.

2) Εἰς σὸς οὗτος μετέβαλεν ὁ Erfurdt. ᾧ ἠκολούθησε καὶ ὁ Dindorf. Ἡ θέσις αὕτη τῶν λέξεων φαίνεται προτιμοτέρα.

3) Δὲν λέγει τὴν ἐμὴν θυγατέρα, ὅπως ὑποδείξῃ τὸ καθῆκον, ὅπερ εἶχεν ἡ Ἠλέκτρα ὡς ἀδελφή. Καὶ ὁ Σοφοκλῆς καὶ ὁ Αἰσχύλος δέχονται, ὅτι ὄντως προσηνέχθη θῦμα ἡ Ἰφιγένεια, Αἰσχύλ. ἐν Ἀγαμέμνον. 1525 «ἀλλ' ἐμὸν ἐκ τοῦδ' ἔρνος ἀερθέν, τὴν πολυκλαύτην Ἰφιγένειαν, ἄξια δράσας ἄξια πάσχων, μηδὲν ἐν Ἄιδου μεγαλαυχείτω ξιφοδηλήτῳ θανάτῳ τίσας ἅπερ ἦρξεν».

4) Ἐξαρτᾶται ἐκ τοῦ ἴσον. Εἶπε δὲ κάμνειν λύπην, ὡς λύπην λυπεῖσθαι.

5) Δηλαδὴ ὥσπερ ἐγώ, ὅτ' ἔτικτον. Ἔθηκε τὴν πρότασιν ταύτην, ὅπως ποιήσῃ ἀντίθεσιν πρὸς τὸ ἔσπειρε. Φαίνεται παράδοξον, ὅτι γυνὴ καί μάλιστα πρὸς παρθένον λέγει τοιαῦτα, ἀλλ' οἱ ἀρχαῖοι εἶχον μεῖζονα ἐλευθερίαν πρὸς δήλωσιν τοιούτων σχέσεων.

6) Κατὰ τὸν Σουΐδαν· «Εἶεν, συγκατάθεσις μὲν τῶν εἰρημένων, συναφὴ δὲ πρὸς τὰ μέλλοντα».

7) Εὕρηται καὶ ἡ γραφὴ τίνος, ἣν ἀκολουθεῖ ὁ Schneider καὶ ὁ Jahn. Ὀρθῶς δὲ παρατηρεῖ ὁ Σχολιαστής· «Ἤγουν τίνος χάριν ἀποδιδοὺς ἔθυσίασεν; τοῦτο δηλοῖ τὸ τίνων, ἤγουν ἀποδιδούς. Ἔστι δὲ μετοχὴ καὶ οὐ γενικὴ πληθυντική».

8) Δηλαδὴ οὐ μετῆν αὐτοῖς τῆς ἐμῆς, (ὥστε) αὐτὴν κτανεῖν. Σημειωτέον, ὅτι ὁ Nauck τὴν φράσιν οὐ μετῆν θεωρεῖ ὡς ἡμαρτημένην· διότι ἐκ τοῦ μετέχειν δὲν ἔπεται τὸ δικαίωμα τοῦ φονεύειν. Διὰ τοῦτο εἰκάζει, ἀλλ' οὐ μεθῆκ' αὐτοῖσι.

9) Κατὰ τὸν Schneidewin περιεμένομεν τὸν λόγον οὕτως· ἦ ἀντ' ἀδελφοῦ κτανεῖν ἐρεῖς; ἀλλὰ τῶνδ' ἔμελλέ μοι δώσειν δίκην.

10) Δὲν ἀποδίδοται εἰς τὰ ἐμά, ἀλλ' εἰς ὁλόκληρον τὴν πρότασιν.

11) Οἱ τραγικοὶ καὶ οἱ λυρικοὶ μεταχειρίζονται τὰ διπλοῦς καὶ δισ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὓς τῇσδε[1] μᾶλλον εἰκὸς ἦν θνήσκειν, πατρὸς
καὶ μητρὸς ὄντας, ἧς[2] ὁ πλοῦς ὅδ' ἦν χάριν,
ἢ τῶν ἐμῶν Ἄιδης τιν' ἵμερον τέκνων
ἢ[3] τῶν ἐκείνης ἔσχε δαίσασθαι πλέον;
ἢ τῷ πανώλει πατρὶ τῶν μὲν ἐξ ἐμοῦ
παίδων πόθος παρεῖτο[4], Μενέλεω δ' ἐνῆν;
οὐ ταῦτ' ἀβούλου καὶ κακοῦ γνώμην πατρός;
δοκῶ μέν, εἰ καὶ σῆς δίχα γνώμης λέγω,
φαίη δ' ἂν ἡ θανοῦσά[5] γ', εἰ φωνὴν λάβοι.
ἐγὼ μὲν οὖν οὐκ εἰμὶ τοῖς πεπραγμένοις
δύσθυμος· εἰ δὲ σοὶ δοκῶ φρονεῖν κακῶς,
γνώμην δικαίαν σχοῦσα[6] τοὺς πέλας ψέγε.

ΗΛΕΚΤΡΑ.

ἐρεῖς μὲν οὐχὶ νῦν γέ[7] μ', ὡς ἄρξασά τι

σὸς ἀντὶ ἁπλῶν ἀριθμητικῶν. Καθ' Ὅμηρον ἐν Ἰλιάδ. Γ, 175 καὶ ἐν Ὀδυσσ. Δ, 12 ὁ Μενέλαος καὶ ἡ Ἑλένη εἶχον μονογενῆ θυγατέρα. Ἀλλ' ὁ ὁμηρικώτατος Σοφοκλῆς ἠκολούθησε τῷ Ἡσιόδῳ· διότι ἡ Κλυταιμνήστρα ἔπρεπε νὰ ἀποφύγῃ τὴν ἀντίρρησιν, ὅτι οὗτοι δὲν ἠδύναντο νὰ θυσιάσωσι τὸ μόνον τέκνον. Ὁ Ἡσίοδος ἐν Ἀποσπάσμ. 131 λέγει· «ἣ τέκεθ' Ἑρμιόνην δουρικλειτῷ Μενελάῳ, ὁπλότατον δ' ἔτεκεν Νικόστρατον, ὄζον Ἄρηος». Καὶ κατὰ τὸν μῦθον τοῦ Κιναίθωνος ὁ Μενέλαος καὶ ἡ Ἑλένη εἶχον δύο τέκνα, τὸν Νικόστρατον καὶ τὴν Αἰθιόλαν.

1) Δηλαδὴ τῆς Ἰφιγενείας.

2) Ἀναφέρεται εἰς τὸ πλησιέστερον ἀντὶ ὧν.

3) Ἐξαρτᾶται ἐκ τοῦ ἑπομένου πλέον. Κατὰ τὸν Σχολιαστήν· «Ἢ τῶν ἐμῶν τέκνων ἔσχεν ὁ Ἄιδης τινὰ ἐπιθυμίαν, ὥστε δαίσασθαι, ἀντὶ τοῦ εὐωχηθῆναι, πλέον, παρὰ τῷ ἐκείνης;» Παραπλησία φράσις ὑπάρχει παρ' Ὁμήρῳ, ἐν Ἰλιάδ. Ε, 289 «ἢ ἕτερόν γε πεσόντα αἵματος ἆσαι Ἄρηα».

4) Ὁ Σχολιαστὴς ἐξηγεῖ· «Ἠμελεῖτο, παρεωρᾶτο». Ἡ ἑπομένη γενικὴ ἤθελεν εἶναι πλήρης, Μενέλεω δὲ παίδων. Κακίζει τὸν Ἀγαμέμνονα ἡ Κλυταιμνήστρα, ὅτι μᾶλλον ἐφρόντιζε περὶ τῶν τέκνων τοῦ Μενελάου ἢ περὶ τῶν ἑαυτῆς.

5) Ἐννοεῖ τὴν Ἰφιγένειαν, ἣν θεωρεῖ ὡς θανοῦσαν καὶ οὐχὶ ὡς ἁρπαγεῖσαν ὑπὸ τῆς Ἀρτέμιδος. Παραπλήσια λέγονται παρ' Αἰσχύλ. ἐν Ἀγαμέμν. 37 «οἶκος, εἰ φθογγὴν λάβοι, σαφέστατ' ἂν λέξειεν» καὶ Σοφοκλ. ἐν Ἀντιγόν. 515.

6) Τὸ γνώμην δικαίαν σχοῦσα δηλοῖ τὴν κυρίαν ἔννοιαν τῆς προτάσεως. Ὁ ἀόριστος δεικνύει, ὅτι τὸ ἔχειν προηγεῖται τοῦ ψέγειν.

7) Λέγει τοῦτο ἡ Ἠλέκτρα ἐν σχέσει πρὸς τὸν λόγον τῆς μητρός, ὅτι ὑβριζομένη ὑβρίζει ἐν στίχ. 523.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λυπηρόν, εἶτα σοῦ τάδ' ἐξήκουσ' ὕπο[1]·
ἀλλ' ἦν ἐφῇς[2] μοι, τοῦ τεθνηκότος θ' ὕπερ
λέξαιμ' ἂν ὀρθῶς τῆς κασιγνήτης θ' ὁμοῦ. 555

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

καὶ μὴν ἐφίημ'· εἰ δέ μ'[3] ὧδ' ἀεὶ λόγους
ἐξῆρχες, οὐκ ἂν ἦσθα λυπηρὰ κλύειν[4].

ΗΛΕΚΤΡΑ.

καὶ δὴ λέγω σοι. πατέρα φῄς κτεῖναι[5]· τίς ἂν
τούτου λόγος γένοιτ' ἂν αἰσχίων ἔτι,
εἴτ' οὖν δικαίως εἴτε[6] μή; λέξω δέ σοι, 560
ὡς οὐ δίκῃ γ'[7] ἔκτεινας, ἀλλά σ' ἔσπασεν[8]
πειθὼ κακοῦ πρὸς ἀνδρός, ᾧ τὰ νῦν ξύνει.
ἐροῦ δὲ τὴν κυναγὸν[9] Ἄρτεμιν, τίνος
ποινὰς[10] τὰ πολλὰ πνεύματ' ἔσχ' ἐν Αὐλίδι·

1) Τὸ ἀκούειν συνετάχθη πρὸς γενικὴν μετὰ τῆς ὑπό, διότι κεῖται ἐν τῇ σημασίᾳ παθητικοῦ ῥήματος, ὡς ἐν Αἴαντ 1235 «ταῦτ' οὐκ ἀκούειν μεγάλα πρὸς δούλων κακά;»

2) Τὸ ἐφίημι ἐνταῦθα σημαίνει ἐπιτρέπω, ὡς καὶ ἐν στιχ. 631. Ἔπειθε καὶ ὁ Ἀγαμέμνων καὶ ἡ Ἰφιγένεια ἦσαν τέθνηκότες (αὕτη ἐθεωρεῖτο τοὐλάχιστον τεθνηκυῖα), ἔπρεπε νὰ εἴπῃ πατρός τε· διοτι δὲν εἶναι ὁ μὲν νεκρός, ἡ δὲ ζῶσα.

3) Δὲν εἶνε δοτική, ἀλλ' αἰτιατικὴ ὡς παρ' Εὐριπίδ. ἐν Τρῳάς. 148 «μολπάν, οἵαν ἔξῆρχον θεούς».

4) Ἔτρεψε τὴν ἀπρόσωπον σύνταξιν εἰς προσωπικὴν ἀντί, οὐκ ἂν ἦν λυπηρὸν κλύειν σου.

5) Ἡ Ἠλέκτρα ἄρχεται ἀνασκευάζουσα τὴν μητέρα ῥητορικῶς, ὡς ὁ Σχολιαστὴς παρατηρεῖ· «Ὡς ῥήτωρ διεῖλεν εἰς κεφάλαια τὸν λόγον· Καὶ πρῶτον κεφάλαιον, ὅτι οὐδὲν χαλεπώτερον τούτου, εἴ γε δικαίως (δηλ. ἔκτεινε)· δεύτερον, ὅτι οὐ δικαίως, ἀλλὰ πεισθεῖσα Αἰγίσθῳ· δείκνυσι δέ, ὅτι ἀκουσίως ὁ Ἀγαμέμνων ἔθυσε τὴν Ἰφιγένειαν ἐν τῇ Αὐλίδι».

6) Διὰ τοῦ εἴτε-εἴτε δηλοῖ τὴν ἀδιαφορίαν τοῦ λέγοντος.

7) Ἀνασκευάζει τὴν φράσιν τῆς μητρὸς ἐν στίχ. 528. «Ἡ γὰρ Δίκη νιν εἶλεν».

8) Εἵλκυσεν, ἔσυρεν.

9) Οἱ τραγικοὶ ἔχουσι τὰς λέξεις τὰ; ἐκ τοῦ ἄγω παραγομένοις μετὰ τοῦ α μακροῦ πλὴν τοῦ κυνηγέτης, ἀρχηγὸς καὶ στρατηγὸς καὶ τῶν τούτων παραγώγων.

10) Συνετάχθη πρὸς γενικήν, ὡς τὸ τίνος χάριν; σημαίνει δέ, τί ἐκδικήσουσα; Μετεχειρίσθη τὸ ἄρθρον ἐν τῇ ἑπομένῃ φράσει πρὸς δήλωσιν, ὅτι δὲν ἔπνεον οἱ συνήθεις ἄνεμοι. Τὸ δὲ ἔσχε σημαίνει κατέσχε, ὡς γίνεται δῆλον καὶ ἐκ τοῦ Εὐριπίδ. ἐν Ἰφιγεν. ἐν Αὐλίδ. 350 «Ὡς ἐς Αὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἢ 'γὼ φράσω· κείνης γὰρ οὐ θέμις μαθεῖν. 565
πατήρ ποθ' οὑμός, ὡς ἐγὼ κλύω, θεᾶς
παίζων[1] κατ' ἄλσος ἐξεκίνησεν ποδοῖν
στικτὸν κεράστην[2] ἔλαφον, οὗ κατὰ σφαγὰς
ἐκκομπάσας[3] ἔπος τι τυγχάνει βαλών.
κἀκ τοῦδε μηνίσασα Λητῴα κόρη 570
κατεῖχ' Ἀχαιούς, ὡς πατὴρ ἀντίσταθμον
τοῦ θηρὸς ἐκθύσειε[4] τὴν αὑτοῦ κόρην.
ὧδ' ἦν τὰ κείνης θύματ'[5]· οὐ γὰρ ἦν λύσις
ἄλλη στρατῷ πρὸς οἶκον οὐδ' ἐς Ἴλιον.
ἀνθ' ὧν, βιασθεὶς πολλὰ κἀντιβάς,[6] μόλις 575
ἔθυσεν αὐτήν, οὐχὶ[7] Μενέλεω χάριν.
εἰ δ' οὖν, ἐρῶ γὰρ καὶ τὸ σόν[8], κεῖνον θέλων
ἐπωφελῆσαι ταῦτ' ἔδρα, τούτου θανεῖν
χρὴν αὐτὸν οὕνεκ' ἐκ σέθεν; ποίῳ νόμῳ;
ὅρα, τιθεῖσα τόνδε τὸν νόμον βροτοῖς 580

λιν ἦλθες γῷ Πανελλήνων στρατὸς
οὐρίας πομπῆς σπανίζων».

1) Ὁ Ἀγαμέμνων χάριν διασκεδάσεως περιεπάτει ἐν τῷ ἄλσει τῆς Ἀρτέμιδος. Τὸ ἐξεκίνησεν ὁ Σχολιαστὴς ἐξηγεῖ ἐξεδίωξεν. Διὰ τοῦ ποδοῖν δηλοῖ, ὅτι ἡ ἔξοδος τοῦ ζώου ἐγένετο ἐκ τοῦ τυχαίου περιπατήματος τοῦ Ἀγαμέμνονος, οὐχὶ δὲ κατοπτεύσεως ἢ διὰ κυνός. Διὰ τοῦ τυχαίου πειρᾶται νὰ μετριάσῃ τὸ ἀσεβὲς τῆς πράξεως τοῦ πατρός.

2) Ἰσοδυναμεῖ πρὸς τὸ κεραός, κερασφόρος.

3) Κατὰ τὸν Σχολιαστὴν καυχησάμενος. Δὲν λέγει μὲν τὸν λόγον ἡ Ἠλέκτρα, ἀλλ' εἶναι γνωστὸς ἐκ τοῦ Πρόκλου ἐν χρηστομαθ. 455. «Ἀγαμέμνων ἐπὶ θήρᾳ βαλὼν ἔλαφον ὑπερβάλλειν ἔφησε καὶ τὴν Ἄρτεμιν· μηνίσασα δὲ ἡ θεὸς ἐπέσχεν αὐτοὺς τοῦ πλοῦ χειμῶνας ἐπιπέμπουσα» καὶ ἐκ τοῦ Σχολιαστοῦ εἰς Εὐριπίδ. ἐν Ὀρέστ. 647 «καυχησάμενος δὲ ἐπὶ τῇ ἐπιτυχίᾳ καὶ εἰπών, ὡς οὐδ' ἂν αὐτὴ ἡ Ἄρτεμις οὕτως ἔβαλεν, ἐπειράθη τῆς θεοῦ ὀργιζομένης καὶ κατεχούσης τοὺς ἀνέμους, ὡς μὴ δύνασθαι αὐτοὺς εἰς Ἴλιον στέλλεσθαι».

4) Ὅτι τοιοῦτος ἦτο ὁ σκοπὸς τῆς θεᾶς, εἶπεν ὁ Κάλχας.

5) Διὰ τοιαύτην αἰτίαν ἡ Ἰφιγένεια προσηνέχθη θυσία, ἐθυσιάσθη. Λέγει ὁ ποιητὴς λύσιν ἐν σχέσει πρὸς τὸ προηγούμενον κατεῖχε.

6) Ὁ Σχολιαστὴς ἐξηγεῖ· «Ἀντιπαραττόμενος καὶ μὴ βουλόμενος».

7) Ποιεῖ ἀντίθεσιν πρὸς τὸ ἀνθ' ὧν.

8) Δηλαδὴ ἐκεῖνο, ὅπερ αὐ διαχυρίζεσαι, ὅτι ὁ Ἀγαμέμνων χάριν τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὴ πῆμα σαυτῇ καὶ μετάγνοιαν[1] τιθῇς.
εἰ γὰρ κτενοῦμεν ἄλλον ἀντ' ἄλλου, σύ τοι
πρώτη[2] θάνοις ἄν, εἰ δίκης γε τυγχάνοις.
ἀλλ' εἰσόρα, μὴ σκῆψιν[3] οὐκ οὖσαν τίθης.
εἰ γὰρ θέλεις,[4] δίδαξον, ἀνθ' ὅτου τὰ νῦν
αἴσχιστα πάντων ἔργα δρῶσα τυγχάνεις·
ἥτις ξυνεύδεις τῷ παλαμναίῳ[5], μεθ' οὗ
πατέρα τὸν ἀμὸν πρόσθεν ἐξαπώλεσας,
καὶ παιδοποιεῖς·[6] τοὺς δὲ πρόσθεν εὐσεβεῖς[7]
κἀξ εὐσεβῶν[8] βλαστόντας ἐκβαλοῦσ'[9] ἔχεις.

Μενελάου ἐθυσίασε τὴν Ἰφιγένειαν.

1) Μετάγνοια σημαίνει μετάνοιαν, μεταμέλειαν. Ἐπαναλαμβάνει τὸ τιθέναι, ὅπως τὴν ἀντίθεσιν ποιήσῃ αἰσθητοτέραν.

2) Δηλαδὴ ἀντὶ τοῦ φονευθέντος Ἀγαμέμνονος. Δύο ὑποθέσεις φέρονται: εἰς τὴν αὐτὴν ἀπόδοσιν, ὡς καὶ ἐν Αἴαντ. 782. «Εἰ δ' ἀπεστερήμεθα, οὐκ ἔστιν ἀνὴρ κεῖνος, εἰ Κάλχας σοφός» καὶ Θουκυδ. VI, 34.

3) Σκῆψις εἶναι τὸ πρόσχημα, ἡ πρόφασις. Κατὰ τὸν Σχολιαστήν· «Ὅρα, φησί, μὴ περικάλυμμα τῶν σαυτῆς ἀδικημάτων ταύτην νομίζῃ τὴν πρόφασιν».

4) Τοῦτο λέγει εἰρωνικῶς. Ἀφ' οὗ τὰ περὶ Ἰφιγενείας εἰρημένα ἦσαν πρόφασις, παρακελεύεται τὴν μητέρα, ἵνα εἴπῃ τὴν ἀληθῆ αἰτίαν.

5) Κατὰ τὸν Σχολιαστήν· «Παλαμναῖος ὁ ταῖς οἰκείαις χερσὶ φόνον ἐργασάμενος».

6) Συνηθέστερον εὕρηται τὸ μέσον, ἀλλ' ἀπαντᾷ καὶ τὸ ἐνεργητικόν, ὡς Εὐριπίδ. ἐν Ἡρακλείδ. 524 «παιδοποιεῖν ἐξ ἐμοῦ βουλήσεται». Ἡ Κλυταιμνήστρα μετὰ τοῦ Αἰγίσθου ἔτεκε τὴν Ἠριγόνην, Παυσαν. II, 18, 5. Καὶ ὁ Ἀλήτης λέγεται υἱὸς τοῦ Αἰγίσθου, ἀλλὰ δὲν παραδίδεται τὸ ὄνομα τῆς μητρὸς αὐτοῦ παρ' Ὑγίν. Fab. 122.

7) Τὰ τέκνα τοῦ Ἀγαμέμνονος καὶ τῆς Κλυταιμνήστρας λέγονται εὐσεβῆ, διότι ἐγένοντο ἐκ νομίμου γάμου.

8) Ἡ φράσις εἶναι ἀνάλογος πρὸς τὴν κακὸς κἀκ κακῶν. Κατὰ τὸν Wolff τὸ εὐσεβεῖν ἀναφέρεται μόνον εἰς τὸν Ἀγαμέμνονα· ἀλλὰ καὶ ἡ Κλυταιμνήστρα τὰ μετὰ τοῦ Ἀγαμέμνονος τέκνα ἐκτήσατο ὡς εὐσεβὴς καὶ νόμιμος σύζυγος. Ὀρθῶς δὲ ἑρμηνεύει ὁ Σχολιαστής· «Ἐννόμῳ γάμῳ ἡρμοσμένων». Παραπλήσιον εἶναι τὸ παρὰ Σοφοκλ. Ἀποσπάσμ. 104 «Δεινόν γε τοὺς μὲν δυσσεβεῖς κακῶν τ' ἄπο βλαστόντας εἶτα τούσδε μὲν πράσσειν καλῶς, τοὺς δ' ὄντας ἐσθλοὺς ἔκ τε γενναίων ἅμα γεγῶτας εἶτα δυστυχεῖς πεφυκέναι».

[8]) Δὲν διαφέρει τῆς ἁπλῆς γενικῆς κατ' ἔννοιαν, Ξενοφ. ἐν Κύρ. Παιδ. I, 4,2 «ἐκ νυκτὸς εἴ τινος δέοιτο Ἀστυάγης, πρῶτος ἠσθάνετο Κῦρος».

[9]) Τοῦτο λέγει κατὰ τὴν ὁμηρικὴν φράσιν ἐν Ἰλιάδ. Ψ'. 62 «ὕπνος νήδυμος ἀμφιχυθείς». Τὸ προστα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χρόνος διῆγέ[1] μ' αἰὲν ὡς θανουμένην.
νῦν δ' (ἡμέρᾳ γὰρ τῇδ' ἀπηλλάγην[2] φόβου
πρὸς τῆσδ'[3] ἐκείνου θ' ἥδε γὰρ μείζων βλάβη
ξύνοικος[4] ἦν μοι, τούμὸν ἐκπίνουσ' ἀεὶ
ψυχῆς[5] ἄκρατον αἷμα) νῦν δ' ἔκηλά που
τῶν τῆσδ' ἀπειλῶν οὕνεχ' ἡμερεύσομεν[6].

ΗΛΕΚΤΡΑ.

οἴμοι τάλαινα· νῦν[7] γάρ οἰμῶξαι πάρα,
Ὀρέστα, τὴν σὴν ξυμφοράν, ὅθ' ὧδ' ἔχων[8]
πρὸς τῆσδ' ὑβρίζει μητρός. ἀρ' ἔχει καλῶς[9];

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὗτοι σύ[10]· κεῖνος δ' ὡς ἔχει, καλῶς ἔχει.

ΗΛΕΚΤΡΑ.

ἄκουε, Νέμεσι[11] τοῦ θανόντος ἀρτίως.

τῶν κατὰ τὸν Σουΐδαν σημαίνει ὁ ἐπιγενόμενος.

1) Προσωποποιεῖ τὸν χρόνον, θέλει δὲ νὰ δηλώσῃ· διῆγον τὸν βίον μου ἐν διηνεκεῖ φόβῳ περὶ θανάτου. Τὸ διάγειν κεῖται, ὡς παρ' Ἰσοκράτ. πρὸς Νικοκλ. 10 «χρὴ τοὺς βασιλεύοντας μὴ μόνον τὰς πόλεις ἐν ὁμονοίᾳ πειρᾶσθαι διάγειν, ἀλλὰ καὶ τοὺς οἴκους τοὺς ἰδίους».

2) Δὲν λέγει ἀπαλλάττομαι, διότι ἐννοεῖ τὸν χρόνον, καθ' ὃν ἔμαθε τὴν ἀγγελίαν.

3) Ἡ Κλυταιμνήστρα ἀπηλλάγη τῆς Ἠλέκτρας, διότι αὕτη μόνη οὐδὲν ἠδύνατο νὰ διαπράξῃ.

4) Ἦτο μείζων βλάβη, καθ' ὅσον συνῴκει τῇ μητρί.

5) Πάντοτε ἐκπίνουσα τὸ αἷμα τῆς καρδίας μου. Παραπλήσιον εἶναι τὸ τοῦ Ἀριστοφάνους ἐν Νεφέλ. 710 «οἱ Κορίνθιοι (δηλ. κόρεις) τὴν ψυχὴν ἐκπίνουσι», Σοφοκλ. ἐν Ἀντιγόν. 531 «κατ' οἴκους ὡς ἔχιδν' ὑφειμένη λήθουσά μ' ἐξέπινες» καὶ Αἰσχύλ. ἐν Χοηφ. 575 «φόνου δ' Ἐριννὺς οὐχ ὑπεσπανισμένη ἄκρατον αἷμα πίεται τρίτην πόσιν». Τὸ νῦν δὲ ἐπαναλαμβάνεται μετὰ τὴν παρένθεσιν.

6) Τὸ ἔκηλα ἡμερεύειν ἔχει τὴν αὐτὴν σημασίαν τοῦ ἐν τοῖς ἔμπροσθεν εὐημερεῖν. Ὄντως ἡ Κλυταιμνήστρα διὰ τὸν θάνατον τοῦ Ὀρέστου νομίζει, ὅτι ἡσύχως θέλει διαγάγει τὸν βίον. Νομίζομεν ὅμως, ὅτι εἶναι τραγικὴ εἰρωνεία, διότι διὰ τῆς φράσεως ταύτης ὁ ποιητὴς ὑποδηλοῖ τὸν ἐπικείμενον θάνατον.

7) Ἀναφέρεται εἰς τὸ νῦν τῆς μητρός. Ἡ τραγικὴ εἰρωνεία ἐξακολουθεῖ· ὡσεὶ ὁ ποιητὴς ἔλεγεν, ὅτι οὐχὶ εὐημερία, ἀλλ' οἰμωγαὶ ἐπίκεινται.

8) Δηλαδὴ ὡς νεκρὸς καὶ εἰς σποδὸν μεταβεβλημένος.

9) Τοῦτο λέγει εἰρωνικῶς. Ὑποκείμενον εἶναι τὸ τόδε.

10) Ἐννοεῖται ἡ φράσις, καλῶς ἔχεις. Ἡ Κλυταιμνήστρα λαμβάνει τὸ ἔχειν πρὸς ἄλλον σκοπὸν καὶ ἐπιχαίρουσα διὰ τὸ ἀτύχημα τοῦ υἱοῦ χλευάζει τοῦτον.

11) Ὁ Schaefer τίθησι κόμμα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἤκουσεν[1] ὧν δεῖ, κἀπεκύρωσεν καλῶς.

ΗΛΕΚΤΡΑ.

ὕβριζε· νῦν[2] γὰρ εὐτυχοῦσα τυγχάνεις.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὔκουν[3] Ὀρέστης καὶ σὺ παύσετον τάδε; 795

ΗΛΕΚΤΡΑ.

πεπαύμεθ'[4] ἡμεῖς, οὐχ ὅπως σε παύσομεν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

πολλῶν[5] ἂν ἥκοις, ὦ ξέν', ἄξιος φιλεῖν,

μετὰ τὸ Νέμεσι, ὅπερ δὲν ἐπιδοκιμάζεται ὑπὸ τῶν ἄλλων κριτικῶν. Καιὰ τὴν στίξιν ταύτην ἡ γενικὴ τ ῦ θανόντος ἤθελεν ἀνήκει εἰς τὸ ἄκουε. Ὡς δ' ἔχει ἡ στίξις ἐν τῷ κειμένῳ, ἡ Νέμεσις ἀνήκει εἰς τὸν θανόντα, ὡς ὑπάρχουσι καὶ ἄλλα παράλληλα, Εὐριπίδ. ἐν Μηδ. 1389 «ἀλλά σ' Ἐρινὺς ὀλέσειε τέκνων» καὶ Αἰσχύλ. ἐν Χοηφ. 912 «φύλαξαι μητρὸς ἐγκότους κύνας». Ὅρα, ὅτι τὸ ἀρτίως ἔθηκε μετὰ τὴν μετοχήν, ἣν προσδιορίζει, ὡς ἐν Τραχιν. 1169 «χρόνῳ τῷ παρόντι νῦν». Τὸ ἀρτίως ἦτο ἀναγκαῖον πρὸς διαστολὴν ἀπὸ τοῦ Ἀγαμέμνονος, ὅστις πρὸ πολλοῦ ἐτελεύτησεν.

1) Ὑποκείμενον δὲν εἶναι ἡ Νέμεσις τοῦ Ὀρέστου, ἀλλὰ γενικῶς ἡ Νέμεσις, ἥτις ἐκώλυσε τὴν μητροκτονίαν καὶ ἐτιμωρήσατο τὸν Ὀρέστην. Διὰ τοῦ ὧν δεῖ ἐννοεῖ τὴν ἐκεῖσε ἀν τῆς μητρός. Τὸ καλῶς πάλιν κεῖται εἰρωνικῶς. Ἀλλ' ὁ θεατὴς γινώσκων ἐκ τῆς ἀρχῆς τοῦ δράματος τὴν ἐντολὴν τοῦ Ἀπόλλωνος οἰκτείρει τὴν ἄφρονα μητέρα.

2) Ὑποδεικνύει, ὅτι ἐν τῷ μέλλοντι δύναται νὰ δυστυχήσῃ· διότι τοῦτο ὁρίζει ἡ τύχη.

3) Τὰ χειρόγραφα ἔχουσιν ο ὐκοῦν μετὰ ἢ ἄνευ ἐρωτηματικοῦ σημείου καὶ οὔκουν ἄνευ ἐρωτήσεως. Ἐπειδὴ τὸ τελευταῖον δὲν περιέχει εἰρωνείαν, ἣν ἀπαιτεῖ ἐνταῦθα ἡ ἔννοια, προετιμήσαμεν τὸ οὔκουν. Ἐπειδὴ ἐν τῷ λόγῳ σου ὑποθέτεις μεταβολὴν τῆς εὐτυχίας, ὁ Ὀρέστης καὶ σὺ δὲν θὰ παύσητε ταύτην; Εἰρωνικῶς ἡ Κλυταιμνήστρα τίθησι τὴν Ἠλέκτραν ἐν τῇ αὐτῇ τάξει μετὰ τοῦ νεκροῦ Ὀρέστου. Καὶ ὅμως τὰ ἀπροσδόκητα ταῦτα μέλλουσι νὰ τελεσθῶσιν, ὡς ὁ θεατὴς μετὰ τοῦ θεοῦ γινώσκει.

4) Ἐπαύσαμεν ἡμεῖς ἀπὸ τοῦ νὰ εἴμεθα εὐτυχεῖς, δὲν ὑπάρχει τρόπος, ὅπως παύσωμέν σε. Κατὰ τὸν Τρικλίνιον· «οὐ μόνον οὐ παύσομέν σε, ἀλλὰ πεπαύμεθα ἡμεῖς».

5) Συνηθέστερον εὑρηται ὁ ἑνικὸς ἀριθμός, ὡς παρὰ Ξενοφ. ἐν Συμπ. 4,64 «ὁ γὰρ οἷός τε ὢν γιγνώσκειν τοὺς ὠφελίμους αὐτοῖς, οὗτός μοι δοκεῖ πολλοῦ ἂν ἄξιος εἶναι καὶ πόλεσι καὶ φίλοις κεκτῆσθαι». Δὲν λέγει ἥκεις, ἀλλὰ μετεχειρίσθη τὴν εὐκτικὴν μετὰ τοῦ ἂν πρὸς μετριωτέραν ἔκφρασιν, ὡς ὁ Πλάτων ἐν Φιλήβ. 43c «εἰ ταῦτα οὕτω, πάλιν ὁ νῦν δὴ ῥηθεὶς βίος ἂν ἥκοι». Ἀντὶ τοῦ φιλεῖν φέρεται καὶ ἡ γραφὴ τυχεῖν, ὁ δὲ Wolff εἰκάζει φίλοιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰ τήνδ' ἔπαυσας τῆς πολυγλώσσου[1] βοῆς.

ΠΑΙΔΑΓΩΓΟΣ.

οὐκοῦν ἀποστείχοιμ' ἄν, εἰ τάδ' εὖ κυρεῖ[2].

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἥκιστ'[3], ἐπείπερ οὔτ' ἐμοῦ καταξίως
πράξειας οὔτε τοῦ πορεύσαντος[4] ξένου.
ἀλλ' εἴσιθ' εἴσω· τήνδε δ' ἔκτοθεν βοᾶν
ἔα τά θ' αὑτῆς καὶ τὰ τῶν φίλων[5] κακά.

ΗΛΕΚΤΡΑ.

ἆρ'[6] ὑμῖν ὡς ἀλγοῦσα κὠδυνωμένη
δεινῶς δακρῦσαι κἀπικωκῦσαι δοκεῖ
τὸν υἱὸν ἡ δύστηνος ὧδ' ὀλωλότα;
ἀλλ'[7] ἐγγελῶσα φροῦδος. ὦ τάλαιν' ἐγώ·
Ὀρέστα φίλταθ', ὡς μ' ἀπώλεσας θανών[8].
ἀποσπάσας γὰρ τῆς ἐμῆς οἴχει[9] φρενὸς
αἵ μοι μόναι παρῆσαν ἐλπίδων ἔτι,
σὲ πατρὸς ἕξειν ζῶντα τιμωρόν ποτε

1) Ὁ Σχολιαστὴς ἐξηγεῖ πολυλόγου.

2) Τοῦτο λέγει εἰρωνικῶς ἐν σχέσει πρὸς τὰ εἰρημένα ἐν στίχ. 791.

3) Ἐκ τοῦ ἡγουμένου στίχου ἐννοεῖται τὸ ἀποστείχοις ἄν. Ὁ Bothe ἀντὶ τοῦ καταξίως ἔγραψε κατάξι' ἄν, ὅπερ ἐδέξαντο πολλοὶ ἐκδόται, ὡς ὁ Dindorf καὶ ὁ Wolff. Διὰ τῆς διορθώσεως ταύτης σκοπεῖ ὁ διορθωτὴς νὰ εἰσαγάγῃ τὸν ἄν.

4) Κατὰ τὸν Σχολιαστήν· ἀποστείλαντος, πέμψαντος.

5) Ἐννοεῖ τὸν Ὀρέστην. Ἡ Κλυταιμνήστρα μετὰ τοῦ ἀγγέλου εἰσέρχεται εἰς τὰ ἀνάκτορα διὰ τῆς μέσης θύρας, ἥτις ὀνομάζεται βασιλική.

6) Ταῦτα ἀναφέρονται εἰς τὰ ἐν στίχ. 766 καὶ ἑξῆς.

7) Ἐπειδὴ ἡ ἡγουμένη ἐρώτησις ἰσοδυναμεῖ πρὸς ἄρνησιν, ἔθηκε τὸν ἀλλά. Δὲν ἐθρήνησεν ἐκ λύπης, οὐχί, ἀλλ' ἀπῆλθε χλευάζουσα. Τὸ φροῦδος κεῖται ἀντὶ τοῦ φρούδη, ὡς παρ' Εὐριπίδ. ἐν Ἰφιγεν. ἐν Ταύρ. 155 « φροῦδος γέννα ». Κατὰ τὸν Wolff ἔθηκεν ἐνεστῶτα, διότι ὁ χλευασμὸς ὑποτίθεται ἐξακολουθῶν καὶ ἐν τοῖς ἀνακτόροις.

8) Τοῦτο λέγει μετ' ἀλγεινῆς εἰρωνείας, διότι ἀπολλύασιν οὐχὶ οἱ θανόντες, ἀλλ' οἱ ζῶντες. Παραπλήσιον εἶναι τὸ ἐν Ἀντιγόν. 871 « θανὼν ἔτ' οὖσαν κατήναρές με » καὶ Εὐριπίδ. ἐν Ἱππ. 839 « ἀπώλεσας γὰρ μᾶλλον ἢ κατέφθισο ».

9) Ἡ σύνταξις ἔχει οὕτως· οἴχει ἀποσπάσας τῆς φρενὸς ἐκείνας τῶν ἐλπίδων, αἵ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κἀμοῦ ταλαίνης. νῦν δὲ ποῖ με χρὴ μολεῖν;[1]
μόνη[2] γάρ εἰμι, σοῦ τ' ἀπεστερημένη
καὶ πατρός. ἤδη δεῖ με δουλεύειν[3] πάλιν
ἐν τοῖσιν ἐχθίστοισιν ἀνθρώπων ἐμοί, 815
φονεῦσι πατρός. ἆρά μοι καλῶς ἔχει;
ἀλλ' οὔ τι μὴν ἔγωγε τοῦ λοιποῦ χρόνου
ξύνοικος ἔσσομ'[4], ἀλλὰ τῇδε πρὸς πύλῃ
παρεῖσ[5] ἐμαυτὴν ἄφιλος αὐανῶ βίον.
πρὸς ταῦτα καινέτω[6] τις, εἰ βαρύνεται, 820
τῶν ἔνδον ὄντων· ὡς χάρις μέν, ἢν κτάνῃ,
λύπη δ', ἐὰν ζῶ· τοῦ βίου δ' οὐδεὶς πόθος. 822
οὐ γὰρ θανεῖν ἔχθιστον, ἀλλ' ὅταν θανεῖν 1007
χρῄζων τις εἶτα[7] μηδὲ τοῦτ' ἔχῃ λαβεῖν. 1008

Στροφὴ ά.

ΧΟΡΟΣ.

ποῦ ποτε κεραυνοὶ[8] Διὸς ἢ ποῦ φαέθων 823

[1]) Τώρα ποῦ πρέπει νὰ ὑπάγω; δηλ. παρὰ τίνος νὰ ἐλπίζω βοήθειαν; ὡς ἐν Αἴαντ. 1006 «ποῖ γὰρ μολεῖν μοι δυνατόν, εἰς ποίους βροτούς; καὶ ἐν Οἰδίποδ. ἐπὶ Κολων. 1748.

[2]) Ἐπειδὴ ἡ Χρυσόθεμις δὲν κοινωνεῖ τῶν φρονημάτων τῆς ἡρωΐδος, δὲν λογίζεται ταύτην.

[3]) Ἡ Ἠλέκτρα διῆγεν ὡς δούλη. Ὅρα στίχ. 265.

[4]) Ἐν τισι χειρογράφοις εὕρηται ξύνοικος ἔσομαι, ὅπερ ἕνεκα τοῦ μέτρου καὶ ἕνεκα τῆς χασμῳδίας δὲν δύναται νὰ ὑπάρξῃ. Οἱ κριτικοὶ ἐποίησαν ποικίλας διορθώσεις, δηλ. ὁ μὲν Dawes ἔτρεψεν εἰς ἔσομαι ξύνοικος, ὁ δὲ Hermann ξύνοικος εἶσειμ', ὅπερ ἐδέξατο καὶ ὁ Wolff.

[5]) Ὁ μὲν Wunder ἐξηγεῖ ἀμελήσασα ἐμαυτῆς, ὁ δὲ Wolff ῥιφθεῖσα πλησίον τῆς πύλης. Εἰκάζει δ', ὅτι αὕτη ὄντως κατέπεσεν. Ἡ δευτέρα ἑρμηνεία φαίνεταί μοι πιθανωτέρα καὶ δραματικωτέρα. Τὸ δὲ αὐαίνω σημαίνει ξηραίνω, φθείρω τὸν βίον διὰ στεναγμῶν, ὡς ἐν Φιλοκτήτ. 954 «αὐανοῦμαι τῷδ' ἐν αὐλίῳ μόνος».

[6]) Τὸ ἀντικείμενον μὲ ἐννοεῖται.

[7]) Ἐτέθη μετὰ μετοχήν, ὡς συνήθως, ἐν Οἰδίποδ. ἐπὶ Κολων. 277 «μή, θεοὺς τιμῶντες, εἶτα τοὺς θεοὺς μοίρας ποιεῖσθε μηδαμῶς».

[8]) Λέγει οὕτω, διότι ὁ Ζεὺς διὰ κεραυνοῦ ἐτιμωρεῖτο τοὺς ἀδίκους. Ὁ χορὸς δὲν βλασφημεῖ καθ' ἡμᾶς, ὡς γίνεται δῆλον ἐκ τῶν ἑπομένων, ἀλλ' ἐκφράζει μόνον ἀπορίαν. Κατὰ τὸν Σχολιαστήν· «Ἐν τοῖς ἔμπροσθεν παραμυθούμενος ὁ χορὸς τὴν Ἠλέκτραν ἔλεγεν (173) θάρσει μοι τέκνον, θάρσει· ἔτι μέγας οὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἅλιος[1], εἰ ταῦτ' ἐφορῶντες 82
κρύπτουσιν[2] ἔκηλοι;

ΗΛΕΚΤΡΑ.

ἔ ἔ, αἰαῖ.

ΧΟΡΟΣ.

ὦ παῖ, τί[3] δακρύεις;

ΗΛΕΚΤΡΑ.

φεῦ[4]. 82

ΧΟΡΟΣ.

μηδὲν μέγ' ἀύσῃς[5].

ρανῷ Ζεὺς καὶ τὰ ἔξῃς. Νῦν οὖν πανταχόθεν ἀπεγνωσμένης τῆς σωτηρίας καὶ προστεθείσης τῆς κατὰ τὸν Ὀρέστην συμφορᾶς, εἰκότως παρακεκινδυνευμένῳ τῷ λόγῳ ἐχρήσατο, ὥστε καὶ περὶ θεῶν τι εἰπεῖν, καὶ ὅλως ἀμφιβάλλειν, εἰ ὅλως ἐν οὐρανῷ εἰσιν, εἴ γε περιορῶσι τοιαῦτα γινόμενα. Καὶ τὸν μὲν Ἥλιον ὡς πάντα ἐφορῶντα παρέλαβε, τὸν δὲ Δία ὡς πάντων δεσπότην ὄντα ». Παραπλήσιον εἶναι τὸ ἐν Οἰδίποδ. τυράνν. 895 « εἰ γὰρ αἱ τοιαίδε πράξεις τίμιαι, τί δεῖ με χορεύειν». Φαέθων εἶναι ὁ λάμπων.

1) Ὁ ἀγνότατος τῶν θεῶν Ἥλιος ὡς ἐχθρὸς πάντων τῶν ἔργων τοῦ σκότους εἶχε καθῆκον νὰ τιμωρήσηται τοὺς ἀδίκους, ὅπως μὴ βλέπῃ τὸ μίασμα, ἐν Οἰδίποδ. τυράνν. 1417 « τὴν γοῦν πάντα βύσκουσαν φλόγα αἰδεῖσθ' ἄνακτος Ἡλίου, τοιόνδ' ἄγος ἀκάλυπτον οὕτω δεικνύναι». Διὰ τοῦ ταῦτα ἐννοεῖ πάνθ' ὅσα ἡ Κλυταιμνήστρα ἔπραξεν ἀνοσίως καὶ εἶπεν.

2) Κατὰ τὸν Σχολιαστήν· « οἷον οὐκ ἄγουσιν εἰς φῶς τὴν τούτων παρανομίαν». Τὸ κρύπτειν κεῖται ἀμεταβάτως, ὡς ἀλλαχοῦ τὸ κεύθειν. Ὁ χορὸς ἐννοεῖ, ὅτι ἀφίνουσιν ἀτιμώρητα· διότι ὁ μὴ θέλων νὰ τιμωρήσηται τὸ ἔγκλημα καλύπτει τοῦτο. Καὶ ἡμεῖς ἐν τοιαύτῃ σημασίᾳ μεταχειριζόμεθα τὸ σκεπάζειν

3) Οὐχὶ περὶ τίνος, ἀλλὰ διὰ τ δακρύεις; Τοῦτο ὅμως εἶναι τρόπο ἐκφράσεως, διότι ὁ χορὸς γινώσκε τὴν αἰτίαν, δι' ἣν ἡ ἡρωὶς δακρύει 'Ισοδυναμεῖ λοιπὸν πρὸς τὸ μὴ δά κρυε.

4) Ἡ Ἠλέκτρα μὴ προσέχουσ εἰς τὴν παραμυθίαν τοῦ χοροῦ ἐξα κολουθεῖ θρηνοῦσα. Ὁ Σχολιαστὴ παρατηρεῖ· « Δεῖ δὲ τὸν ὑποκριτὴ ἅμα τῇ βοῇ ἀναβλέψαι τε εἰς οὐρα νὸν καὶ τὰς χεῖρας ἀνατεῖναι· ὃ δὲ κωλύει ὁ χορός, μηδὲν μέγ' ἀύσης».

5) Κατὰ δύο τρόπους δύναται νὰ ἐξηγηθῇ τὸ χωρίον· ἢ «μηδὲν ἀπρε πὲς εἰς τοὺς θεοὺς εἴπῃς», ὡς ἐξηγεῖ ὁ Σχολιαστής, ἢ κατὰ τὸν Τρικλί νιον «βοήσῃς, εἴπῃς, ἤγουν μὴ προ θρήνους ὁρμήσῃς, ἵνα μὴ πρὸς ὀρ γὴν Κλυταιμνήστραν κινήσῃς». Τὴν μὲν ἑρμηνείαν τοῦ Σχολιαστοῦ δέ χονται ὁ Dindorf, ὁ Wecklein καὶ ἄλλοι, τὴν δὲ τοῦ Τρικλινίου διά μακρῶν ὑποστηρίζει ὁ Held· τὸ μέγα ἐν ὁμοίαις συντάξεσι (ὡς ἐν Αἴαντ. 386 μεθὲν μέγ' εἴπῃς, ἐν Ἀντιγόν. 1350 μεγάλοι λόγοι) δὲν σημαίνει βλασφημίαν, ἀλλὰ μεγαλορ ρημοσύνην. Ἀλλὰ καὶ ἂν τὸ μέγ' ἀῦσαι ἐδήλου βλασφημίαν, ἡ Ἠλέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΗΛΕΚΤΡΑ.

ἀπολεῖς[1].

ΧΟΡΟΣ.

πῶς; 830-32

ΗΛΕΚΤΡΑ.

εἰ τῶν φανερῶς[2] οἰχομένων
εἰς Ἀΐδαν ἐλπίδ' ὑποίσεις[3], κατ' ἐμοῦ
τακομένας μᾶλλον ἐπεμβάσει[4].

Ἀντιστροφὴ α'.

ΧΟΡΟΣ.

οἶδα γὰρ[5] ἄνακτ' Ἀμφιάρεων χρυσοδέτοις 836

κτρα δὲν ἔδειξε τοιαύτην διάθεσιν. Εἶναι ἀληθές, ὅτι ὁ Σχολιαστὴς ἐκ τοῦ σχηματισμοῦ τῆς ἠρωΐδος εἴκασε τοιοῦτόν τι, ἀλλὰ μόνον ὁ σχηματισμὸς ἄνευ ἄλλης κυρώσεως δὲν ἀρκεῖ. Διὰ ταῦτα πρέπει νὰ προτιμήσωμεν τὴν ἑρμηνείαν τοῦ Τρικλινίου. Ὄντως ὁ χορὸς τὸ πρῶτον προέτρεψε τὴν ἠρωΐδα, ἵνα μὴ δακρύῃ· ἐπειδὴ δὲ αὕτη διὰ τοῦ φεῦ ἤρξατο μεγαλοφώνως θρηνοῦσα, παρακελεύεται, ὅπως μὴ πράττῃ τοῦτο. Ἡ ἑρμηνεία αὕτη συμφωνεῖ καὶ πρὸς τὰ ἑπόμενα· διότι ἡ Ἠλέκτρα ἐκ τῶν λόγων τοῦ χοροῦ εἰκάζει, ὅτι οὗτος σκοπεῖ νὰ παραμυθήσῃ·

1) Πῶς ἐννοεῖ τὸν ὄλεθρον, ἀναπτύσσει μετ' ὀλίγον. Παραπλήσιον τὸ ἐν Οἰδίποδ. ἐπὶ Κολων. 529 «θάνατος μὲν τάδ' ἀκούειν».

2) Τοῦτο λέγει κατὰ τὴν διήγησιν τοῦ ἀγγέλου, ὅστις μετὰ πιθανότητος εἶπε περὶ τοῦ θανάτου τοῦ Ὀρέστου.

3) Τὸ ὑποφέρειν ἐλπίδα σημαίνει θέτειν ὑποκάτω, πλαγίως ἐλπίδα.

4) Συνήθως τὸ ἐπεμβαίνειν συντάσσεται πρὸς δοτικήν, εὕρηται δὲ καὶ πρὸς γενικὴν ἐν Οἰδίποδ. ἐπὶ Κολων. 924 «σῆς ἐπεμβαίνων χθονός». Ἐνταῦθα ὁ ποιητὴς συνέταξε τὸ ῥῆμα πρὸς γενικὴν μετὰ τῆς προθέσεως κατά, ὡς τὸ ἐπεγγελᾶν, ἐν Αἴαντ. 969 «τοῦδ' ἐπεγγελῶεν ἂν κάτα» καὶ ἐν Οἰδίποδ. ἐπὶ Κολων. 1339 «καθ' ἡμῶν ἐγγελῶν».

5) Ὁ σύνδεσμος αἰτιολογεῖ παραλειφθεῖσαν πρότασιν, δηλ. οὐ παύσομαι παραμυθούμενος· διότι γινώσκω, ὅτι ὁ Ἀμφιάραος, καίπερ διὰ τὴν γυναῖκα ἀπολεσθείς, ὅμως ἐν Ἅιδου ἔτυχε μεγίστης τιμῆς· Ἡ Ἠλέκτρα καίπερ ἐν πληθυντικῷ ἀριθμῷ λέγουσα, ὅμως εἶχεν ἐν νῷ τὸν Ὀρέστην. Ἀλλ' ὁ χορὸς διὰ τῆς παραβολῆς πρὸς τὴν Ἀμφιάραον ὑπαινίσσεται τὸν Ἀγαμέμνονα. Ὁ Ἀμφιάραος τὸ γένος ἐκ τοῦ Μελάμποδος ἔλκων μετέσχε τῆς στρατείας τῶν Ἀργοναυτῶν καὶ τῆς θήρας τοῦ Καλυδωνίου κάπρου. Ἐπειδὴ δέ, ἅτε μάντις ἄριστος, προεγίνωσκε τὸν ὄλεθρον τῶν μελλόντων νὰ στρατεύσωσιν ἐπὶ Θήβας, δὲν ἤθελε νὰ μετάσχῃ τῆς στρατείας. Ἀλλ' ὁ Πολυνείκης ἐδωρήσατο χρυσοῦν ὅρμον τῇ γυναικὶ τούτου Ἐριφύλῃ, ἥτις ἔπεισε τὸν ἄνδρα, ὅπως

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔρκεσι κρυφθέντα[1] γυναικῶν·
καὶ νῦν ὑπὸ γαίας[2]

ΗΛΕΚΤΡΑ.

ἔ ἔ, ἰώ. 839

ΧΟΡΟΣ.

πάμψυχος[3] ἀνάσσει.

στρατεύσηται. Ὅτε δὲ ὁ Ἐτεοκλῆς καὶ ὁ Πολυνείκης ἐφονεύθησαν καὶ ὁ στρατὸς τῶν Ἀργείων ἔφυγεν, ὁ Ἀμφιάραος κατέπεσεν εἰς ὄρυγμα, μετὰ τοῦ ἅρματος αὐτοῦ, ὅπερ διὰ κεραυνοῦ ὁ Ζεὺς ὤρυξεν. Ὁ θεὸς οὗτος κατέστησε τὸν μάντιν ἀθάνατον, ἐν πολλοῖς δὲ τόποις τῆς Βοιωτίας ἐλατρεύετο διὰ θείων τιμῶν καὶ ἐν Ὠρωπῷ μέχρι τῶν χρόνων τοῦ μεγάλου Κωνσταντίνου ἐσώζετο τὸ Ἀμφιαρεῖον, ἤτοι μαντεῖον, ὅπου οἱ νοσοῦντες ἐθεραπεύοντο κατὰ συμβουλὴν ὀνείρων. Ἡ προδοτικὴ πανουργία τῆς Ἐριφύλης ὀνομάζεται χρυσόδετα ἔρκη μετὰ ὑπαινιγμοῦ πρὸς τὸν χρυσοῦν ὅρμον. Παραπλήσιον εἶναι τὸ παρ' Αἰσχύλ. ἐν Εὐμενίσ. 451 « Ἀγαμέμνον' ἐμὴ μήτηρ κατέκτα, ποικίλοις ἀγρεύμασιν κρύψασα ».

[1]) Προσηκόντως μετεχειρίσθη τὸ ῥῆμα τοῦτο, διότι ἐπιστεύθη, ὅτι Ἀμφιάραος ἐν τῷ ὀρύγματι ἐκρύφθη, Πίνδ. ἐν Νεμ. 9, 24 « ὁ δ' Ἀμφιάρῃ σχίσεν κεραυνῷ παμβία Ζεὺς τὰν βαθύστερνον χθόνα, κρύψεν δ' ἅμ' ἵπποις ». Ὅρα, ὅτι κεῖται πληθυντικὸς ἀριθμός, ἐν ᾧ πρόκειται περὶ τῆς Ἐριφύλης. Ἴσως ἐποίησε τοῦτο, ὅπως ὑποδείξῃ τὸν ὑπαινιγμὸν πρὸς τὴν Κλυταιμνήστραν σαφέστερον.

[2]) Ὁ χορὸς διακόπτεται ὑπὸ τῆς Ἠλέκτρας, διότι τὸ ὑπὸ γαίας ποιεῖ αὐτῇ ἀλγεινὴν ἀνάμνησιν. Κατὰ τὸν Schneider ὅμως ἡ ἡρωὶς θρηνεῖ, διότι ἐν τῇ παραβολῇ τοῦ Ἀμφιάρου πρὸς τὸν πατέρα οὐδεμίαν παραμυθίαν εὑρίσκει· διότι τοῦ μὲν Ἀμφιαράου ὁ υἱὸς Ἀλκμαίων ἐτιμωρήσατο τὴν Ἐριφύλην, οὐχὶ δὲ καὶ ὁ τοῦ Ἀγαμέμνονος υἱός. Ἡ ἑρμηνεία αὕτη εἶναι πιθανωτέρα τῆς πρώτης.

[3]) Κατὰ τρεῖς τρόπους ὁ Σχολιαστὴς ἐξηγεῖ τὴν λέξιν, ἢ πασῶν τῶν ψυχῶν ἀνάσσει, αἱ ὁποῖαι ἔχουσιν ἀνάγκην τῆς μαντικῆς αὐτοῦ, ἢ διασώζει ὁλόκληρον τὴν ψυχὴν αὐτοῦ ἢ διὰ παντὸς ὅηλ. εἶναι ἀθάνατος· Ὁ δὲ Brunck παρατηρεῖ, ὅτι οἱ βασιλεῖς οἱ κατὰ τὴν ἀρετὴν καὶ τὰ ἔργα διαπρέψαντες ἠξιοῦντο μεγάλης τιμῆς καὶ ἐν τοῖς εἰδώλοις τῶν τεθνεώτων ἦρχον, ὡς Ὀδυσσεὺς λέγει ἐν Ἅιδου τῷ Ἀχιλλεῖ Ὀδυσσ. Λ 483 « πρὶν μὲν γάρ σε ζωὸν ἐτίομεν ἶσα θεοῖσιν Ἀργεῖοι, νῦν δ' αὖτε κρατέεις νεκύεσσιν ἐνθάδ' ἐὼν», καὶ ὁ Αἰσχύλος περὶ τοῦ Ἀγαμέμν. ἐν Χοηφόρ. 354 « φίλος φίλοισι τοῖς ἐκεῖ καλῶς θανοῦσι κατὰ χθονὸς ἐμπρέπων σεμνότιμος ἀνάκτωρ πρόπολός τε τῶν μεγίστων χθονίων ἐκεῖ τυράννων ». Νομίζομεν, ὅτι, ἂν βασιλεύῃ ἡ μή, ὀλίγην παραμυθίαν δύναται νὰ δώσῃ τῇ Ἠλέκτρᾳ. Διὰ τοῦτο δεῖον νὰ ἑρμηνεύσωμεν τὴν λέξιν κατὰ τὴν δευτέραν ἐξήγησιν τοῦ Σχολιαστοῦ ὁλόψυχος, ὅηλ. ἔχων ἀκεραίαν τὴν διάνοιαν αὐτοῦ, ὡς δὴ μαρτυρεῖ τὸ φερώνυμον μαντεῖον, καὶ διὰ τῆς διανοίας δυνάμενος νὰ ἐπιβράσῃ ἐπὶ τῆς γῆς, ὅηλ. νὰ τιμωρηθῶσι τοὺς φονεῖς αὐτοῦ. Τὸ δῶρον τῆς νοήσεως εἶχεν ὁ Τειρεσίας καθ' Ὅμηρον ἐν Ὀδυσσ. Κ 492 « μάντηος

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΗΛΕΚΤΡΑ.

φεῦ[1]. 841

ΧΟΡΟΣ.

φεῦ δῆτ'[2]· ὀλοὰ γὰρ

ΗΛΕΚΤΡΑ.

ἐδάμη;

ΧΟΡΟΣ.

ναί. 843-45

ΗΛΕΚΤΡΑ.

οἰὸ' οἰὸ'[3]· ἐφάνη γὰρ μελέτωρ 846

ἀλαοῦ, τοῦ τε φρένες ἔμπεδοί εἰσιν· τῷ κε τεθνηῶτι νόον πόρε Περσεφόνεια, οἵῳ πεπνῦσθαι· τοὶ δὲ σκιαὶ ἀΐσσουσιν ». Οὕτως ἐξηγεῖται τὸ χωρίον καὶ δὲν εἶναι ἀνάγκη νὰ διορθωθῇ εἰς πάντιμος, ὡς θέλει ὁ Morstadt. Τὸ πάμψυχος ἀνάσσει ποιεῖ ἀντίθεσιν εἰς τὸ κρυφθέντα.

[1]) Κατὰ τὸν Σχολιαστήν· « Μνησθεῖσα τῆς Ἐριφύλης ἡ Ἠλέκτρα ἀναβοᾷ ἐπὶ τῷ ᾄθει αὐτῆς δυσχεραίνουσα ». Ἡ ἑρμηνεία αὕτη εἶναι πιθανή, ἂν ὑποτεθῇ, ὅτι ἡ Ἠλέκτρα δὲν προσέχει εἰς τὴν τελευταίαν φράσιν τοῦ χοροῦ. Ἀλλὰ κατὰ τὸν Schneidewin ἡ Ἠλέκτρα δυσανασχετοῦσα ἀναβοᾷ φεῦ, διότι πολὺ περισσότερον ἐν τῇ τελευταίᾳ φράσει τοῦ χοροῦ εὑρίσκει τὴν ἀνομοιότητα τῆς θέσεως τοῦ Ἀγαμέμνονος πρὸς τὴν τοῦ Ἀμφιάρου. Τὴν ἑρμηνείαν ταύτην θεωροῦμεν πιθανωτέραν.

[2]) Ὁ χορὸς ὑπολαμβάνει, ὅτι ἡ ἀναβόησις τῆς ἡρωΐδος ἐγένετο διὰ τὴν πρᾶξιν τῆς Ἐριφύλης καὶ κυροῖ τὸ ὀρθὸν ταύτης. Τὸν ἑπόμενον γὰρ ὁ μὲν Wecklein ἔτρεψεν εἰς μάν, ὁ δὲ Wolff εἰς τἄρ, διότι τὸ μέτρον ἀπαιτεῖ μακρὰν συλλαβήν, καὶ διότι ὁ γὰρ δὲν ἁρμόζει εἰς τὴν ἔννοιαν. Διότι κατὰ τοῦτον ἂν μὲν τεθῇ στιγμὴ μετὰ τὸ γὰρ καὶ ἐννοηθῇ τὸ ἔστι, τὸ ἐδάμη μένει ἀσύνθετον καὶ ἀνεξήγητον. Ἄνευ δὲ στιγμῆς, συμπληροῦται μὲν διὰ τοῦ ἐδάμη, ἀλλὰ δὲν ἁρμόζει τὸ φεῦ, διότι ἡ τιμωρία τῆς ἀδίκου Ἐριφύλης πρέπει παραμυθίαν νὰ διεγείρῃ. Νομίζομεν ὅμως, ὅτι τὸ ἐδάμη ἐξηγεῖται, ἂν θέσωμεν ἐρωτηματικὸν μετ' αὐτό, ὡς ποιεῖ ὁ Schneider καὶ ὁ Wecklein. Τὸ δὲ ἐρωτηματικὸν παρέχει ἔννοιαν σύμφωνον καὶ πρὸς τὸ ἑπόμενον ναί. Ὁ Σοφοκλῆς ἐπραγματεύετο τὸν μῦθον ἐν τῷ δράματι αὐτοῦ, ὅπερ ὠνομάζετο Ἐριφύλη.

[3]) Διὰ τῆς ἐπαναλήψεως τοῦ ῥήματος δεικνύει ἡ Ἠλέκτρα, ὅτι βαρέως φέρει τὴν ἀτυχῆ παραμυθίαν, ὡς πρὸ ὀλίγου εἶπεν ἀπολῖς. Τὸ μελέτωρ εἶναι ἅπαξ εἰρημένον, λέγεται ὅμως τὸ ἀνάλογον γενέτωρ καὶ νεμέτωρ. Μελέτωρ εἶναι ὁ ἐπιμελητής, ὁ τιμωρὸς τοῦ φόνου τοῦ πατρός. Συνετάχθη δὲ μετὰ ἐμπροθέτου, ὡς τὸ « ἐπὶ τοῖς φθιμένοις ἀμελεῖν » ἐν στίχ. 238 καὶ Αἰσχύλ. ἐν Ἑπτὰ 849 « μέριμνα δ' ἀμφὶ πτόλιν».

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀμφὶ τὸν[1] ἐν πένθει· ἐμοὶ δ'[2] οὔτις ἔτ' ἔσθ'·
ὃς γὰρ ἔτ' ἦν[3], φροῦδος ἀναρπασθείς.

ΧΟΡΟΣ.

δειλαία δειλαίων[4] κυρεῖς.

ΗΛΕΚΤΡΑ.

κἀγὼ τοῦδ'[5] ἴστωρ, ὑπερίστωρ
πανσύρτῳ[6] παμμήνῳ πολλῶν
δεινῶν[7] στυγνῶν τ' αἰῶνι.

ΧΟΡΟΣ.

εἴδομεν ἃ θρηνεῖς[8].

ΗΛΕΚΤΡΑ.

μὴ μέ νυν[9], μηκέτι παραγάγῃς ἵν' οὐ

[1]) Πάντες οἱ ἑρμηνευταὶ ἐννοοῦσι τὸν Ἀμφιάραον, ὅστις διὰ τὴν προδοσίαν ἐθρήνει ἐν Ἅιδου, ὡς ὁ Ἀγαμέμνων παρ' Ὁμήρῳ. Ἡ δὲ τιμωρία τοῖς πενθοῦσι παρέσχε παραμυθίαν. Ἀλλ' ὁ Schneider παρατηρεῖ, ὅτι διὰ τὴν ἑπομένην ἀντίθεσιν ἐμοὶ δυνάμεθα νὰ ἐννοήσωμεν τὰ τέκνα τοῦ Ἀμφιαράου, ὅστις πλὴν τοῦ Ἀλκμαίωνος εἶχε καὶ ἄλλα, ἐν Ὀδυσσ. Ο, 248, Ἡρόδοτ. III, 91, Παυσαν. V, 17, 4 «πρὸ δὲ τῆς οἰκίας Ἐριφύλη τὸν ὅρμον ἔχουσα ἕστηκε, παρὰ δὲ αὐτὴν αἱ θυγατέρες. Εὐρυδίκη καὶ Δημώνασα, καὶ Ἀλκμαίων παῖς γυμνός».

[2]) Δηλαδὴ τῇ ἐν πένθει οὔσῃ.

[3]) Ἐννοεῖται τὸ μελέτωρ.

[4]) Ἡ γενικὴ ἐξαρτᾶται ἐκ τοῦ κυρεῖς. Κατὰ τὸν Σχολιαστήν· «Καὶ τοῦτο εἶδος παραμυθίας, τὸ εἴς τι παραχωρεῖν τοῖς λυπουμένοις καὶ συγχωρεῖν αὐτοῖς κλαίειν, ὡς ἐπὶ ἀπαρηγορήτοις κακοῖς».

[5]) Τοῦ κυρεῖν δειλαίων.

[6]) Ἔχει ἐνεργητικὴν σημασίαν, ὡς τὸ πάνδυρτος ἐν στίχ. 1077, καὶ Αἰσχύλ. ἐν Πέρσ. 918, παν-άλωτος ἐν Ἀγαμέμν. 346, πάμφθαρτος ἐν Χοηφ. 293. Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Τῷ πάντα σύροντι τὰ κακά· ἢ τῷ μετὰ πάσης ὁρμῆς τῶν κακῶν ὡρμημένῳ. Παμμήνῳ, τῷ πολυχρονίῳ καὶ διηνεκεῖ». Ἡ πρώτη ἑρμηνεία εἶναι ὀρθοτέρα. Σημειωτέον, ὅτι οἱ κριτικοὶ προσκρούοντες ποικίλως διορθοῦσι τὸ χωρίον· ὁ μὲν Nauck τρέπει εἰς πανδύρτῳ πανθρήνῳ, ὁ δὲ Wolff εἰς παμπόλλων δεινῶν.

[7]) Αἱ γενικαὶ ἐξαρτῶνται ἐκ τοῦ πανσύρτῳ καὶ οὐχὶ ἐκ τοῦ αἰῶνι· γνωρίζω καλῶς ἐκ τοῦ μακροῦ βίου, ὅστις σύρει πάντα τὰ φοβερὰ καὶ στυγερά.

[8]) Τὰ χειρόγραφα εἶχον θρεῖς, ὅπερ ὁ Erfurdt ἔτρεψεν εἰς θρηνεῖς χάριν τοῦ μέτρου. Τὴν διόρθωσιν ἐδέξαντο οἱ πλεῖστοι τῶν νεωτέρων ἐκδοτῶν.

[9]) Ἐπειδὴ ὁ χορὸς ὁμολογεῖ, ὅτι γινώσκει τὸ μέγεθος τῆς συμφορᾶς τῆς ἡρωίδος, αὕτη ἐν συμπεράσματι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΧΟΡΟΣ.

τί φής;[1]

ΗΛΕΚΤΡΑ.

πάρεισιν ἐλπίδων[2] 856
ἔτι κοινοτόκων[3] εὐπατριδᾶν τ' ἀρωγαί. 858

Ἀντιστροφὴ β'.

ΧΟΡΟΣ.

πᾶσι θνατοῖς ἔφυ μόρος. 860

ΗΛΕΚΤΡΑ.

ἦ καὶ χαλάργοις[4] ἐν ἀμίλλαις
οὕτως, ὡς κείνῳ δυστάνῳ,
τιμητοῖς ὁλκοῖς[5] ἐγκῦρσαι;

ΧΟΡΟΣ.

ἄσκοπος[6] ἁ λώβα.

παρακαλεῖ τοῦτον, ὅπως μὴ παρασύρῃ ἐκεῖ, ὅπου δὲν ὑπάρχουσιν ἐλπίδες. Ὁ λόγος τῆς Ἠλέκτρας διεκόπη ὑπὸ τοῦ χοροῦ.

1) Μετὰ τοῦτο ἔπεται ἡ φράσις, αὐδᾷς δὲ ποῖον; Ἐπειδὴ ὅμως ἐν τῇ ἀντιστροφῇ δὲν ὑπάρχει ἀντίστιχον, ὁ Τρικλίνιος ἤδη ἐξέλειψε ταύτην.

2) Ὅπου δὲν βοηθοῦσι πλέον αἱ ἐλπίδες τῶν κοινοτόκων καὶ τῶν εὐπατριδῶν.

3) Μετεχειρίσθη τὸν πληθυντικὸν ἀριθμόν, ἐν ᾧ πρόκειται περὶ τοῦ Ὀρέστου. Κοινότοκος λέγεται ὁ ἐκ κοινῶν γονέων γεννηθείς. Κατὰ τὸν Σχολιαστήν· « διὰ δὲ τοῦ εὐπατριδᾶν ἠῦξησε τοῦ πατρὸς τὸ ἐγκώμιον, οἷον εὐγενῶν καὶ γενναίων, οἷος ἦν καὶ Ὀρέστης, γεγονὼς ἐξ Ἀγαμέμνονος ».

4) Ἀναγινώσκεται καὶ χαλαργοῖς, ἀλλ' ἡ λέξις βαρυτονεῖται ὡς καὶ τὸ πόδαγρος. Ἡ λέξις εἶναι σύνθετος ἐκ τοῦ χηλὴ (= ὁπλὴ) καὶ ἀργὸς = ταχύς, ὡς λέγονται κύνες πόδας ἀργοί. Ὁ Σχολιαστὴς ἐξηγεῖ· « ταῖς λευκόπρσιν, ἢ ταῖς ταχείαις ἐν ταῖς χηλαῖς ». Ὀρθῶς δ' ὁ αὐτὸς παρατηρεῖ· « Εἰπόντος δὲ τοῦ χοροῦ· πᾶσι θνητοῖς ἔφυ μόρος, ἀντιτίθησιν ἡ Ἠλέκτρα, ἀρ οὖν οὕτω πέπρωται τοῖς θνητοῖς τελευτᾶν ἐν ταῖς ἁμίλλαις ταῖς ἱππικαῖς; ».

5) Ἡ λέξις ὁλκὸς παραγομένη ἐκ τοῦ ἕλκειν σημαίνει τὸ ἔχον τὴν δύναμιν τοῦ ἕλκειν, τὸ σχοινίον, τὸν λῶρον, ἐν στίχ. 746 « σὺν δ' ἑλίσσεται τιμητοῖς ἱμᾶσι ».

6) Ὁ μὲν Σχολιαστὴς ἐξηγεῖ ἀπροόρατος ὁ θάνατος, ἄλλοι δὲ ἄπειρος ἡ συμφορά, ὅπερ συμφωνεῖ πρὸς τὸ ἑπόμενον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΗΛΕΚΤΡΑ.

πῶς γὰρ οὔκ;[1] εἰ ξένος ἄτερ ἐμᾶν χερῶν

ΧΟΡΟΣ.

παπαῖ.

ΗΛΕΚΤΡΑ.

κέκευθεν[2] οὔτε του
τάφου ἀντιάσας οὔτε γόων παρ' ἡμῶν.

ΧΡΥΣΟΘΕΜΙΣ.

ὑφ' ἡδονῆς[3] τοι, φιλτάτη, διώκομαι,
τὸ κόσμιον[4] μεθεῖσα, σὺν τάχει μολεῖν·
φέρω[5] γὰρ ἡδονάς τε κἀνάπαυλαν, ὧν
πάροιθεν εἶχες καὶ κατέστενες κακῶν[6].

ΗΛΕΚΤΡΑ.

πόθεν δ' ἂν εὕροις τῶν ἐμῶν σὺ πημάτων
ἄρηξιν, οἷς ἔασιν οὐκ ἔνεστ'[7] ἰδεῖν;

ΧΡΥΣΟΘΕΜΙΣ.

πάρεστ' Ὀρέστης ἡμίν, ἴσθι[8] τοῦτ' ἐμοῦ
κλύουσ', ἐναργῶς[9], ὥσπερ εἰσορᾷς ἐμέ.

1) Ἐννοεῖται τὸ ἄσκοπος. Ἡ συμφορὰ θεωρεῖται μείζων, ὅτι ὁ θανὼν δὲν ἔτυχε παρὰ τῆς ἀδελφῆς τῶν νομιζομένων τιμῶν, ἐν Ἀντιγόν. 900 «θανόντας αὐτόχειρ ὑμᾶς ἐγὼ ἔλουσα κἀκόσμησα».

2) Κρύπτεται, ὡς ἐξηγεῖ ὁ Σχολιαστής.

3) Ἡ Χρυσόθεμις ἔρχεται εἰς τὴν σκηνὴν μετὰ σπουδῆς.

4) Ἐν τῇ ταχύτητι τοῦ βαδίσματος κεῖται ἄκοσμόν τι. Ἡ Χρυσόθεμις ἅτε παρθένος ὤφειλε νὰ βαδίζῃ οὐχὶ ταχέως, ἀλλὰ διὰ τὴν χαρὰν ἠμέλησε τῆς κοσμιότητος.

5) Σημαίνει ἀγγέλλω, ὡς Αἰσχύλ. ἐν Πέρσ. 244.

6) Ἡ γενικὴ ἀνήκει εἰς τὴν ἀνάπαυλαν.

7) Οὐχὶ ἀτυχῶς ὁ B. Thiersch εἶκασεν, ὅτι πρέπει νὰ γραφῇ, οὐκ ἔτ' ἔστ'.

8) Παρενθετικῶς κεῖται ἡ πρότασις αὕτη.

9) Τὸ ἐπίρρημα συναπτέον μετὰ τοῦ πάρεστι, δηλ. οὕτως ἐναργῶς πάρεστι, ὥσπερ ἐναργῶς ἢ ἐναργῆ ὁρᾷς ἐμέ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΗΛΕΚΤΡΑ.

ἀλλ' ἦ μέμηνας, ὦ τάλαινα, κἀπὶ τοῖς
σαυτῆς κακοῖσι κἀπὶ τοῖς ἐμοῖς γελᾷς[1]; 880

ΧΡΥΣΟΘΕΜΙΣ.

μὰ τὴν πατρῴαν ἑστίαν, ἀλλ'[2] οὐχ ὕβρει
λέγω τάδ', ἀλλ' ἐκεῖνον ὡς παρόντα[3] νῷν.

ΗΛΕΚΤΡΑ.

οἴμοι τάλαινα[4]· καὶ τίνος βροτῶν λόγον
τόνδ' εἰσακούσασ' ὧδε πιστεύεις ἄγαν;[5]

ΧΡΥΣΟΘΕΜΙΣ.

ἐγὼ μὲν ἐξ ἐμοῦ τε[6] κοὐκ ἄλλης, σαφῆ 885
σημεῖ' ἰδοῦσα, τῷδε πιστεύω λόγῳ[7].

ΗΛΕΚΤΡΑ.

τίν', ὦ τάλαιν', ἰδοῦσα πίστιν;[8] ἐς τί μοι
βλέψασα θάλπει τῷδ' ἀνηκέστῳ[9] πυρί;

[1]) Ἐπειδὴ ἡ ἡρωὶς ἐπίστευσεν, ὅτι τὰ ὑπὸ τοῦ ἀγγέλου εἰρημένα ἦσαν ἀληθῆ. Θεωρεῖ τὸν λόγον τῆς Χρυσοθέμιδος ὡς χλεύην.

[2]) Ὁ ἀλλὰ ἐτέθη μετὰ τὸν ὅρκον, ὡς ἀλλαχοῦ μετὰ τὴν κλητικήν.

[3]) Συνάπτεται μετὰ τοῦ λέγω, ὡς ἐν στίχ. 1341 « ἤγγειλας, ὡς ἔοικεν, ὡς τεθνηκότα »

[4]) Μετὰ τὸν ὅρκον ἡ Ἠλέκτρα δὲν νομίζει, ὅτι ἡ ἀδελφὴ ὕβρίζει, ἀλλ' ὅτι εὐπιστος οὖσα ἐγένετο ὄργανον ἄλλου.

[5]) Τὸ ἄγαν λέγεται ἐπὶ ψεκτῆς ὑπερβολῆς.

[6]) Ἀντὶ νὰ εἴπῃ ἐξ ἐμοῦ, ἀλλ' οὐκ ἐξ ἄλλης. Ὁ τε ἐτέθη ἐπὶ ἀντιθέσεως, ὡς ἐν ἀποσπάσμ. Σοφοκλ. 25 « τοιαῦτά τοί σοι πρὸς χάριν τε κοὐ βίᾳ λέγω » καὶ ἐν Οἰδίποδ. ἐπὶ Κολων. 935. Ὅρα, ὅτι ἔθηκε τὸ θηλυκόν, ἄλλης, ἀντὶ τοῦ ἀρσενικοῦ ὡς καὶ ἐν στίχ. 100.

[7]) Τὸ ἰδεῖν σημεῖα δὲν εἶναι λόγος, ἀλλ' ἡ Χρυσόθεμις, ὡς νομίζομεν, μετεχειρίσθη τὴν λέξιν, ἣν καὶ ἡ ἀδελφή, ὡσεὶ ἔλεγε τοῦτο δὲν εἶναι λόγος, ἀλλὰ πρᾶγμα.

[8]) Πίστις εἶναι τεκμήριον, εἰς ὃ δύναταί τις νὰ πιστεύσῃ.

[9]) Ἡ ἐλπίς, ὑφ' ἧς κατέχεται ἡ Χρυσόθεμις, παραβάλλεται πρὸς πῦρ. Ἀλλ' εἰς τὸ ἐπίθετον προσκρούουσι κριτικοί τινες, ἐξ ὧν ὁ μὲν Meineke τρέπει εἰς ἀνελπίστῳ ἢ μᾶλλον ἀνεικάστῳ, ὁ δὲ Nauck εἰς ἀνηφαίστῳ. Κατὰ τὸν τελευταῖον διορθωτὴν προσετέθη τὸ ἐπίθετον πρὸς δήλωσιν, ὅτι τὸ πῦρ κεῖται ἐν μετα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΧΡΥΣΟΘΕΜΙΣ.

πρός νυν θεῶν ἄκουσον, ὡς μαθοῦσά μου[1]
τὸ λοιπὸν ἢ φρονοῦσαν ἢ μώραν λέγῃς.

ΗΛΕΚΤΡΑ.

σὺ δ' οὖν λέγ', εἴ σοι τῷ λόγῳ[2] τις ἡδονή.

ΧΡΥΣΟΘΕΜΙΣ.

καὶ δὴ λέγω σοι πᾶν, ὅσον κατειδόμην.
ἐπεὶ γὰρ ἦλθον πατρὸς ἀρχαῖον[3] τάφον,
ὁρῶ κολώνης[4] ἐξ ἄκρας νεορρύτους
πηγὰς[5] γάλακτος, καὶ περιστεφῆ κύκλῳ
πάντων[6], ὅσ' ἔστιν, ἀνθέων θήκην πατρός.
ἰδοῦσα δ' ἔσχον θαῦμα, καὶ περισκοπῶ

φορικῇ σημασίᾳ, ὡς παρ' Εὐριπίδ. ἐν Ὀρέστ. 621 « ὑφῆψε δῶμ' ἀνηφαίστῳ πυρί ». Τοιοῦτον καὶ τὸ παρ' Αἰσχύλ. ἐν ἀποσπάσμ. 305 « ἄπτεροι Πελειάδες » καὶ ἐν Ἀνθολογ. 6. 321 « Καλλιόπης γὰρ ἄκαπνον ἀεὶ θύος ». Κατὰ τὸν Σχολιαστὴν ὅμως ἐξηγεῖται· « ὡσεὶ ἔλεγεν ἀνιάτῳ ἐλπίδι ». Ὁ δὲ Εὐστάθιος ἐν σελ. 651, 59 ἐξηγεῖ οὕτως· « Ἡ θαλπωρὴ ἔοικε βεβαίαν ἐλπίδα δηλοῦν καὶ οὐκ ἐν κενοῖς θάλπουσαν, ἣν ὁ μὴ ἔχων θάλπεται ἀνηκέστῳ πυρὶ καὶ ἄλλως δὲ κεναῖς ἐλπίσι θερμαίνεται κατὰ τὸν εἰπόντα τραγικόν ». Καὶ ἐν Αἴαντι στ. χ. 50 λέγεται ἀνήκεστος χαρά.

[1]) Ἐπειδὴ περιπίπτει εἰς τὴν σημασίαν τοῦ ἀκούσασα, συνετάχθη πρὸς γενικήν. Ἐν τούτῳ κεῖται ἡ παραίνεσις, ὅτι δὲν πρέπει νὰ κρίνῃ πρὸ τῆς ἀναγκαίας γνώσεως, ὡς ἐν Οἰδίποδ. ἐπὶ Κωλων. 593 « ὅταν μάθῃς μου, νουθέτει, τὰ νῦν δ' ἔα ».

[2]) Περιεμένομεν μᾶλλον γενικήν, ὡς παρ' Ἀντιφάν. Κωμ. 3, 134 « τοῦ μὲν πιεῖν γάρ καὶ φαγεῖν τὰ ἡδονὰς ἔχομεν ὁμοίας ». Ἐὰν εὐχαριστῆσαι κατά τι εἰς τὴν διήγησιν. Ἡ Ἠλέκτρα οὕτω πέποιθεν ὅτι ὁ Ὀρέστης ἀπέθανεν, ὥστε ἐπιτρέπει τὸν λόγον μόνον, καθ' ὅσον δύναται νὰ εὐχαριστηθῇ ἡ διηγουμένη.

[3]) Δέν μοι φαίνεται πιθανὴ ἡ ἑρμηνεία τοῦ Schneider καὶ Wolff ὅτι ὁ τάφος λέγεται ἀρχαῖος διότι ἦτο ἠμελημένος. Ὀρθῶς ἐξηγεῖ ὁ Σχολιαστής· « τὸν ἐκ παλαιοῦ ὄντα προγονικὸν ἡμῶν ». Κατὰ ταύτην τὴν ἔννοιαν λέγονται καὶ πατρῷοι τάφοι.

[4]) Ἐννοεῖ τὸν σωρὸν τοῦ χώματος, ὅστις ἔκειτο ἐπὶ τοῦ τάφου. Νεόρρυτοι δ' εἶναι αἱ νεωστὶ κεχυμέναι.

[5]) Κατὰ τὸν Σχολιαστήν· « Πολὺ γάλα, ὡς τὸ δακρύων πηγὰς ἀντὶ τοῦ πολλὰ δάκρυα ». Ὁ Dindorf ὅμως παρατηρεῖ, ὅτι ἁμαρτάνει ὁ Σχολιαστής, διότι οὐδὲν πλέον σημαίνει ἢ νεόρρυτον γάλα.

[6]) Τὸ περιστεφὴς συνετάχθη πρὸς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μή πού τις ἡμῖν ἐγγὺς ἐγχρίμπτῃ[1] βροτῶν.
ὡς δ' ἐν γαλήνῃ[2] πάντ' ἐδερκόμην τόπον,
τύμβου προσεῖρπον ἄσσον· ἐσχάτης δ' ὀρῶ
πυρᾶς[3] νεώρη βόστρυχον τετμημένον.
κεὐθὺς τάλαιν' ὡς εἶδον, ἐμπαίει τί μοι
ψυχῆς σύνηθες ὄμμα[4], φιλτάτου βροτῶν
πάντων, Ὀρέστου, τοῦθ' ὁρᾶν[5] τεκμήριον·
καὶ χερσὶ βαστάσασα[6] δυσφημῶ μὲν οὔ,
χαρᾷ δὲ πίμπλημ' εὐθὺς ὄμμα[7] δακρύων.
καὶ νῦν θ' ὁμοίως καὶ τότ'[8] ἐξεπίσταμαι
μή του τόδ' ἀγλάϊσμα πλὴν κείνου μολεῖν[9].
τῷ[10] γὰρ προσήκει πλὴν γ' ἐμοῦ καὶ σοῦ τόδε;
κἀγὼ μὲν οὐκ ἔδρασα, τοῦτ' ἐπίσταμαι,

γενικήν, ὡς τὸ πολυστερὴς καὶ ἐπιστερὴς ἐν Οἰδίποδ. τυράνν. 83 «πολυστερῆς ὦδ' εἶρπε παγκάρπου δάφνης» καὶ Ἀρχίλοχ. ἐν ἀποσπάσμ. 21. Ὁ Σχολιαστὴς τὴν θήκην ἐξηγεῖ οὕτως· «Τὴν σορὸν λέγει, ἔνθα τὸ λείψανον ἐτέθη».

1) Ἡ Χρυσόθεμις παρετήρησε πέριξ, μή τις πλησιάσῃ αὐτήν. Ὅρα, ὅτι μετεχειρίσθη τὸ ἡμῖν ἀντὶ τοῦ ἐμοί.

2) Ἐννοεῖται ἡ μετοχὴ ὄντα.

3) Πυρὰ ἐνταῦθα εἶναι ὁ τύμβος· Ὁ Schäfer εἶκασεν, ὅτι πρέπει νὰ γραφῇ ἐσχάτῃ δ' ὁρῶ πυρᾷ, διόρθωσις ὄχι μόνον εἶναι ἀναγκαία διότι εἶναι ἡ συνήθης τοπικὴ γενική, ὡς παρ' Αἰσχ. ἐν Προμηθ. 714 «λαιᾶς δὲ χειρὸς οἱ σιδηροτέκτονες οἰκοῦσι Χάλυβες». Τὰ χειρόγραφα ἔχουσι νεωρῇ, ἀλλὰ προτιμᾶται τὸ νεώρη κατὰ τὸν Ἀρκάδιον 117, 8, διότι εἶναι σύνθετον ἐκ τοῦ νέος καὶ ὄρνυμι, δηλ. νεόρτος. Σημαίνει δὲ νεωστὶ τετμημένον.

4) Ὁ Σχολιαστὴς ἐξηγεῖ· «Ὅραμα, ὃ ἀεὶ ἐφανταζόμην κατὰ ψυχήν». Κτυπᾷ εἰς τὴν ψυχὴν τῆς Χρυσοθέμιδος γνωστὸν θέαμα, δηλ. ἐκ τοῦ χρώματος ἀναγνωρίζει, ὅτι ὁ βόστρυχος ἀνήκει εἰς τὸν Ὀρέστην. Τοιαύτην σημασίαν ἔχει τὸ ὄμμα καὶ ἐν Αἴαντ. 1004 «ὦ δυσθέατον ὄμμα» καὶ ἐν Τραχιν. 203 «ἄελπτον ὄμμα».

5) Τὸ τεκμήριον Ὀρέστου σημαίνει τεκμήριον, ὅτι Ὀρέστης πάρεστι.

6) Σημαίνει ψηλαφήσασα, ἡ δὲ ἑπομένη φράσις ἰσοδυναμεῖ πρὸς τὸ εὐφημῶ μέν. Ἡ Χρυσόθεμις ἐκ τῆς χαρᾶς ἠδύνατο νὰ εἴπῃ λέξεις βλαπτούσας, ἀλλ' ἀπέφυγε τοῦτο διὰ τῆς σιωπῆς.

7) Ἐνταῦθα δηλοῖ τὸν ὀφθαλμόν, ἤτοι ἔχει διάφορον σημασίαν τοῦ προηγουμένου, εἰ καὶ αἱ λέξεις κεῖνται οὕτως ἐγγύς.

8) Ἐννοεῖται τὸ ἐξηπιστάμην.

9) Κατὰ τὸν Wolff κεῖται ἀντὶ τοῦ εἶναι, δυνάμεθα ὅμως νὰ ἐξηγήσωμεν καὶ κυριολεκτικῶς, δηλ. ἐξ ἐκείνου προῆλθεν.

10) Ὁ Σχολιαστὴς παρατηρεῖ· «Τὸ μὲν ἀπὸ τῆς ὄψεως τοῦ βοστρύχου κινεῖσθαι ἐπὶ τὴν ἀλήθειαν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐδ' αὖ σύ· πῶς γάρ; ἦ γε μηδὲ πρὸς θεοὺς[1]
ἔξεστ' ἀκλαύστῳ[2] τῆσδ' ἀποστῆναι στέγης.
ἀλλ' οὐδὲ μὲν δὴ μητρὸς οὕθ' ὁ νοῦς φιλεῖ
τοιαῦτα πράσσειν, οὔτε δρῶσ'[3] ἐλάνθανεν·
ἀλλ' ἔστ' Ὀρέστου ταῦτα τἀπιτίμια[4]. 91
ἀλλ' ὦ φίλη, θάρσυνε[5]· τοῖς αὐτοῖσί τοι
οὐχ αὐτὸς ἀεὶ δαιμόνων παραστατεῖ[6].
νῷν ἦν τὰ πρόσθεν στυγνός,[7] ἡ δὲ νῦν ἴσως
πολλῶν ὑπάρξει κῦρος[8] ἡμέρα καλῶν.

ΗΛΕΚΤΡΑ.

φεῦ, τῆς ἀνοίας[9] ὡς σ' ἐποικτείρω πάλαι. 92

ΧΡΥΣΟΘΕΜΙΣ.

τί δ' ἔστιν; οὐ πρὸς ἡδονὴν λέγω τάδε;

ΗΛΕΚΤΡΑ.

οὐκ οἶσθ' ὅποι γῆς[10] οὐδ' ὅποι γνώμης φέρει.

γελοῖον· πιθανῶς οὖν ἐπάγει ὅτι οὐδενὶ ἄλλῳ ἢ τῷ πάνυ συνημμένῳ κατὰ γένος τὰ τοιαῦτα προσήκει».

[1]) Δηλαδὴ εἰς τοὺς ναοὺς τῶν θεῶν. Ὁ Αἴγισθος αὐστηρῶς ἐκώλυε τὴν Ἠλέκτραν νὰ ἐξέρχηται τῆς οἰκίας.

[2]) Ἔχει ἐνεργητικὴν σημασίαν καὶ σημαίνει ἀτιμωρητεί, ὡς καὶ τὸ ἄψαυστος ἐν Οἰδίποδ. τυράνν. 969.

[3]) Ἐκ τοῦ ἡγουμένου ἐννοεῖται ἡ μήτηρ. Ἔθηκε δὲ τὴν φράσιν, ὡσεὶ προηγεῖτο, μήτηρ οὔτε φιλεῖ ταῦτα πράσσειν. Τὸ ἐλάνθανεν κριτικοί τινες ἔτρεψαν εἰς ἐλάνθαν' ἄν, ἀλλ' ἄνευ τοῦ ἂν εἶναι ἐντονώτερον καὶ εὕρηται καὶ ἀλλαχοῦ, ὡς ἐν Αἴαντ. 183.

[4]) Ὁ Dindorf ἔτρεψεν εἰς τάπιτύμβια, ὅπερ δὲν φαίνεταί μοι πιθανόν. Τὸ ἐπιτίμιον σημαίνει συνήθως τιμωρίαν, ἀλλὰ καὶ τὸ ἐπὶ τιμῇ γιγνόμενον. Ἐπιτίμια ἐνταῦθα εἶναι τὸ γάλα, τὰ ἄνθη καὶ ὁ βόστρυχος.

[5]) Τὸ θαρσύνω εἶναι μεταβατικὸ καὶ ἀμετάβατον, ὡς τὸ βραδύνω. Ἐνταῦθα εἶναι ἀμετάβατον καὶ σημαίνει θάρρει.

[6]) Καθ' Ἡρόδοτον I, 207 «ἐκεῖνο πρῶτον μάθε, ὡς κύκλος τῶν ἀνθρωπηίων ἐστὶ πραγμάτων· περιφερόμενος δὲ οὐκ ἐᾷ ἀεὶ τοὺς αὐτοὺς εὐτυχέειν».

[7]) Ὅταν μὲν τὸ ὄνομα ἔχῃ παθητικὴν σημασίαν, σημαίνει λυπημένος, ὅταν δὲ ἐνεργητικήν, στυγερός, σκληρός, ὡς ἐνταῦθα.

[8]) Ἰσοδυναμεῖ κατὰ τὸν Jacobs πρὸς τήνδε τὴν φράσιν· ἥδε ἡ ἡμέρα κυρώσει πολλὰ ἀγαθά.

[9]) Ἄλλοι τὴν γενικὴν συνάπτουσι μετὰ τοῦ προηγουμένου ἐπιφωνήματος.

[10]) Τοῦτο ἦτο παροιμία, Δίων Χρυσόστομ. 3, 63 «ἔξεστι μηδὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΧΡΥΣΟΘΕΜΙΣ.

πῶς δ' οὐκ ἐγὼ κάτοιδ', ἃ γ' εἶδον ἐμφανῶς ;

ΗΛΕΚΤΡΑ.

τέθνηκεν, ὦ τάλαινα· τἀκείνου[1] δέ σοι
σωτήρι' ἔρρει· μηδὲν ἐς κεῖνόν[2] γ' ὅρα. 925

ΧΡΥΣΟΘΕΜΙΣ.

οἴμοι τάλαινα· τοῦ τάδ' ἤκουσας βροτῶν ;

ΗΛΕΚΤΡΑ.

τοῦ πλησίον[3] παρόντος, ἠνίκ' ὤλλυτο.

ΧΡΥΣΟΘΕΜΙΣ.

καὶ ποῦ 'στιν οὗτος ; θαῦμά τοί μ' ὑπέρχεται.

ΗΛΕΚΤΡΑ.

κατ' οἶκον, ἡδὺς οὐδὲ μητρὶ[4] δυσχερής.

ΧΡΥΣΟΘΕΜΙΣ.

οἴμοι τάλαινα· τοῦ γὰρ ἀνθρώπων ποτ' ἦν 930
τὰ πολλὰ πατρὸς πρὸς τάφον[5] κτερίσματα ;

ΗΛΕΚΤΡΑ.

οἶμαι μάλιστ' ἔγωγε τοῦ τεθνηκότος
μνημεῖ'[6] Ὀρέστου ταῦτα προσθεῖναί τινα.

ΧΡΥΣΟΘΕΜΙΣ.

ὦ δυστυχής· ἐγὼ δὲ σὺν χαρᾷ λόγους[7]

ὁρᾶν τὴν θάλατταν, ἀλλὰ μηδὲ ὅποι γῆς εἶσι, τὸ τοῦ λόγου », Ἀποστόλ. ἐν Παροιμ. 14, 57 « ποῦ γῆς ἢ θαλάττης ὑπῆρχες· ἐπὶ τῶν ἀνοήτων ».

1) Ἡ ἀπ' ἐκείνου προσδοκωμένη σωτηρία ἀφανίζεται, χάνεται·

2) Μὴ ἀποβλέπῃς εἰς ἐκεῖνον τοὐλάχιστον, μὴ περιμένῃς βοήθειαν.

3) Δηλαδὴ ἤκουσα παρ' ἐκείνου, ὁ ὁποῖος ἦτο πλησίον τοῦ Ὀρέστου, ὅτε οὗτος ἔθνησκεν.

4) Ἡ δοτικὴ ἀνήκει καὶ εἰς τὸ ἡδὺς καὶ εἰς τὸ δυσχερής, ὅπερ κατὰ τὸν Σχολιαστὴν ἐγράφετο καὶ δυσμενής. Τὸ δυσχερὴς κυρίως σημαίνει δυσκολομεταχείριστος, εἶναι δὲ ὀχληρός, μισητός, βαρύς.

5) Ἰσοδυναμεῖ πρὸς τὴν φράσιν, δῶρα πρὸς τάφον ἐκτερισμένα.

6) Δηλαδὴ μνημόσυνα. Κατὰ τὸν Τρικλίνιον· « Θανόντος γὰρ ἐκείνου, τιμηθεὶς ὁ βύστρυχος τῆς κεφαλῆς ὑπό τινος τῶν αὐτοῦ φίλων, ἐπετέθη τῷ τάφῳ τοῦ Ἀγαμέμνονος ἵνα τις ὁρῶν αὐτὸν κείμενον, εἰς μνήμην ἀφικνῆται Ὀρέστου ».

7) Νομίζομεν, ὅτι γίνεται ὑπαι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοιούσδ' ἔχουσ' ἔσπευδον, οὐκ εἰδυῖ' ἄρα[1], 935
ἵν' ἦμεν ἄτης· ἀλλὰ νῦν, ὅθ' ἱκόμην,
τά τ' ὄντα πρόσθεν ἄλλα[2] θ' εὑρίσκω κακά.

ΗΛΕΚΤΡΑ.

οὕτως ἔχει σοι ταῦτ'· ἐὰν δέ μοι[3] πίθῃ,
τῆς νῦν παρούσης πημονῆς[4] λύσεις βάρος.

ΧΡΥΣΟΘΕΜΙΣ.

ἦ τοὺς θανόντας;[5] ἐξαναστήσω ποτέ; 940

ΗΛΕΚΤΡΑ.

οὐκ ἔσθ', ὃ γ' εἶπον·[6] οὐ γὰρ ὧδ' ἄφρων ἔφυν.

ΧΡΥΣΟΘΕΜΙΣ.

τί γὰρ κελεύεις, ὧν ἐγὼ φερέγγυος[7];

ΗΛΕΚΤΡΑ.

τλῆναί[8] σε δρῶσαν, ἂν ἐγὼ παραινέσω.

ΧΡΥΣΟΘΕΜΙΣ.

ἀλλ' εἴ τις ὠφέλειά γ', οὐκ ἀπώσομαι[9].

ΗΛΕΚΤΡΑ.

ὅρα, πόνου τοι χωρὶς οὐδὲν εὐτυχεῖ[10]. 945

νιγμός τις πρὸς τὸν λόγον τὸν ἐν τοῖς ἔμπροσθεν. στίχ. 886. Δὲν ἦσαν πράγματα, ἀλλὰ λόγοι.

1) Ἐτέθη τὸ ἄρα πρὸς δήλωσιν, ὅτι νῦν γίνεται ἡ ἀναγνώρισις.

2) Ἐννοεῖ τὸν θάνατον τοῦ ἀδελφοῦ.

3) Ὁ Brunck καὶ ὁ Hermann γράφουσιν, ἐὰν δ' ἐμοὶ πίθῃ. Ἀλλ' οὕτως ἐξαίρεται τὸ πρόσωπον, ἐν ᾧ πρόκειται κυρίως περὶ τῆς πράξεως.

4) Τῆς δυστυχίας τῆς προελθούσης ἐκ τοῦ θανάτου τοῦ Ὀρέστου.

5) Μετεχειρίσθη πληθυντικὸν ἀριθμόν, εἰ καὶ ὁ λογος μόνον περὶ τοῦ ἀδελφοῦ.

6) Ἐν ἄλλαις λέξεσι, δὲν εἶναι τοῦτο ἡ γνώμη μου. Ἀλλ' ὁ Nauck προτείνει νὰ ἐξαλείψωμεν τὸν στίχον, διότι ἡ μὲν πρώτη φράσις εἶναι ἀσαφής, ἡ δὲ δευτέρα περιττή. Ἀλλὰ καὶ οἱ δύο λόγοι δὲν φαίνονται πιθανοί.

7) Κατὰ τὸν Σχολιαστήν· « ὧν ἐγὼ εἰς τὸ πράττειν ἀσφαλὴς εἰμι ».

8) Ἐξαρτᾶται ἐκ τοῦ ἐννοουμένου κελεύω. Τὸ τλῆναι ἔπρεπε νὰ συντάξῃ πρὸς ἀπαρέμφατον, ἀλλ' ὅπως μὴ συμπέσωσι δύο τοιαῦτα, ἔτρεψε τὸ δρᾶν εἰς μετοχὴν κατὰ τὸν Wolff.

9) Ἐννοεῖται ἡ φράσις δρᾶν, ἂν σὺ παραινέσῃς.

10) Τὸ εὐτυχεῖν μετεχειρίσθη ἐπὶ πράγματος, ὡς καὶ τὸ δυστυχεῖν, ἐν Οἰ. ἐπὶ Κολων. 402. Τοῦτο λέγει κατὰ τὸν Ἐπίχαρμον, τῶν πόνων πωλοῦσιν ἁμῖν πάντα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΧΡΥΣΟΘΕΜΙΣ.

ὁρῶ· ξυνοίσω[1] πᾶν, ὅσονπερ ἂν σθένω.

ΗΛΕΚΤΡΑ.

ἄκουε δὴ νῦν, ἦ[2] βεβούλευμαι τελεῖν.
παρουσίαν[3] μὲν οἶσθα καὶ σύ που φίλων,
ὡς οὔτις ἡμῖν ἔστιν, ἀλλ' Ἅιδης λαβὼν
ἀπεστέρηκε καὶ μόνα λελείμμεθον[4]. 950
ἐγὼ δ', ἕως μὲν τὸν κασίγνητον βίῳ
θάλλοντ' ἔτ'[5] εἰσήκουον, εἶχον ἐλπίδας
φόνου ποτ' αὐτὸν πράκτορ'[6] ἵξεσθαι πατρός·
νῦν δ', ἡνίκ' οὐκ ἔτ' ἔστιν, εἰς σὲ δὴ βλέπω,
ὅπως τὸν αὐτόχειρα πατρῴου φόνου
ξὺν τῇδ' ἀδελφῇ[7] μὴ κατοκνήσῃς κτανεῖν,
Αἴγισθον[8]· οὐδὲν γάρ σε δεῖ κρύπτειν μ' ἔτι.
ποῖ[9] γὰρ μενεῖς ῥᾴθυμος, ἐς τίν' ἐλπίδων

τάγα0' οἱ θεοὶ καὶ Πίνδ. ἐν Πυθ. 12, 49 «εἰ δέ τις ὄλβος ἐν ἀνθρώποισιν, ἄνευ καμάτου οὐ φαίνεται».

1) Ὁ Σχολιαστὴς ἐξηγεῖ συμπονήσω.

2) Ἐν ταῖς πλαγίαις ἐρωτήσεσι τίθενται ἀοριστολογικά, ἐνταῦθα δὲ ἀναφορικόν, ὡς ἐν Ἀντιγόν. 547 «ὧν τοὔργον, Ἅιδης χοἱ κάτω συνίστορες» καὶ ἐν Αἴαντ. 1259 «οὐ μαθών, ὃς εἶ φύσιν».

3) Ἡ σύνταξις ἔχει οὕτωσί· καὶ σύ που οἶσθα, ὡς παρουσία μὲν οὔτις φίλων ἡμῖν ἐστιν. Σημειωτέον, ὅτι ὁ Nauck προσκρούει εἰς τὴν λέξιν παρουσίαν· διότι ἡ Ἠλέκτρα νομίζει, ὅτι οὐδόλως ὑπάρχουσι πλέον φίλοι, οὔτε παρόντες, οὔτε ἀπόντες.

4) Τὸ πρῶτον πρόσωπον τοῦ δυϊκοῦ ἀριθμοῦ ἐν τῷ παθητικῷ καὶ μέσῳ τύπῳ εἶναι σπανιώτατον. Παρὰ τῷ Σοφοκλεῖ ὑπάρχει μόνον ἐν Φιλοκτήτ. 1079 καὶ παρ' Ὁμήρ. ἐν Ἰλιάδ. ψ, 485.

5) Εἶναι διόρθωσις τοῦ Reiske, ἥτις ἐπράτησε παρὰ τοῖς νεωτέροις ἐκδόταις· διότι τὰ χειρόγραφα εἶχον θάλλοντά τ'.

6) Ἐνταῦθα σημαίνει τιμωρίαν.

7) Ἀντὶ γὰ εἶπε, σὺν ἐμοί. Παραπλήσιον εἶναι τὸ ἐν Ἀντιγόν. 43 «εἰ τὸν νεκρὸν ξὺν τῇδε κουφιεῖς χερί».

8) Παρετηρήθη, ὅτι ἡ Ἠλέκτρα προτείνει, ὅπως φονεύσωσι μόνον τὸν Αἴγισθον, οὐχὶ δὲ καὶ τὴν Κλυταιμνήστραν. Ἴσως νομίζει, ὅτι δὲν θέλει πείσει τὴν ἀδελφήν, ἵνα μετάσχῃ μητροφονίας. Ὅτι δ' ἡ Ἠλέκτρα ἐπιθυμεῖ νὰ φονευθῇ ἡ μήτηρ, γίνεται δῆλον ἐκ τῶν ἑπειτα.

9) Κατὰ τὸν Σχολιαστὴν σημαίνει, εἰς τίνα χρόνον, ὡς παρ' Ἀριστοφάν. ἐν Λυσ. 526 «ποῖ γὰρ καὶ χρῆν ἀναμεῖναι». Καὶ ὁ Σχολιαστὴς τοῦ Δημοσθένους σελ. 102, 11 «ποῖ ἀναδυόμεθα. ἢ τί μέλλομεν;» ἐξηγεῖ διὰ τοῦ μέχρι τίνος;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βλέψασ' ἔτ' ὀρθήν[1]; ἢ πάρεστι μὲν στένειν
πλούτου πατρῴου κτῆσιν ἐστερημένῃ[2],
πάρεστι δ' ἀλγεῖν ἐς τοσόνδε τοῦ χρόνου
Ἄλεκτρα[3] γηράσκουσαν ἀνυμέναιά τε.
καὶ τῶνδε[4] μέντοι μηκέτ' ἐλπίσῃς ὅπως
τεύξει ποτ'· οὐ γὰρ ὧδ' ἄβουλός ἐστ' ἀνὴρ
Αἴγισθος, ὥστε σόν ποτ' ἢ κἀμὸν γένος
βλαστεῖν ἐᾶσαι, πημονὴν αὑτῷ σαφῆ.
ἀλλ' ἦν ἐπίσπῃ τοῖς ἐμοῖς βουλεύμασιν,
πρῶτον μὲν εὐσέβειαν[6] ἐκ πατρὸς κάτω
θανόντος οἴσει τοῦ κασιγνήτου θ' ἅμα·
ἔπειτα δ', ὥσπερ ἐξέφυς, ἐλευθέρα
καλεῖ[7] τὸ λοιπόν, καὶ γάμων ἐπαξίων
τεύξει· φιλεῖ γὰρ πρὸς τὰ χρηστὰ πᾶς ὁρᾶν.
λόγων γε[8] μὴν εὔκλειαν οὐχ ὁρᾷς ὅσην
σαυτῇ τε κἀμοὶ προσβαλεῖς πεισθεῖσ' ἐμοί;
τίς γάρ ποτ' ἀστῶν ἢ ξένων ἡμᾶς ἰδὼν

1) Δηλαδὴ πᾶσαι αἱ ἐλπίδες κατέπεσαν.

2) Τὸ στερεῖσθαι συνετάχθη πρὸς αἰτιατικήν, ὡς παρ' Εὐριπίδ. ἐν Τρῳάσ. 375 «οὐ γῆς ὅρι' ἀποστερούμενοι» καὶ Θουκυδ. 6, 91.

3) Ἐπιρρηματικῶς μετεχειρίσθη τὸ Ἄλεκτρα καὶ τὸ ἀνυμέναια. Ὅρα, ὅτι ἔθηκεν αἰτιατικὴν μετὰ τὴν προηγηθεῖσαν δοτικὴν (ἐστερημένῃ), ὡς παρ' Εὐριπίδ. ἐν Μηδ. 1237 «δέδοκται μοι παῖδας κτανούσῃ τῇσδ' ἀφορμᾶσθαι χθονὸς καὶ μὴ σχολὴν ἄγουσαν ἐκδοῦναι τέκνα».

4) Δηλαδὴ λέκτρων καὶ ὑμεναίων, ὅπερ ἐξάγεται ἐκ τοῦ Ἄλεκτρα καὶ ἀνυμέναια.

5) Εἶναι παράθεσις εἰς τὴν ὅλην ἔννοιαν.

6) Ἐννοεῖ ἔπαινον εὐσεβείας, ὡς ἀλλαχοῦ φόγον, ἐν Ἀντιγόν. 921 «τὴν δυσσέβειαν εὐσεβοῦσ' ἐκτησάμην». Τὸ κάτω συναπτέον μετὰ τοῦ οἴσει.

7) Μέσος μέλλων ἔχων παθητικὴν σημασίαν.

8) Ἐὰν δὲν ἀποβλέπῃς εἰς τὰ εἰρημένα, ἀλλὰ τοὐλάχιστον δὲν βλέπεις τὴν καλὴν φήμην τῶν λόγων; Παραπλήσιον εἶναι τὸ παρ' Εὐριπίδ. ἐν Ἰφιγέν. ἐν Αὐλιδ. 608 «λόγων εὐφημίαν». Ἡ Ἠλέκτρα μόνον τὰ ἀγαθὰ τῆς πράξεως λέγει, τοὺς δὲ κινδύνους παραλείπει, ὡς συνήθως οἱ παροτρύνοντες εἴς τι ἔργον. Κατὰ τὸν Σχολιαστήν· «Ἀλλ' ἤδει τὸ περίφοβον τῆς Χρυσοθέμιδος, ὥστε ἑκοῦσα τοὺς δειλοτέρους τῶν λόγων ὑπεξεῖλεν, ὥστε μηδὲ εἰς ἔννοιαν τῶν κινδύνων ἐκείνην καταστῆσαι».

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοιοῖσδ' ἐπαίνοις οὐχὶ δεξιώσεται[1]·
ἴδεσθε τώδε τὼ[2] κασιγνήτω, φίλοι,
ὡ τὸν πατρῷον οἶκον ἐξεσῳσάτην,
ὡ τοῖσιν ἐχθροῖς εὖ βεβηκόσιν[3] ποτὲ
ψυχῆς[4] ἀφειδήσαντε προυστήτην φόνου.
τούτω φιλεῖν χρή, τώδε χρὴ πάντας σέβειν,
τώδ' ἔν θ' ἑορταῖς ἔν τε πανδήμῳ[5] πόλει
τιμᾶν ἅπαντας οὕνεκ' ἀνδρείας χρεών.
τοιαῦτά τοι νὼ πᾶς τις ἐξερεῖ[6] βροτῶν,
ζώσαιν θανούσαιν[7] θ' ὥστε μὴ 'κλιπεῖν κλέος.
ἀλλ' ὦ φίλη, πείσθητι[8], συμπόνει πατρί,
σύγκαμν' ἀδελφῷ, παῦσον ἐκ κακῶν ἐμέ,

[1]) Τίς δὲν θὰ δεχθῇ φιλικῶς; Ἡ μεταφορὰ ἐλήφθη ἐκ τῶν διδόντων τὰς δεξιὰς μετὰ φιλοφρονήσεως.

[2]) Ὁ Σχολιαστὴς παρατηρεῖ· «Ἐπὶ τῶν θηλυκῶν τοῖς ἀρσενικοῖς ἄρθροις κέχρηται, ὅπερ σύνηθες Ἀττικοῖς· τὼ γὲρε γάρ φασιν. Καὶ Ὅμηρος ἐν Ἰλιάδ. Ε, 778 ».

[3]) Ὑπὸ τοῦ Ἡσυχίου τὸ εὖ βεβηκότι ἐξηγεῖται διὰ τοῦ εὐσταθεῖ. Ὁ Wolff ὅμως ἐξηγεῖ διὰ τοῦ ζῆν, ἔχειν, ὡς παρ' Ἀρχιλόχ. ἐν Ἀποσπάσμ. 56 « (θεὶ) πολλάκις μάλ' εὖ βεβηκότας ὑπτίους κλίνουσι » καὶ Ἡρόδοτ. 7, 161 « τυραννίδα Κῴων εὖ βεβηκυῖαν ».

[4]) Ἐνταῦθα σημαίνει τὴν ζωήν, ὡς παρὰ Τυρτ. 10, 14 « θνήσκωμεν ψυχέων μηκέτι φειδόμενοι». Ὅρα, ὅτι μετεχειρίσθη τὴν μετοχὴν τοῦ ἀρσενικοῦ γένους ἀντὶ τοῦ θηλυκοῦ, ἀλλ' ἀνάλογα ὑπάρχουσι πολλά, ὡς ἐν στιχ. 1006 λαβόντε, ἐν Οἰδίποδ. ἐπὶ Κολων 1113 καὶ πολλαχοῦ. Ἀφειδήσασαι τῆς ζωῆς τῶν ἐφρόντισαν διὰ τὸν φόνον τοῦ πατρός. Κατὰ τὸν Σχολιαστήν· « τῆς ζωῆς ἀμελήσασαι προστάται ἐγένοντο φόνου ».

[5]) Τὰς πανηγύρεις ἐννοεῖ καὶ τὰς ἄλλας συναθροίσεις τοῦ λαοῦ, ἐν Οἰδίποδ. τυράνν. 1489 « ποίας ἀστῶν ἥξετ' εἰς ὁμιλίας, ποίας δ' ἑορτάς, ἔνθεν οὐ κεκλαυμέναι πρὸς οἶκον ἵξεσθ' ἀντὶ τῆς θεωρίας; » καὶ Λουκιαν ἐν Τοξάρ. I « καὶ ἑορταῖς καὶ πανηγύρεσι τιμῶμεν αὐτούς».

[6]) Συνεταχθη πρὸς διπλῆν αἰτιατικὴν τὸ ῥῆμα, ὡς παρ' Εὐριπίδῃ ἐν Ἀποσπάσμ. 670 « τί γὰρ λέγων μεῖζόν σε ὄνειδος ἐξείποι τις ἄν; ».

[7]) Κατὰ τὸν Schneider δὲν δυνάμεθα νὰ θεωρήσωμεν ὡς δοτικὰς διότι τὸ ἐκλείπειν συντάσσεται πρὸς αἰτιατικήν. Διὰ τοῦτο ἢ πρέπει νὰ λάβωμεν ὡς γενικὰς ἐξαρτωμένας ἐκ τοῦ ἐκλιπεῖν (στίχ. 19) ἢ ὡς γενικὰς ἀπολύτους.

[8]) Μετὰ τέχνης ὁ ποιητὴς συγκεφαλαιοῖ τὰς κυριωτέρας ἐννοίας τοῦ λόγου ἐν τῷ ἐπιλόγῳ. Τὰς δοτικὰς πατρὶ καὶ ἀδελφῷ κατὰ δύο τρόπους δυνάμεθα νὰ συντάξωμεν, ἢ νὰ θεωρήσωμεν ὡς δοτικὰς χαριστικάς, δηλ. συμπόνει καὶ σύγκαμνε ἐμοὶ χάριν τοῦ πατρὸς καὶ τοῦ ἀδελφοῦ, ὡς ποιεῖ ὁ Schneider, ἢ νὰ λάβωμεν ὡς συντακτικὰς τῆς προσθέσεως σύν, ὡς ποιοῦσι πολλοὶ ἑρμηνευταὶ δεχόμενοι τὴν γνώμην τοῦ Musgrave,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παῦσονι δὲ σαυτήν, τοῦτο γιγνώσκουσ', ὅτι
ζῆν αἰσχρὸν αἰσχρῶς τοῖς καλῶς πεφυκόσιν.

ΧΟΡΟΣ.

ἐν τοῖς τοιούτοις[2] ἐστὶν ἡ προμηθία
καὶ τῷ λέγοντι[3] καὶ κλύοντι σύμμαχος.

ΧΡΥΣΟΘΕΜΙΣ.

καὶ πρίν γε φωνεῖν[4], ὦ γυναῖκες, εἰ φρενῶν
ἐτύγχαν' αὕτη μὴ[5] κακῶν, ἐσῴζετ' ἂν
τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σῴζεται.
ποῖ γάρ ποτ' ἐμβλέψασα τοιοῦτον θράσος[6]
αὐτή θ' ὁπλίζει κἄμ' ὑπηρετεῖν[7] καλεῖς;
οὐκ εἰσορᾷς; γυνὴ[8] μὲν οὐδ' ἀνὴρ ἔφυς,
σθένεις δ' ἔλασσον τῶν ἐναντίων χερί.
δαίμων[9] δὲ τοῖς μὲν εὐτυχεῖ καθ' ἡμέραν,

καὶ πρίν γε φωνεῖν, ὦ γυναῖκες, εἰ φρενῶν ἐτύγχαν' αὕτη μὴ κακῶν, ἐσῴζετ' ἂν τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σῴζεται. Ἐσῴζετο τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σῴζεται, ἀντὶ τοῦ ἔσωζε καὶ ἀντὶ τοῦ σῴζει».

καὶ πρίν γε φωνεῖν, ὦ γυναῖκες, εἰ φρενῶν ἐτύγχαν' αὕτη μὴ κακῶν, ἐσῴζετ' ἂν τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σῴζεται. Κατὰ τὸν Σχολιαστήν· «Αἴαν ἐμφατικῶς τῷ θράσει φησὶν αὐτὴν ὁπλίζεσθαι, ὡς μηδὲν ἀμυντήριον αὐτὴν ἔχουσαν ἢ μόνον θράσος». Τὸ θράσος θεωρεῖ ὡς ὅπλισμόν· παραπλήσιον εἶναι τὸ ἐν τῇ Ἀνθολογ. Παλατ. 5, 93 «ὡπλισμαι πρὸς Ἔρωτα περὶ στέρνοισι λογισμόν».

καὶ πρίν γε φωνεῖν, ὦ γυναῖκες, εἰ φρενῶν ἐτύγχαν' αὕτη μὴ κακῶν, ἐσῴζετ' ἂν τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σῴζεται. Περιεμένομεν τὴν φράσιν, κἄμ' ὁπλίζεσθαι καλεῖς, ἀλλὰ μετέβαλε ταύτην.

καὶ πρίν γε φωνεῖν, ὦ γυναῖκες, εἰ φρενῶν ἐτύγχαν' αὕτη μὴ κακῶν, ἐσῴζετ' ἂν τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σῴζεται. Παραπλήσιον λέγει ἡ Ἰσμήνη τῇ Ἀντιγόνῃ, ἐν Ἀντιγόν. 61 «ἀλλ' ἐννοεῖν χρὴ τοῦτο μὲν γυναῖχ' ὅτι ἔφυμεν ὡς πρὸς ἄνδρας οὐ μαχούμενα».

καὶ πρίν γε φωνεῖν, ὦ γυναῖκες, εἰ φρενῶν ἐτύγχαν' αὕτη μὴ κακῶν, ἐσῴζετ' ἂν τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σῴζεται. Κεῖται ἀντὶ τῆς τύχης, δηλ. ὁ θεός ἀντὶ τοῦ δώρου αὐτοῦ, ὡς λέγει ὁ Wolff, Αἰσχύλ. ἐν Πέρσ. 604 «ὅταν δ' ὁ δαίμων εὐροῇ, πεποιθέναι τὸν αὐτὸν ἀεὶ δαίμον' εὑρεῖν τύχης». Κατὰ τὸν Σχολιαστήν· «Τοῦτο τρίτον κεφάλαιον καὶ ἀναγκαιότερον, ὡς οὐδὲ ἐκ παραδόξου κατορθῶσαι ἡμᾶς τὴν ἐπιχείρησιν

καὶ πρίν γε φωνεῖν, ὦ γυναῖκες, εἰ φρενῶν ἐτύγχαν' αὕτη μὴ κακῶν, ἐσῴζετ' ἂν τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σῴζεται. Τὸ ἄρθρον ἐν τῇ δευτέρᾳ μετοχῇ παρελείφθη, ὡς ἐν Αἴαντ. 1250 «οὐ γὰρ οἱ πλατεῖς οὐδ' εὐρύνωτοι φῶτες».

καὶ πρίν γε φωνεῖν, ὦ γυναῖκες, εἰ φρενῶν ἐτύγχαν' αὕτη μὴ κακῶν, ἐσῴζετ' ἂν τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σῴζεται. Πρὸς τὸν λόγον τοῦ χοροῦ παρατηρεῖ ἡ Χρυσόθεμις, ὅτι, καὶ πρὶν νὰ εἴπῃ ἡ Ἠλέκτρα, ἦτο ἀναγκαία ἡ εὐλάβεια.

καὶ πρίν γε φωνεῖν, ὦ γυναῖκες, εἰ φρενῶν ἐτύγχαν' αὕτη μὴ κακῶν, ἐσῴζετ' ἂν τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σῴζεται. Ἡ ἄρνησις συνάπτεται μετὰ τῶν κακῶν, δηλ. καλῶν. Τὸ δὲ μέσον ῥῆμα κεῖται ἀντὶ τοῦ ἐνεργητικοῦ, ὡς παρατηρεῖ ὁ Εὐστάθιος 479, 26 «ἐσῴζετο τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σῴζεται, ἀντὶ τοῦ ἔσωζε καὶ ἀντὶ τοῦ σῴζει».

καὶ πρίν γε φωνεῖν, ὦ γυναῖκες, εἰ φρενῶν ἐτύγχαν' αὕτη μὴ κακῶν, ἐσῴζετ' ἂν τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σῴζεται. Κατὰ τὸν Σχολιαστήν· «Αἴα

ἡμῖν δ' ἀπορρεῖ[1] κἀπὶ μηδὲν ἔρχεται.
τίς οὖν τοιοῦτον[2] ἄνδρα βουλεύων ἑλεῖν,
ἄλυπος[3] ἄτης ἐξαπαλλαχθήσεται;
ὅρα κακῶς πράσσοντε μὴ μείζω[4] κακὰ
κτησώμεθ', εἴ τις τούσδ' ἀκούσεται λόγους.
λύει[5] γὰρ ἡμᾶς οὐδὲν οὐδ' ἐπωφελεῖ
βάξιν[6] καλὴν λαβόντε δυσκλεῶς θανεῖν.
οὐ γὰρ[7] θανεῖν ἔχθιστον, ἀλλ' ὅταν θανεῖν
χρῄζων τις εἶτα μηδὲ τοῦτ' ἔχῃ λαβεῖν.
ἀλλ' ἀντιάζω, πρὶν πανωλέθρους[8] τὸ πᾶν

εἰκός, τῆς τύχης μὴ συλλαμβανομένης».

[1]) Μεταφορικῶς ἐκ τῶν ῥευστῶν, ἅπερ διαῤῥέουσιν, ὡς ἐν Αἴαντ. 523· «τοῦτο δ' ἀπορρεῖ μνήστις εὖ πεπονθότος». Ὁ Σχολιαστὴς παραφράζει διὰ τοῦ ἐλαττοῦται, μαραίνεται.

[2]) Δηλαδὴ τὸν Αἴγισθον εὐτυχοῦντα ἀποφασίζων νὰ φονεύσῃ.

[3]) Εἶναι ὡς τὸ ἄσκευος ἀσπίδων ἐν στίχ. 36. Εἰς δὲ τὸ ἐξαπαλλαχθήσεται ὁ Schneidewin ἐννοεῖ τὴν γενικὴν βουλεύματος, ἢ τοῦ ἑλεῖν.

[4]) Πρόσεχε μήπως, ἐν ᾧ ἤδη δυστυχοῦμεν, ἀποκτήσωμεν μεγαλειτέρας δυστυχίας.

[5]) Ὁ Σχολιαστὴς ἐξηγεῖ· «οὐ λυσιτελεῖ γὰρ ἡμῖν». Τὴν ἑπομένην αἰτιατικὴν ὁ Hartung ἔτρεψεν εἰς δοτικήν, ἡμῖν, ἀλλ' ὁ Dindorf παρατηρεῖ, ὅτι ἡ αἰτιατικὴ ἐτέθη διὰ τὸ ὠφελεῖ, ὡς ἐν Οἰδίποδ. ἐπὶ Κολ. 1330 «ὡς μ' ἐξέωσε κἀπεσύλησεν πάτρας» καὶ ἐν Ἀντιγόν. 537 «καὶ ξυμμετίσχω καὶ φέρω τῆς αἰτίας».

[6]) Βάξις εἶναι ἡ φήμη, περὶ ἧς λέγει ἡ Χρυσόθεμις, διότι ἡ Ἠλέκτρα ἐπέδειξε τὴν εὔκλειαν λόγων ἐν στίχ. 973. Κατὰ τὸν Σχολιαστὴν τὸ δυσκλεῶς θανεῖν σημαίνει· «τὸ μετ' αἰσχρᾶς τιμωρίας ἀποθανεῖν».

[7]) Ὁ στίχος οὗτος καὶ ὁ ἑπόμενος ὑπὸ μὲν τοῦ Nauck ἐτέθησαν ἐν ἀγκύλαις, ὑπὸ δὲ τοῦ Volff ἐξηλείφθησαν· διότι ὁ κοινὸς οὗτος τόπος οὔτε εἰς τὸ ἦθος τῆς Χρυσοθέμιδος, οὔτε εἰς τὴν συνέχειαν τοῦ λόγου αὐτῆς ἁρμόζει. Ἀφ' οὗ διισχυρίσθη, ὅτι ἡ ἐπιχείρησις τῆς Ἠλέκτρας εἰς ἄτιμον θάνατον θέλει καταλήξει, δὲν ἠδύνατο τὸν διισχυρισμὸν τοῦτον διὰ ταύτης τῆς προτάσεως νὰ αἰτιολογήσῃ. Ἄλλως ἡ δειλὴ Χρυσόθεμις δὲν ἔχει τὸν ἠρωϊσμὸν νὰ περιφρονήσῃ τὸν θάνατον. Ἀλλ' ὁ Σχολιαστὴς εὐφυῶς ἐπειράθη νὰ συνάψῃ τοῖς ἡγουμένοις· «Οὐ τὸ τοῦ θανάτου δεινόν ἐστιν, ἀλλ' ὅταν ἐπιθυμῶν τις ἀποθανεῖν, ὥστε τὰς παρούσας κολάσεις ἐκφυγεῖν, τότε μηδὲ τούτου τύχῃ· τοιαῦτα οὖν πεισόμεθα, ὧν ὁ θάνατος αἱρετώτερος». Νομίζομεν, ὅτι ἡ πρότασις αὕτη ἐξηγεῖ τὸ δυσκλεῶς, δηλ. οὐ μόνον θέλομεν φονευθῆ, ἀλλὰ καὶ θέλομεν ὑποστῆ χεῖρον καὶ αὐτοῦ τοῦ θανάτου. Ἡ Χρυσόθεμις ὄντως δὲν ἔχει ἠρωϊσμόν, ἀλλὰ διὰ τοῦτο δὴ φοβεῖται ἐκεῖνο, ὅπερ εἶναι φοβερώτερον καὶ αὐτοῦ τοῦ θανάτου.

[8]) Οὐχὶ ὀρθῶς ὁ Schneider τὸ πανωλέθρους ἀναφέρει εἰς τὸν Αἴγισθον καὶ τὴν Κλυταιμνήστραν καὶ θεωρεῖ ὡς ὑποκείμενον τῶν ἑπομέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡμᾶς τ' ὀλέσθαι κἀξερημῶσαι γένος,
κατάσχες ὀργήν. καὶ τὰ μὲν[1] λελεγμένα
ἄρρητ' ἐγώ σοι κάτελῆ[2] φυλάξομαι,
αὐτὴ δὲ νοῦν σχὲς ἀλλὰ[3] τῷ χρόνῳ ποτέ,
σθένουσα μηδὲν[4] τοῖς κρατοῦσιν εἰκαθεῖν.

ΧΟΡΟΣ.

πείθου· προνοίας[5] οὐδὲν ἀνθρώποις ἔφυ 1015
κέρδος λαβεῖν ἄμεινον οὐδὲ νοῦ σοφοῦ.

ΗΛΕΚΤΡΑ.

ἀπροσδόκητον[6] οὐδὲν εἴρηκας· καλῶς δ'
ἥδη σ' ἀπορρίψουσαν, ἀπηγγελλόμην[7].
ἀλλ' αὐτόχειρί μοι μόνῃ τε δραστέον
τοὔργον τόδ'· οὐ γὰρ δὴ κενόν[8] γ' ἀφήσομεν. 1020

ΧΡΥΣΟΘΕΜΙΣ.

φεῦ·
εἶθ' ὤφελες τοιάδε τὴν γνώμην πατρὸς

νων ἀπαρεμφάτων, διότι εἶναι κατηγορηματικὸν εἰς τὸ ἡμᾶς. Κατὰ τὸν Wunder τὸ πᾶν πρέπει νὰ συνάψωμεν μετὰ τοῦ γένος, ὅπερ δὲν ἶναι ὀρθόν, διότι, ὡς λέγει ὁ Wecklein, προηγεῖται τὸ παν ωλέθρους. Τὸ πᾶν δέον νὰ λάβωμεν ὡς ἐπιτατικὸν κατὰ τὸν Σχολιαστήν, ὅστις ἐξηγεῖ διὰ τοῦ παντάπασιν.

1) Τὴν ἀπόδοσιν ἔχει ἐν νῷ, αὐτὴ δέ.

2) Ἀτελῆ σημαίνει ἄπρακτα, ἄνευ ἀποτελέσματος.

3) Κεῖται ἐν τῇ σημασίᾳ βεβαιωτικοῦ, ὡς ἐν Τραχιν. 201 «ἔδωκας ἡμῖν ἀλλὰ σὺν χρόνῳ χαράν».

4) Ἡ ἄρνησις συνάπτεται μετὰ τῆς προηγουμένης μετοχῆς· ἔχε νοῦν, ἐπειδὴ δὲν ἔχεις δύναμιν νὰ ὑποτάσσηται εἰς τοὺς ἄρχοντας. Τὸ εἰκαθεῖν ἐξαρτᾶται ἐκ τοῦ νοῦν σχές, ὡς ἐν στίχ. 1465 «νοῦν ἔσχον, ὥστε συμφέρειν τοῖς κρείσσοσιν».

5) Ἡ σύνταξις ἔχει οὕτως· οὐδὲν κέρδος ἄμεινον λαβεῖν προνοίας καὶ νοῦ σοφοῦ. Παραπλήσιον λέγει ἐν Ἀντιγόν. 683 «θεοὶ φύουσιν ἀνθρώποις φρένας, πάντων ὅσ' ἔστι κτημάτων ὑπέρτατον». Ὁ χορὸς ἐπαναλαμβάνει τὴν περὶ προνοίας ἔννοιαν, ἣν εἶπε καὶ ἐν στίχ. 990.

6) Τὴν ἀρνητικὴν ἀπόκρισιν ἡ Ἠλέκτρα ἠδύνατο νὰ προσδοκᾷ ἐκ τοῦ ἤθους τῆς Χρυσοθέμιδος. Ἡ ἐκβλιψις τοῦ δὲ ἐν τῷ τέλει τοῦ τριμέτρου εὑρηται πολλαχοῦ, ὡς ἐν Οἰδίποδ. τυραννν. 29. 785. 791. 1224 καὶ ἀλλαχοῦ.

7) Ὅσα προέτεινον, ἤτουν.

8) Κατὰ τὸν Σχολιαστὴν σημαίνει ἄπρακτον, καὶ ἐν Ἰλιάδ. Β, 298 «αἰσχρὸν τοι δηρόν τε μένειν κενεόν τε νέεσθαι».

9) Ὁ οὕτως εὐχόμενος πέποιθεν, ὅτι ἡ εὐχὴ αὐτοῦ δὲν δύναται νὰ ἐκτελεσθῇ, ἀφ' οὗ δὲν ἐγένετο ἐν τῷ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θνήσκοντος εἶναι· πᾶν γὰρ ἂν κατειργάσω.

ΗΛΕΚΤΡΑ.

ἀλλ' ἣν φύσιν[2] γε τόν τε νοῦν ἥσσων τότε.

ΧΡΥΣΟΘΕΜΙΣ.

ἄσκει τοιαύτη[3] νοῦν δι' αἰῶνος μένειν.

ΗΛΕΚΤΡΑ.

ὡς οὐχὶ συνδράσουσα νουθετεῖς τάδε. 1025

ΧΡΥΣΟΘΕΜΙΣ.

εἰκὸς γάρ, ἐγχειροῦντα[4] καὶ πράσσειν κακῶς.

ΗΛΕΚΤΡΑ.

ζηλῶ σε τοῦ νοῦ[5], τῆς δὲ δειλίας στυγῶ.

παρελθόντι, ὡς παρ' Εὐριπίδ. ἐν ἀρχῇ τῆς Μηδ. «Εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος». Ἡ εὐχὴ λέγεται μετὰ εἰρωνείας.

1) Κατὰ τὸν Schneider καὶ τὸν Schneidewin σημαίνει, ὅτι, ἂν ἡ Ἠλέκτρα εἶχε τοιαύτην γνώμην, αἱ ἄλλαι ἀδελφαὶ καὶ ὁ Ὀρέστης ἤθελον φονευθῇ ὑπὸ τοῦ Αἰγίσθου καὶ τῆς Κλυταιμνήστρας, ὡς ὁ Ἀγαμέμνων. Ὅσονδήποτε εἰρωνικὴ καὶ ἂν ἦναι ἡ εὐχή, δὲν ἠδύνατο, ὡς νομίζομεν, νὰ ποιήσῃ ταύτην ἡ Χρυσόθεμις. Ὀρθῶς δ' ὁ Volff ἑρμηνεύει· σὺ αὐτὴ δὲν εἶχες πάντοτε τὴν αὐτὴν γνώμην, διότι ἄλλως ἤθελες σώσει τὸν πατέρα, ἀφ' οὗ τοσαύτην δύναμιν ἀποδίδεις εἰς σεαυτήν. Λοιπὸν διὰ τοῦ κατεργάζεσθαι δηλοῖ τὴν σωτηρίαν τοῦ Ἀγαμέμνονος καὶ οὐχὶ τὸν φόνον τῶν ἀδελφῶν.

2) Ἐκ τοῦ ἡγουμένου στίχου ἐννοεῖται τὸ τοιάδε. Ἀλλὰ τί σημαίνει ἡ φύσις; Ὁ Wolf ἐνόμισεν, ὅτι σημαίνει τὸ σῶμα, ὡς παρὰ Πινδάρ. ἐν Νεμ. 6, 4 «προσφέρομέν τι ἢ μέγαν νόον ἤτοι φύσιν ἀθανάτοις» καὶ Πλάτ. ἐν Συμποσ. 181 c, ἔνθα λέγει περὶ τοῦ ἀνδρικοῦ γένους «τὸ φύσει ἐρρωμενέστερον καὶ νοῦν μᾶλλον ἔχον». Νομίζομεν, ὅτι τοῦτο εἶναι ὅλως ἡμαρτημένον, διότι τὸ σῶμα τῆς Ἠλέκτρας δὲν ἦτο τοιοῦτον, ὥστε νὰ κρατήσῃ τοῦ Αἰγίσθου. Καθ' ἡμᾶς σημαίνει τὸ ἔμφυτον, τὸ ἦθος, δηλ. τὸ τολμηρὸν ἦθος. Ἐμμέσως ἡ ἡρωὶς προσβάλλει τὴν ἀδελφὴν ὡς ἀνόητον, διότι ἔχει νοῦν, ὃν κακίζει.

3) Δηλαδὴ ἥσσων. Κατὰ τὸν Σχολιαστήν· «Ἐπιτήδευε τοιαύτη κατὰ τὴν φρόνησιν διὰ βίου μένειν, οἵα ὑπῆρχες τότε». Ἡ Χρυσόθεμις ἀποδίδωσι τὴν προσβολὴν οἱονεὶ λέγουσα· τότε εἶχες νοῦν καὶ νῦν εἶσαι ἀνόητος.

4) Οὐχὶ ἐγχειροῦσαν, διότι λέγει γενικῶς. Ἐκ τοῦ ἑπομένου κακῶς ἐννοεῖται ἡ αἰτιατικὴ κακά. Τὸ πλῆρες ὑπάρχει ἐν Σοφοκλ. Ἀποσπάσμ. 11 «εἰ δεῖν' ἔδρασας, δεινὰ καὶ παθεῖν σε δεῖ». Ὁ Σχολιαστὴς ἐξηγεῖ· «Εἰκὸς γὰρ τὸν κακῶς ποιεῖν ἐπιχειροῦντα καὶ πάσχειν κακῶς».

5) Ῥήματα δηλοῦντα πάθος δέχονται γενικήν, δι' ἣς ἐμφαίνεται τὸ αἴτιον τοῦ πάθους καὶ ἤτις ἠδύνατο νὰ ἔχῃ καὶ τὴν ἕνεκα, Ἰσοκράτ. Εὐαγόρ. 1070 «ὥστε τοὺς ἀφικνουμένους μὴ μᾶλλον Εὐαγόραν τῆς ἀρχῆς ζηλοῦν, ἢ τοὺς ἀρχομένους

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ΧΡΥΣΟΘΕΜΙΣ.

ἀνέξομαι[1] κλύουσα χὤταν εὖ λέγῃς.

ΗΛΕΚΤΡΑ.

ἀλλ' οὔ ποτ' ἐξ ἐμοῦ γε μὴ πάθῃς τόδε[2].

ΧΡΥΣΟΘΕΜΙΣ.

μακρὸς τὸ κρῖναι[3] ταῦτα χὠ λοιπὸς χρόνος. 1030

ΗΛΕΚΤΡΑ.

ἄπελθε· σοὶ γὰρ ὠφέλησις οὐκ ἔνι.

ΧΡΥΣΟΘΕΜΙΣ.

ἔνεστιν· ἀλλὰ σοὶ μάθησις οὐ πάρα.

ΗΛΕΚΤΡΑ.

ἐλθοῦσα μητρὶ ταῦτα πάντ' ἔξειπε[5] σῇ.

ΧΡΥΣΟΘΕΜΙΣ.

οὐδ' αὖ τοσοῦτον[6] ἔχθος ἐχθαίρω σ' ἐγώ.

ΗΛΕΚΤΡΑ.

ἀλλ' οὖν ἐπίστω γ',[7] οἵ μ' ἀτιμίας ἄγεις. 1035

τῆς ὑπ' ἐκείνου βασιλείας». Ὅτι τοῦτο λέγει εἰρωνικῶς, πρόδηλον.

1) Εἶναι βραχυλογία ἀντὶ· ἀνέχομαι κλύουσα. Ὅτι κακῶς λέγεις με· ἀνέξομαι κλύουσα χὤταν. Δὲν ἑρμηνεύει ὅμως ὀρθῶς ὁ Volff λέγων, ὅτι ἡ Χρυσόθεμις εἶναι ἀδιάφορος καὶ πρὸς τὸν ψόγον καὶ πρὸς τὸν ἔπαινον τῆς ἀδελφῆς, διότι ὁ λόγος ὑπαινίσσεται, ὅτι ἀ ἔλθῃ χρόνος, καθ' ὃν θέλει ἐπαινεῖ τὴν δειλίαν τῆς Χρυσοθέμιδος. Τὸ ἀνέχεσθαι, ὡς νομίζομεν, ἁρμόζει καὶ εἰς τὰς δύο περιστάσεις· διότι καὶ ὅταν ἡ Ἠλέκτρα παθοῦσα ἐπαινῇ τὴν δειλίαν, ἡ Χρυσόθεμις θέλει ἔχει ἀφορμὴν νὰ μὴ ἀνέχηται τὸν ἀνωφελῆ ἔπαινον.

2) Δηλαδὴ τὸ εὖ λέγειν τὴν δειλίαν σου. Ἐν τισι χειρογράφοις εὑρηται μάθῃς, ὅπερ δικαιως ἀποδοκιμάζεται,

3) Τὸ ἀπαρέμφατον ἐξαρτᾶται ἐκ τοῦ μακρός. Ἔλαβε δὲ τὸ ἄρθρον, ὡς ἐν στίχ. 1076 «τό τε μὴ βλέπειν ἕτοιμα». Καὶ ὁ μέλλων χρόνος εἶναι ἱκανῶς μακρός, ὥστε δὲν εἶναι ἀνάγκη ἐν τῷ παρόντι νὰ λυθῇ ἡ διαφορά. Εἰκάζομεν, ὅτι ταῦτα λέγουσα ἡ Χρυσόθεμις ἔδειξε σημεῖα, ὅτι ἀναχωρεῖ, ὡς δεικνύει ὁ λόγος οὗτος καὶ ὁ ἑπόμενος στίχος προσεπιμαρτυρεῖ.

4) Ἡ μὲν Ἠλέκτρα ἐνόει ὠφέλειαν διὰ τῆς χειρός, ἡ δὲ Χρυσόθεμις ἐννοεῖ ὅ,τι ἀπὸ τῆς συμβουλῆς.

5) Ἐπὲ φανερὰ εἰς τὴν σὴν μητέρα, δηλ. ὅτι προτίθεμαι νὰ φονεύσω τὸν Αἴγισθον. Μετὰ πικρίας εἶπε μητρὶ σῇ, ὡσεὶ ἔλεγεν, ὅτι εἶσαι ἀξία τῆς μητρός σου.

6) Τοσοῦτον, ὥστε νὰ καταδώσω τὴν ὑπόθεσιν εἰς τὴν μητέρα.

7) Ἡ Χρυσόθεμις εἶπεν, ὅτι δὲν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΧΡΥΣΟΘΕΜΙΣ.

ἀτιμίαι μὲν οὔ, προμηθίας δέ σου.

ΗΛΕΚΤΡΑ.

τῷ[2] σῷ δικαίῳ δῆτ' ἐπισπέσθαι με δεῖ;

ΧΡΥΣΟΘΕΜΙΣ.

ὅταν γὰρ[3] εὖ φρονῇς, τόθ' ἡγήσει σὺ νῷν.

ΗΛΕΚΤΡΑ.

ἦ δεινόν, εὖ λέγουσαν[4] ἐξαμαρτάνειν.

ΧΡΥΣΟΘΕΜΙΣ.

εἴρηκας ὀρθῶς, ᾧ σὺ πρόσκεισαι κακῷ[5]. 1040

ΗΛΕΚΤΡΑ.

τί δ'[6]; οὐ δοκῶ σοι ταῦτα σὺν δίκῃ λέγειν;

ἔχει τοσαύτην ἔχθραν κατὰ τῆς ἀδελφῆς. Ἀλλ' αὕτη παρατηρεῖ, ὅτι καὶ τοῦτο εἶναι ἔχθρα, τὸ νὰ θέλῃ νὰ φέρῃ αὐτὴν εἰς παράβασιν τοῦ καθήκοντος.

[1]) Κυρίως ἔπρεπε νὰ εἴπῃ, οὐκ εἰς ἀτιμίαν, ἀλλ' εἰς προμηθίαν. Ἀλλ' ἡ Χρυσόθεμις ἐπαναλαμβάνουσα τὴν γενικὴν ποιεῖ τὴν ἀντίθεσιν ἐντονωτέραν, ὡσεὶ ἔλεγεν, ἡ ἀτιμία σου ἔπρεπε νὰ ὀνομάζηται προμηθία. Κατὰ τὸν Schneidewin ἡ διαίρεσις τοῦ στίχου εἰς δύο ἡμίσεα καὶ ἡ ὁμοφωνία ὀξύνει τὸν σαρκασμόν.

[2]) Ὀρθῶς ἐξηγεῖ ὁ Σχολιαστής· «Τῷ νομιζομένῳ ὑπὸ σοῦ δικαίῳ».

[3]) Ὁ σύνδεσμος αἰτιολογεῖ παραλειφθεῖσαν πρότασιν. Βεβαίως πρέπει νὰ ἀκολουθήσῃς (ὡς οὖσα φρενῶν κακῶν).

[4]) Γεννᾶται τὸ ζήτημα, ἂν τὸ εὖ λέγουσα πρέπῃ νὰ ἀποδώσωμεν εἰς τὴν Χρυσόθεμιν ἢ εἰς τὴν Ἠλέκτραν. Οὕτω τὴν πρώτην ἀποδίδων ὁ Σχολιαστὴς ἐξάγει τοιάνδε ἔννοιαν· «Δεινόν ἐστι σύμφορα δοκοῦσαν συμβουλεύειν ἄδικα πράσσειν καὶ ἁμαρτάνειν». Τὴν ἑρμηνείαν ταύτην δέχονται ὁ Vunder καὶ ὁ Hartung, ὀρθότερον ὅμως ἀποδίδεται εἰς τὴν Ἠλέκτραν ὑπὸ τοῦ Döderlein, τοῦ Dindorf καὶ ἄλλων. Ὁ πρῶτος ἐξηγεῖ διὰ τῆς φράσεως, miserum est bene suadere et non persuadere. Κατὰ τὴν ἑρμηνείαν ταύτην ἡ Ἠλέκτρα δισχυρίζεται, ὅτι νῦν εὖ φρονεῖ καὶ εὖ λέγει, ἀλλὰ δυστυχῶς δὲν πείθει, ἤτοι ἀποτυγχάνει τοῦ σκοποῦ.

[5]) Κακὸν ἐνταῦθα εἶναι τὸ ἐξαμαρτάνειν. Ὁ Schneider καὶ ὁ Schneidewin νομίζουσιν ὅτι τὸ ἐξαμαρτάνειν ἡ Χρυσόθεμις λαμβάνει ἐν ἄλλῃ σημασίᾳ, δηλ. τοῦτο ἴσως εἶναι τὸ ἁμάρτημά σου, ἤτοι νὰ λέγῃς ὀρθῶς καὶ νὰ πράττῃς διαστρόφως. Ἡμεῖς νομίζομεν, ὅτι καὶ ἡ Χρυσόθεμις ἐν τῇ αὐτῇ σημασίᾳ ἐννοεῖ τὸ ῥῆμα, δηλ. ὀρθῶς εἶπες περὶ τῆς ἐλλείψεώς σου, ὅτι λέγεις ὀρθοὺς λόγους, οἱ ὁποῖοι ἀποτυγχάνουσιν, διότι οἱ ὀρθοὶ λόγοι δὲν πράγμα ὁποιοῦνται πάντοτε. Ὅτι ἡ ἑρμηνεία ἡμῶν εἶναι πιθανή, γίνεται δῆλον ἐκ τῶν ἑπομένων.

[6]) Ἡ Ἠλέκτρα ἐκπλήσσεται νομίζουσα, ὅτι οἱ λόγοι αὐτῆς δὲν εἶναι ὀρθοί, ἀλλ' ἡ Χρυσόθεμις ἀμφισβητεῖ οὐχὶ τὴν ὀρθότητα τῶν λόγων, ἀλλὰ τὴν ἐφαρμογήν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΧΡΥΣΟΘΕΜΙΣ.

ἀλλ' ἔστιν ἔνθα χἡ δίκη βλάβην φέρει[1].

ΗΛΕΚΤΡΑ.

τούτοις ἐγὼ ζῆν τοῖς νόμοις[2] οὐ βούλομαι.

ΧΡΥΣΟΘΕΜΙΣ.

ἀλλ' εἰ ποιήσεις ταῦτ', ἐπαινέσεις ἐμέ[3].

ΗΛΕΚΤΡΑ.

καὶ μὴν ποιήσω γ', οὐδὲν ἐκπλαγεῖσά σε.

ΧΡΥΣΟΘΕΜΙΣ.

καὶ τοῦτ' ἀληθές, οὐδὲ βουλεύσει πάλιν[4];

ΗΛΕΚΤΡΑ.

βουλῆς γάρ οὐδέν ἐστιν ἔχθιον κακῆς[5].

ΧΡΥΣΟΘΕΜΙΣ.

φρονεῖν[6] ἔοικας οὐδὲν ὧν ἐγὼ λέγω.

ΗΛΕΚΤΡΑ.

πάλαι[7] δέδοκται ταῦτα κοὐ νεωστί μοι.

ΧΡΥΣΟΘΕΜΙΣ.

ἄπειμι τοίνυν· οὔτε γὰρ σὺ τἄμ' ἔπη
τολμᾷς ἐπαινεῖν, οὔτ' ἐγὼ τοὺς σοὺς τρόπους.

ΗΛΕΚΤΡΑ.

ἀλλ' εἴσιθ'· οὔ σοι[8] μὴ μεθέψομαί ποτε,

[1]) Δέχεται τὴν διαφωνίαν τῶν λόγων πρὸς τὰ ἔργα.

[2]) Ἐννοεῖ τὸ ἄλλα λέγειν καὶ ἄλλα πράττειν.

[3]) Ἀντὶ νὰ εἴπῃ τὰς ἐμὰς συμβουλάς. Κατὰ τὸν Σχολιαστήν· «Οἷον τοῖς δεινοῖς περιπεσοῦσα ἐπαινέσεις με, σύμφορά σοι βουλεύσασαν».

[4]) Ὁ Σχολιαστὴς ἐξηγεῖ· «εἰς τοὐπίσω, εἰς τὸ ἐναντίον». Δὲν θὰ μεταβάλῃς τὸ σχέδιόν σου.

[5]) Βεβαίως οὐχί, διότι δὲν θὰ ἀλλαξω τὴν ἀγαθὴν βουλὴν ἀντὶ τῆς κακῆς.

[6]) Οὐχὶ ὀρθῶς ὁ Brunck ἑρμηνεύει· φαίνεσαι, ὅτι δὲν καταλαμβάνεις τι ἐκ τούτων, τὰ ὁποῖα λέγω. Φρονεῖν τά τινος ἰσοδυναμεῖ πρὸς τὸ ἴσον φρονεῖν τινι, δηλ. ἔχειν τὰ αὐτὰ φρονήματα.

[7]) Ἡ διαφορὰ τῶν φρονημάτων ὑπάρχει πρὸ πολλοῦ.

[8]) Ὁ μὲν Nauck εἴκασεν, ὅτι πρέπει νὰ γραφῇ οὐχὶ σοὶ ἢ οὔτοι σοί, ὁ δὲ Monk οὐ γάρ σοι. Τὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐδ' ἦν σφόδρ' ἱμείρουσα[1] τυγχάνῃς, ἐπεὶ
πολλῆς ἀνοίας καὶ[2] τὸ θηρᾶσθαι κενά.

ΧΡΥΣΟΘΕΜΙΣ.

ἀλλ' εἰ σεαυτῇ τυγχάνεις δοκοῦσά τι[3] 1055
φρονεῖν, φρόνει τοιαῦθ'· ὅταν γὰρ ἐν κακοῖς
ἥδῃ βεβήκῃς, τἄμ' ἐπαινέσεις ἔπη[4].

ΧΟΡΟΣ.

Στροφὴ ἀ.

τίς τοὺς ἄνωθεν φρονιμωτάτους
οἰωνοὺς[6] ἐσορώμενοι τροφᾶς 1059
κηδομένους ἀφ' ὧν[7] τε βλάστωσιν ἀφ' ὧν τ' ὄνη-
[σιν εὕρωσι,
τάδ' οὐκ ἐπ' ἴσας[8] τελοῦμεν; 1060—62

οὐ μὴ φέρεται πρὸς μέλλοντα τῆς ὁριστικῆς, ὡς ἐν Οἰδίποδ. ἐπὶ Κολων. 176 « οὗτοι μή ποτέ σ' ἄκοντά τις ἄξει», Πλάτ. ἐν Κρίτων. 44 Β «ἐστερῆσθαι ἐπιτηδείου, οἷον οὐδένα μή ποτε εὑρήσω » καὶ ἀλλαχοῦ.

1) Τὸ ῥῆμα παραγόμενον ἐκ τοῦ ἵμερος σημαίνει ἐπιθυμεῖν, ὡς καὶ ἐν Οἰδίποδ. τυράνν. 587 « οὔτ' αὐτὸς ἱμείρων ἔρυν τύραννος εἶναι ».

2) Εἶναι ἐπιδοτικὸς ὁ καί, ὅηλ. οὐ μόνον τὸ πράττειν, ἀλλὰ καὶ τὸ θηρᾶσθαι· ἀδύνατα εἶναι ἴδιον ἀνοήτων. Ἡ φράσις θηρᾶν ἀδύνατα ἦτο παροιμία.

3) Κατὰ τὸν Schneider συνάπτεται μετὰ τοῦ φρονεῖν καὶ σημαίνει ἔχειν μεγάλην διάνοιαν.

4) Κατὰ τὸ ὁμηρικόν, ῥεχθὲν δέ τε νήπιος ἔγνω. Μετὰ τοὺς λόγους τούτους ἡ μὲν Χρυσόθεμις ἀπὸ τῆς μέσης θύρας εἰσῆλθεν εἰς τὰ ἀνάκτορα, ἡ δὲ Ἠλέκτρα ἔμεινεν ἐν τῇ σκηνῇ περίλυπος.

5) Ἐν τῷ δευτέρῳ στασίμῳ ὁ χορὸς ὑμνεῖ μὲν τὴν εὐσέβειαν τῆς Ἠλέκτρας ἀποφασισάσης νὰ τιμωρήσηται τὸν φόνον τοῦ πατρὸς καὶ ἀποδοκιμάζει τὴν γνώμην τῆς Χρυσοθέμιδος, ἥτις δὲν μιμεῖται τοὺς πελαργοὺς κατὰ τὴν εὐσέβειαν. Λέγει τοὺς ἄνωθεν ἀντὶ τοὺς ἄνω, τοὺς ἐν τῷ ἀέρι, ὡς ἐξηγεῖ ὁ Σχολιαστής. Ὁμοίως οἱ κάτω θεοὶ λέγονται οἱ κάτωθεν ἐν Ἀντιγόν. 1070.

6) Ἡ γηροκομία ἀποδίδοται μὲν καὶ εἰς τοὺς ἀέροπας, ἀλλὰ κατ' ἐξοχὴν εἰς τοὺς πελαργούς. Ἐντεῦθεν καὶ ἡ ἀπόδοσις τῆς ἀνατροφῆς λέγεται ἀντιπελαργεῖν, ἀντιπελάργωσις καὶ πελαργικοὶ νόμοι, Ἀριστοτέλ. Ἱστορ. ζώων 9, 13 « περὶ μὲν τῶν πελαργῶν, ὅτι ἀντεκτρέφονται, θρυλεῖται παρὰ πολλοῖς· φασὶ δέ τινες καὶ τοὺς ἀέροπας ταὐτὸ τοῦτο ποιεῖν, καὶ ἀντεκτρέφεσθαι ὑπὸ τῶν ἐκγόνων οὐ μόνον γηράσκοντας, ἀλλὰ καὶ εὐθὺς ὅταν οἷοί τ' ὦσι· τὸν δὲ πατέρα καὶ τὴν μητέρα μένειν ἔνδον», Ἀριστοφάν. ἐν Ὄρνισ. 1355 «ἔπην ὁ πατὴρ ὁ πελαργὸς ἐκπετησίμους πάντας ποιήσῃ τοὺς πελαργιδῆς τρέφων, δεῖ τοὺς νεοττοὺς τὸν πατέρα πάλιν τρέφειν ».

7) Δηλαδὴ ἐκείνων, ἀφ' ὧν. Ἡ φράσις αὕτη ἰσοδυναμεῖ πρὸς τοὺς τοκεῖς, ὡς ἡ ἑπομένη πρὸς τοὺς τροφεῖς.

8) Κατὰ παράλειψιν τοῦ οὐσια-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλ' οὐ μὰ τὰν Διὸς ἀστραπὰν
καὶ τὰν οὐρανίαν Θέμιν
δαρὸν οὐκ[1] ἀπόνητοι. 1065
ὦ χθονία[2] βροτοῖσι φάμα, κατά μοι βόασον οἰκτρὰν ὅπα
τοῖς ἔνερθ' Ἀτρείδαις[3], ἀχόρευτα
φέρουσ' ὀνείδη· 1066—69

Ἀντιστροφὴ ά.

ὅτι σφιν ἤδη[4] τὰ μὲν ἐκ δόμων 1070

στικοῦ μοίρας. Ταῦτα λέγει διὰ τὴν Χρυσόθεμιν, ἥτις δὲν φροντίζει τοῦ πατρός. Κατὰ τὸν Σχολιαστήν· « Καλῶς ὁ χορὸς καὶ ἑαυτὸν συγκαταλέγει, ἵνα μὴ δόξῃ φορτικὸς εἶναι τούτοις, καθ' ὧν τὸν λόγον πεποίηται ».

1) Ἡ ἄνησις προσδιορίζει τὸ δαρόν. Τὸ δὲ ἀπόνητος παράγεται ἢ ἐκ τοῦ α (στερητικ.) καὶ πονέω ἢ ἐκ τοῦ ἀπονίνημι. Ἂν ἐκ τοῦ τελευταίου, λέγεται ἐν σχέσει πρὸς τὸ προηγούμενον ὄνησιν. Ὁ Σχολιαστὴς ἐξηγεῖ· « Ἀντὶ τοῦ οὐκ ἐπὶ πολὺ ἔσονται ἀθῷοι οἱ περὶ Αἴγισθον καὶ Κλυταιμνήστραν ». Ἀλλ' οἱ ἑρμηνευταὶ διαφωνοῦσιν, ἂν διὰ τούτων ὑπαινίσσηται τὸν Αἴγισθον καὶ τὴν Κλυταιμνήστραν ἢ τὴν Χρυσόθεμιν. Ὁ μὲν Schneidewin ἐννοεῖ τὴν Χρυσόθεμιν, ὁ δὲ Dindorf τοὺς φονεῖς τοῦ Ἀγαμέμνονος· διότι ἡ Χρυσόθεμις δὲν ἦτο ἀξία τῆς τιμωρίας τοῦ κεραυνοῦ τοῦ Διός. Δὲν ἠθέλησε μὲν νὰ μετάσχῃ τῆς τιμωρίας τοῦ Αἰγίσθου, ἀλλ' ἐκ δειλίας καὶ οὐχὶ ἐξ ἀσεβείας. Βεβαίως ἡ Χρυσόθεμις δὲν ἦτο ἀξία τοιαύτης τιμωρίας, ἀλλ' ἡ προηγουμένη φράσις, τί . . τάδ' οὐκ ἐπ' ἴσας τελοῦμεν ; τὴν θυγατέρα τοῦ Ἀγαμέμνονος ὑποδηλοῖ.

2) Ὀρθῶς ἑρμηνεύει ὁ Σχολιαστής· « Οὐ τὴν ἐπίγειον φησιν, ἀλλὰ τὴν κατὰ γῆς χωρῆσαι δυναμένην ». Ἀντὶ τῆς ὀστικῆς βροτοῖς ἠδύνατο νὰ θέσῃ γενικήν, ὡς ἐν Ἀντιγόν. 863 « ἰὼ κοιμήματα ἐμῷ πατρὶ δυσμόρῳ ». Ἐν τῇ ἑπομένῃ φράσει ὑπάρχει τμῆσις ἀντὶ καταβύσασον.

3) Ὅτι ἐννοεῖ μόνον τὸν Ἀγαμέμνονα, γίνεται δῆλον ἐκ τοῦ ἑπομένου τέκνων. Ὁ χορὸς εἶναι σημεῖον χαρᾶς, ὡς ἐν Ἀντιγόν. 153 « θεῶν δὲ ναοὺς χορὸς παννυχίοις πάντας ἐπέλθωμεν » καὶ ἐν Αἴαντ. 701. Τὰ τοῦ Ἀγαμέμνονος ὅμως εἶναι τοιαῦτα, ὥστε δὲν δύναταί τις νὰ χορεύσῃ.

4) Ἡ ἐξήγησις τῆς στροφῆς εἶναι ἥδε· Διὰ τί ἐν ᾧ βλέπομεν τὰ ἐν τῷ ἀέρι συνετώτατα πτηνά, ὅτι φροντίζουσι περὶ τῆς τροφῆς ἐκείνων, ἐξ ὧν γεννηθῶσι καὶ ἐξ ὧν λάβωσιν ὠφέλειαν, ταῦτα δὲν ἐκτελοῦμεν ὁμοίως ; Ἀλλὰ μὰ τὴν ἀστραπὴν τοῦ Διὸς καὶ τὴν ἐν οὐρανῷ Δίκην δὲν θὰ ἦναι μακρὸν χρόνον ἀτιμώρητοι. Ὦ ὑποχθονία φήμη τῶν θνητῶν, πρὸς χάριν μου εἰπὲ μεγαλοφώνως τὴν λυπηρὰν φωνὴν εἰς τοὺς κάτω Ἀτρείδας, ὅτι ἔχουσι λυπηρὰς ὕβρεις.

4) Κατὰ τὸν Schneidewin ἐννοεῖται ἐκ τοῦ χρόνου, καθ' ὃν ὁ Πέλοψ ἐφόνευσε τὸν Μυρτίλον. Ἐπειδὴ ὅμως τὰ πλεῖστα ἦσαν γνωστὰ τῷ Ἀγαμέμνονι, παρατηρεῖ, ὅτι ἡ πρώτη πρᾶσις ἔπρεπε νὰ ἦναι ἐξηρτημένη καὶ κατέστησε ταύτην παραταικτικήν, δηλ. ἔπρεπε νὰ εἴπῃ, ὅτι σφιν ὅτε τὰ ἐκ δόμων πάλαι νοσεῖ νῦν καὶ τὰ πρὸς τέκνων οὐκ ἔτι ὁμοφρονεῖ. Διὰ τῶν δόμων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[πᾶν][1] νοσεῖ, τὰ δὲ πρὸς τέκνων[2] διπλῆ 1071
φύλοπις[3] οὐκ ἔτ' ἐξισοῦται φιλοτασίῳ διαίτᾳ πρόδοτος
δὲ μόνα σαλεύει[4] 1072—74
Ἠλέκτρα τὸν[5] ἀεὶ πατρὸς 1075
δειλαία στενάχουσ', ὅπως
ἁ πάνδυρτος[6] ἀηδών,
οὔτε τι τοῦ θανεῖν προμηθής[7], τό τε μὴ βλέ-
[πειν[8] ἑτοίμα
διδύμαν ἐλοῦσ' Ἐρινύν[9]. τίς ἂν
εὔπατρις ὧδε[10] βλάστοι; 1078—81

ἐννοεῖ τοὺς οἰκοῦντας ἐν τοῖς δόμοις.

1) Ἐπειδὴ πρὸ τοῦ νοσεῖ λείπει συλλαβή τις, κατὰ ποικίλους τρόπους, ὡς συνήθως συμβαίνει, προσετέθη· ὁ μὲν Τρικλίνιος ἔγραψε νοσεῖ δή, ὁ δὲ Lachmann νοσεῖ γᾶ, ὁ δὲ Froelich πᾶν νοσεῖ, ὁ δὲ Wunder νοσεῖται, ὁ δὲ Wecklein ὀνοστά καὶ ἄλλοι ἄλλως. Τῶν διορθώσεων τούτων οὐδεμίαν δύναταί τις νὰ προτιμήσῃ.

2) Τὰ ἐκ μέρους τῶν τέκνων, ὅ τι γίγνεται ἐκ τῶν τέκνων.

3) Ἐννοεῖται ἡ γενικὴ αὐτῶν ἢ τέκνων· κεῖται δὲ ἀντὶ φύλοπις διοσσῶν τέκνων. Ἡ ἑπομένη φράσις ἐξηγεῖται ὑπὸ τοῦ Σχολιαστοῦ· « οὐκέτι ἴσα φρονοῦσιν ὡς ἐν φιλίᾳ διαιτώμεναι, ἀλλὰ στασιάζουσι πρὸς ἀλλήλας ». Ἡ δίαιτα ἐνταῦθα σημαίνει ὁμιλίαν.

4) Ἡ μεταφορὰ ἐλήφθη ἐκ τῶν νεῶν. Ὁ Σχολιαστὴς ἐξηγεῖ διὰ τοῦ κινδυνεύει.

5) Κατὰ τὸν Σχολιαστὴν ἐννοητέον χρόνον, ὡς ἐν Τραχιν. 80 ἢ κατὰ τὸν Schneider στεναγμόν ἐκ τοῦ στενάχουσα. Σημειωτέον, ὅτι ὁ μὲν Bergk διορθοῖ εἰς πότμον ἀεί, ὁ δὲ Dindorf εἰς τὸν ἑὸν πότμον καὶ ἄλλοι ἄλλως.

6) Τὰ χειρόγραφα εἶχον πανύδυρτος, ἀλλ' ἐκράτησεν ἡ διόρθωσις τοῦ Porson, ὡς παρ' Αἰσχύλ. ἐν Ἑπτὰ ἐπὶ Θήβ. 968 « ἰὼ ἰὼ πάνδυρτε σύ ».

7) Ὁ Σχολιαστὴς ἐξηγεῖ· «Πρόνοιαν οὐκ ἔχουσα τοῦ μὴ ἀποθανεῖν, ὃ ἔστιν ἀφειδοῦσα τῆς ἰδίας ψυχῆς καὶ ῥιψοκινδυνοῦσα ».

8) Δηλαδὴ τὸ θανεῖν.

9) Ἐννοεῖ τὸν Αἴγισθον καὶ τὴν Κλυταιμνήστραν, ὡς παρ' Αἰσχύλῳ ἡ Ἑλένη λέγεται νυμφόκλαυστος Ἐρινὺς ἐν Ἀγαμέμν. 749. Σημειωτέον, ὅτι ἡ Ἠλέκτρα ἐν τοῖς ἔμπροσθεν εἶπεν, ὅτι μόνον τὸν Αἴγισθον προτίθεται νὰ φονεύσῃ.

10) Προσδιορίζει τὸ εὔπατρις, ὅπερ ἐνταῦθα σημαίνει εὐγενής. Ὁ Wolff ἀντὶ ἐρωτηματικοῦ μετὰ τὸ βλάστοι ἔθηκε κόμμα, ὅπως μὴ ἡ ἔννοια τοῦδε τοῦ στίχου ἀντιφάσκῃ πρὸς τὴν τῶν ἑπομένων.

Ἡ ἔννοια τῆς ὅλης ἀντιστροφῆς εἶναι ἥδε. Διότι οἱ μὲν οἶκοι αὐτῶν πλέον [ὅλως] κακῶς ἔχουσιν, ἡ δὲ φιλονεικία τῶν δύο τέκνων δὲν συμβιβάζεται πλέον διὰ φιλικῆς ὁμιλίας. Ἀλλὰ προδοθεῖσα μόνη κινδυνεύει ἡ Ἠλέκτρα, πάντοτε ἡ δυστυχὴς στενάζουσα διὰ τὸν πατέρα της, ὡς ἡ πολὺ θρηνοῦσα ἀηδών, οὔτε κατά τι περὶ τοῦ θανάτου φροντίζουσα, καὶ ἑτοίμη οὖσα νὰ μὴ βλέπῃ τὸν θάνατον, φονεύσασα τὴν διπλῆν Ἐρινύν.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

Στροφὴ δ'.

οὐδεὶς τῶν ἀγαθῶν τοι[1] 1082
ζῶν κακῶς εὔκλειαν αἰσχῦναι θέλοι[2]
νώνυμος, ὦ παῖ παῖ,
ὡς καὶ σὺ πάγκλαυτον αἰῶνα κλεινὸν[3] εἵλου, 1085
τὸ μὴ καλὸν καθοπλίσασα[4], δύο φέρειν ἐν ἑνὶ
[λόγῳ[5], 1087
σοφά[6] τ' ἀρίστα τε παῖς κεκλῆσθαι.

Ἀντιστροφὴ δ'.

ζώης μοι καθύπερθεν[7] 1090
χειρὶ[8] καὶ πλούτῳ τεῶν ἐχθρῶν, ὅσον 1090

Τίς δύναται τόσον εὐγενὴς νὰ γεννηθῇ;

[1]) Λείπει ἐν τοῖς χειρογράφοις ἡ συλλαβὴ αὕτη, ἣν οἱ κριτικοὶ διαφόρως συμπληροῦσιν· ὁ μὲν Hermann διὰ τοῦ γάρ, ὁ δὲ Wolff διὰ τοῦ ὃς, ὁ δὲ Hartung διὰ τοῦ φύς καὶ ὁ Lange διὰ τοῦ τοι, ὅπερ μετὰ τοῦ Wecklein προὐτιμήσαμεν.

[2]) Δηλοῖ τὴν ἔννοιαν, ἣν καὶ ἐν στίχ. 989 «ὅτι ζῆν αἰσχρὸν αἰσχρῶς τοῖς καλῶς πεφυκόσιν» καὶ ἐν Αἴαντ. 479 «ἀλλ' ἢ καλῶς ζῆν ἢ καλῶς τεθνηκέναι τὸν εὐγενῆ χρή».

[3]) Τὰ χειρόγραφα ἔχουσι κοινόν, ὅπερ δυσκόλως δύναται νὰ ἐξηγηθῇ. Ὁ Erfurdt νομίζει, ὅτι κοινὸς αἰὼν σημαίνει τὸν θάνατον, ὅπερ φαίνεταί μοι βεβιασμένον. Διὰ τοῦτο δέον νὰ προτιμήσωμεν ἐκ τῶν γενομένων διορθώσεων τὴν μάλιστα ἁρμόζουσαν. Ὁ Lange ἔτρεψεν εἰς αἰῶν' ἄοικον, ὁ δὲ Otto εἰς αἰῶ κελαινόν, ὁ δὲ Wolff εἰς αἰῶν' ἀγέων καὶ ὁ Sirksius εἰς αἰῶνα κλεινόν, ὅπερ δέχεται καὶ ὁ σώφρων κριτικὸς Jahn.

[4]) Ὁ Σχολιαστὴς ἐξηγεῖ. «Καταπολεμήσασα τὸ αἰσχρὸν καὶ νικήσασα· οἷον τοὺς ἐχθροὺς καταγωνισαμένη». Ἐπειδὴ ὅμως τὸ καθοπλίζειν δὲν σημαίνει καταπολεμεῖν, θεωρεῖται ὕποπτον τὸ χωρίον. Καὶ δὴ δὲν ἔλειψαν διορθωταί, ἐξ ὧν ὁ μὲν Hermann εἶχασε καθιππάσασαν καθυπνίσασα καὶ ὁ Emperius ἔτρεψε τὸ μὴ εἰς δή. Συνηθέστερον εὑρηται τὸ μέσον, ἀλλὰ καὶ τὸ ἐνεργητικόν, ὡς ἐν Φιλοκτ. 117 «τοῦτο γ' ἔρξας δύο φέρει δωρήματα· σοφός τ' ἂν αὐτὸς κἀγαθὸς κεκλῇ' ἅμα».

Ἡ ὕλη στροφὴ δύναται νὰ ἐξηγηθῇ οὕτωσί· Κανεὶς ἀπὸ τοὺς ἀγαθοὺς βεβαίως, ἐὰν ζῇ κακῶς, δὲν θέλει νὰ ἀτιμάσῃ τὴν δόξαν ἀφανής, ὦ κόρη κόρη, ὡς καὶ σὺ θρηνώδη ἔνδοξον βίον προτίμησας, τὸ αἰσχρὸν καταπολεμήσασα, ὥστε ἐν τῷ αὐτῷ λόγῳ νὰ φέρῃς διπλῆν φήμην, δηλ. σοφὴ καὶ ἀρίστη κόρη νὰ ὀνομάζησαι.

[5]) Ἐν τῷ αὐτῷ λόγῳ διπλῆν φήμην.

[6]) Σοφὴ μέν, διότι τὸ ἀληθὲς συμφέρον ἔλαβεν ὑπ' ὄψει· ἀρίστη δέ, διότι παριδοῦσα τὸν θάνατον ἀπεφάσισε νὰ τιμωρήσηται τὸν φονέα τοῦ πατρός.

[7]) Συναπτέον μετὰ τοῦ τεῶν ἐχθρῶν, ὡς παρ' Ἡροδότ. 8, 60 «τῶν ἐχθρῶν καθύπερθε γενέσθαι» καὶ 5, 69 «ἦν πολλῷ καθύπερθε τῶν ἀντιστασιωτέων».

[8]) Ἐνταῦθα σημαίνει σθένει. Τὸν δωρικὸν τύπον τεός μεταχειρίζε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νῦν ὑπόχειρ[1] ναίεις·
ἐπεί σ' ἐφεύρηκα μοίρᾳ μὲν οὐκ ἐσθλᾷ[2] 1093
βεβῶσαν, ἃ δὲ μέγιστ' ἔβλαστε νόμιμα[3], τῶνδε
φερομέναν 1095
ἄριστα τᾷ Ζηνὸς[4] εὐσεβείᾳ.

ΟΡΕΣΤΗΣ.

ἆρ', ὦ γυναῖκες, ὀρθά τ' εἰσηκούσαμεν[5],
ὀρθῶς δ'[6] ὁδοιποροῦμεν, ἔνθα χρῄζομεν;

ΧΟΡΟΣ.

τί δ' ἐξερευνᾷς καὶ τί βουληθεὶς πάρει; 1100

ΟΡΕΣΤΗΣ.

Αἴγισθον, ἔνθ' ὤκηκεν, ἱστορῶ πάλαι.

ΧΟΡΟΣ.

ἀλλ' εὖ θ' ἱκάνεις χὠ φράσας[8] ἀζήμιος.

ται καὶ ὁ Αἰσχύλος ἐν Προμηθ. 162 καὶ ἐν Ἑπτὰ ἐπὶ Θήβ. 101

1) Τὸ ὑπόχειρ (ἀντὶ ὑποχείριος) ἐσχηματίσθη κατὰ τὸ ἀντίχειρ καὶ ἐπίχειρ. Δὲν διαφέρει ἐνταῦθα τὸ ναίειν τοῦ εἶναι.

2) Ἰσοδυναμεῖ πρὸς τό, ζῶσαν μὲν κακῶς.

3) Ἐννοεῖ τοὺς ἀγράφους νόμους, τὴν εὐσέβειαν τῶν τέκνων πρὸς τὸν πατέρα. Ἡ δεικτικὴ ἀντωνυμία ἀναφέρεται εἰς τὴν προηγουμένην ἀναφορικὴν πρότασιν.

4) Γενικὴ ὡς ἐξ ἀντικειμένου εἰς τὸ εὐσεβείᾳ. Ὁ Ζεὺς ὡς προστάτης τοῦ οἴκου, τοῦ γάμου καὶ τῶν σχέσεων τῶν μελῶν τῆς οἰκογενείας λέγεται ἑφέστιος, ἑρκεῖος, γενέθλιος, πατρῷος, γαμήλιος καὶ ζύγιος. Εἶθε νά μοι ζῇς ὑπεράνω τῶν ἐχθρῶν σου κατὰ τὴν δύναμιν καὶ τὸν πλοῦτον, ὅσον τώρα ὑποχειρία αὐτῶν ὑπάρχεις· διότι σ' εὗρον δυστυχοῦσαν μέν, ὅμως, ὅσοι νόμοι ἐγεννήθησαν ἄριστοι, τούτων ἔχουσαν τοὺς ἀρίστους διὰ τὴν πρὸς τὸν Δία εὐσέβειαν.

5) Εἰσέρχεται εἰς τὴν σκηνὴν ὁ Ὀρέστης μετὰ τοῦ Πυλάδου· δύο δὲ θεράποντες κομίζουσι τὴν ὑδρίαν, ἐν ᾗ ὅθεν ὑπῆρχον τὰ τοῦ Ὀρέστου λείψανα, ὅρα στίχ. 1124. Τὸ εἰσηκούσαμεν ὑποδεικνύει, ὅτι ὡς μὴ γινώσκοντες τὸν τόπον πολλάκις ἠρώτησαν.

6) Ἀντὶ τοῦ καὶ ἔθηκε τὸν δὲ ἀνακολούθως, ὡς ἐν Τραχιν. 285 «ταῦτα πόσις τε σὸς ἐφεῖτ', ἐγὼ δὲ τελῶ». Εἰς τὸ χρῄζομεν ἐννοεῖται τὸ ὁδοιπορεῖν. Ὁ Ὀρέστης ἐρωτᾷ οὕτως, ὡσεὶ ὁ χορὸς ἐγίνωσκε τὸν σκοπὸν τῶν ὁδοιπορούντων.

7) Μετεχειρίσθη τὸ ἔνθα ἀντὶ τοῦ ὅπου, ὅπερ τίθεται ἐν πλαγίαις ἐρωτήσεσιν. Τὸ ἱστορεῖν ἐνταῦθα σημαίνει διαπυνθάνεσθαι, διερωτᾶν, ὡς ἐν Τραχιν. 404.

8) Δηλαδὴ ποῦ ᾤκηκεν ὁ Αἴγισθος, ὅπερ ἐξάγεται ἐκ τοῦ ἡγουμένου στίχου. Τὸ ἀζήμιος κατὰ τὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΡΕΣΤΗΣ.

τίς οὖν ἂν ὑμῶν τοῖς ἔσωι φράσειεν ἂν
ἡμῶν ποθεινὴν[2] κοινόπουν παρουσίαν;

ΧΟΡΟΣ.

ἥδ', εἰ τὸν ἄγχιστόν[3] γε κηρύσσειν χρεών. 1105

ΟΡΕΣΤΗΣ.

ἴθ', ὦ γύναι, δήλωσον εἰσελθοῦσ', ὅτι
Φωκῆς ματεύουσ'[4] ἄνδρες Αἴγισθόν τινες.

ΗΛΕΚΤΡΑ.

οἴμοι τάλαιν', οὐ δή ποθ', ἧς ἠκούσαμεν
φήμης, φέροντες[5] ἐμφανῆ τεκμήρια;

ΟΡΕΣΤΗΣ.

οὐκ οἶδα τὴν σὴν κληδόν'[6]· ἀλλά μοι γέρων 1110
ἐφεῖτ' Ὀρέστου Στρόφιος[7] ἀγγεῖλαι πέρι.

ΗΛΕΚΤΡΑ.

τί δ' ἔστιν, ὦ ξέν'; ὡς μ' ὑπέρχεται φόβος.

Σχολιαστὴν σημαίνει. «Ἀληθὴς καὶ οὐχ ὑπέχων ζημίαν τοῦ ψεύδους».

1) Περιμένομεν τοῖς ἔνδον, ἀλλ' εὕρηται καὶ ἐν Οἰδίποδ. τυράνν. 1171 «ἡ δ' ἔσω, σὴ γυνή».

2) Ὁ μὲν χορὸς ἐννοεῖ, ὅτι ἡ παρουσία εἶναι ποθεινὴ τῷ Αἰγίσθῳ καὶ τῇ Κλυταιμνήστρᾳ (ὅρα στίχ. 666), ἀλλ' ὁ θεατής, ὅτι εἶναι τῇ Ἠλέκτρᾳ. Ἐνταῦθα εἶναι ὑπαλλαγή, διότι τὸ ἐπίθετον κοινόπους συνέταξε πρὸς τὴν παρουσίαν, ἐν ᾧ ἔπρεπε πρὸς τὸ ἡμῶν. Ὁ Σχολιαστὴς ἐξηγεῖ· «τῶν ὁμοῦ ὁδοιπορησάντων».

3) Ἴσταται μὲν ἡ Ἠλέκτρα πλησιέστερον εἰς τὰ ἀνάκτορα, ἀλλ' ἐνταῦθα ἐννοεῖ τὸν πλησιέστατον κατὰ τὴν συγγένειαν. Μετεχειρίσθη τὸ ἀρσενικόν, καὶ οὐχὶ τὸ θηλυκὸν γένος, διότι λέγει γενικῶς.

4) Ματεύειν καὶ μαστεύειν σημαίνει ἐπιζητεῖν, ἐπιποθεῖν.

5) Τὸ ῥῆμα ἐννοεῖται ἐκ τῶν ἡγουμένων. Μήπως δὰ ζητοῦσι τὸν Αἴγισθον φέροντες φανερὰς ἀποδείξεις;

6) Ἡ γραφὴ μετὰ ὑπογεγραμμένης θεωρεῖται ὑπὸ τῶν γραμματικῶν ἡμαρτημένη· διότι παράγεται οὐχὶ ἐκ τοῦ κλήζω, ἀλλ' ἐκ τοῦ κλέω, ἐξ οὗ καὶ τὸ κλέος κατὰ τὸν λεξικογράφον Ellendt. Σημαίνει δὲ φήμην.

7) Τὸν ἄγγελον (τὸν παιδαγωγὸν) ἔπεμψεν ὁ Φανοτεύς, ὁ φίλος τοῦ Αἰγίσθου, ἀλλὰ τὰ λείψανα δὲν ἠδύνατο νὰ πέμψῃ οὗτος, διότι ὁ Ὀρέστης ἔμενε παρὰ τῷ Στροφίῳ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΡΕΣΤΗΣ.

φέροντες[1] αὐτοῦ σμικρὰ λείψαν' ἐν βραχεῖ
τεύχει θανόντος, ὡς ὁρᾷς, κομίζομεν.

ΗΛΕΚΤΡΑ.

οἵ 'γὼ τάλαινα, τοῦτ' ἐκεῖν[2]· ἤδη σαφὲς
πρόχειρον[3] ἄχθος, ὡς ἔοικε, δέρκομαι.

ΟΡΕΣΤΗΣ.

εἴπερ τι κλαίεις τῶν Ὀρεστείων κακῶν[4],
τόδ' ἄγγος ἴσθι σῶμα τοὐκείνου[5] στέγον.

ΗΛΕΚΤΡΑ.

ὦ ξεῖνε, δὸς νῦν, πρὸς θεῶν, εἴπερ τόδε
κέκευθεν αὐτὸν[6] τεῦχος, εἰς χέρας λαβεῖν,
ὅπως ἐμαυτὴν καὶ γένος τὸ πᾶν ὁμοῦ
ξὺν τῇδε κλαύσω κἀποδύρωμαι[7] σποδῷ.

ΟΡΕΣΤΗΣ.

δόθ'[8], ἥτις ἔστι, προσφέροντες· οὐ γὰρ ὡς
ἐν δυσμενείᾳ γ' οὖσ'[9] ἐπαιτεῖται τόδε,

1115

1120

[1]) Φέρει μὲν ὁ διὰ τῆς χειρὸς βαστάζων τὴν ὑδρίαν, κομίζει δὲ ὁ προσφέρων τὸ βασταζόμενον ἐκείνῳ, εἰς ὃν ἔρχεται.

[2]) Δηλαδὴ ἐκεῖνο, ὅπερ ἀνήγγειλεν ὁ παιδαγωγός, ὡς παρ' Εὐριπίδ. ἐν Ἴων. 554 «τοῦτ' ἐκεῖν', ἵν' ἐσπάρημεν». Κατὰ τὸν Dindorf τὸ σαφὲς πρέπει νὰ συνάψωμεν μετὰ τοῦ δέρκομαι.

[3]) Ὁ Σχολιαστὴς ἐξηγεῖ ἐπὶ χειρῶν. Ἄχθος εἶναι ἡ ὑδρία μετὰ τῆς σποδοῦ.

[4]) Ἡ γενικὴ κατὰ μὲν τὸν Wecklein ἐξαρτᾶται ἐκ τοῦ τί, κατὰ δὲ τοὺς πλείστους ἐκ τοῦ κλαίεις κατ' ἀναλογίαν τοῦ δακρύειν, ὀλοφύρεσθαι, ἤδεσθαι καὶ τῶν τοιούτων, ἅπερ συντάσσονται πρὸς γενικήν, ὡς ἐν Φιλοκτήτ. 745.

[5]) Λέγει ἐκείνου, ἐν ᾧ δὲν προηγεῖται Ὀρέστου, ἀλλ' Ὀρεστείων.

[6]) Τὸ κεύθειν παρὰ τοῖς τραγικοῖς κεῖται ὡς ἀμετάβατον καὶ ὡς μεταβατικόν, ὡς παρ' Αἰσχύλ. ἐν Χοηφόρ. 672 «λέβητος χαλκέου πλευρώματα σποδὸν κέκευθεν ἀνδρός».

[7]) Εἶναι ἀορίστου, ὡς καὶ τὸ προηγούμενον ῥῆμα.

[8]) Δότε εἰς αὐτήν, ὁποιαδήποτε καὶ ἂν ἦναι αὕτη. Λέγει ταῦτα πρὸς τοὺς ἀκολούθους τοὺς βαστάζοντας τὴν ὑδρίαν.

[9]) Ἰσοδυναμεῖ πρὸς τὸ δυσμενὴς γ' οὖσα. Διὰ τοῦ τόδε ἐννοεῖ τό, εἰς χεῖρας λαβεῖν τὸ τεῦχος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλ' ἢ φίλων τις ἦ[1] πρὸς αἵματος φύσιν. 1125

ΗΛΕΚΤΡΑ.

ὦ φιλτάτου[2] μνημεῖον ἀνθρώπων ἐμοὶ
ψυχῆς Ὀρέστου λοιπόν[3], ὡς ἀπ' ἐλπίδων,
οὐχ ὧν περ ἐξέπεμπον, εἰσεδεξάμην.
νῦν μὲν[4] γὰρ οὐδὲν ὄντα βαστάζω χεροῖν,
δόμων δέ σ', ὦ παῖ, λαμπρὸν[5] ἐξέπεμψ' ἐγώ. 1130
ὡς ὤφελον[6] πάροιθεν ἐκλιπεῖν βίον,
πρὶν ἐς ξένην σε γαῖαν ἐκπέμψαι χεροῖν
κλέψασα[7] ταῖνδε κἀνασῴσασθαι φόνου,

[1]) Τὸ πλῆρες ἤθελεν εἶναι, ἤ τις πρὸς αἵματος οὖσα τὴν φύσιν ἐπαιτεῖται τόδε. Πρὸς αἵματος λέγονται οἱ συγγενεῖς, ὡς ἐν Αἴαντ. 1305

[2]) Κατὰ τὸν Σχολιαστήν· « Λαβοῦσα τοῦ τεύχους φησίν. Ὑπερφυῶς δὲ ἔχει τῇ διαθέσει, λαβοῦσαν καὶ βαστάζουσαν τὰ ὀστᾶ ὀδύρεσθαι ». Ὁ κάλλιστος οὗτος μονόλογος ἦτο ἀρεστὸν θέμα τοῖς ἀρχαίοις ὑποκριταῖς. Διὰ τούτου ἠδύναντο τὴν τέχνην αὐτῶν νὰ ἐπιδείξωσι καὶ τὸ πάθος τῶν θεατῶν νὰ διεγείρωσιν. Κατὰ τὸν Γέλλιον Noct. Att. VII, 5 ὁ διαπρεπὴς ὑποκριτὴς Πῶλος ἐν τῇ διδασκαλίᾳ τοῦ δράματος ἔλαβε μεθ' ἑαυτοῦ τὴν ὑδρίαν καὶ τὰ ὀστᾶ τοῦ ἄρτι θανόντος υἱοῦ καὶ ταῦτα περιπτυξάμενος περιέπεσεν εἰς ἀληθεῖς θρήνους καὶ οὕτω πολὺ τὸ πάθος τοῖς θεαταῖς ἐνεποίησεν.

[3]) Τὸ λοιπὸν ψυχῆς ἰσοδυναμεῖ πρὸς τὸ λείψανα ζῶντος κατὰ τὸν Schneidewin. Ὁ δὲ Σχολιαστὴς ἐξηγεῖ· « Ὦ ὑπόλοιπον μνημεῖον ». Τὴν ἀπὸ ὁ Schaefer ἔτρεψεν εἰς ὑπό, ἣν δέχεται καὶ ὁ Hartung. Ἀλλ' οἱ πλεῖστοι τῶν ἑρμηνευτῶν ἀποδοκιμάζουσι τὴν διόρθωσιν, ἐξ ὧν ὁ Dindorf θεωρεῖ τὴν ἐπομένην φράσιν ὡς βραχυλογικὴν ἀντὶ. καὶ οὐχ ὑφ' ὧν σε ἐξέπεμπον. Ὁ δὲ Mehlhorn νομίζει, ὅτι νοεῖται ἀπὸ κοινοῦ ἡ ἀπό, δηλ. ὧς σε οὐκ ἀπὸ τούτων ἐλπίδων εἰσεδεξάμην ἀφ' ὧν ἐξέπεμπον. Ἀλλ' ὁ Wunder παρατηρεῖ, ὅτι δὲν λέγεται ἀπό τινος ἐλπίδος εἰσδέχεσθαί τινα. Ἂν τὸ ὧνπερ ἐτρέπομεν εἰς ὅνπερ, ὡς ποιεῖ ὁ Frælich, ἡ σύνταξις ἔβαινεν ἴσως ὁμαλῶς. Δύναται ὅμως νὰ ληφθῇ ὡς ἔλξις κατὰ τὸν Τρικλίνιον· « Δέον δὲ εἰπεῖν, αἴσπερ ἐξέπεμπον, πρὸς τὸ ἐλπίδων ἔτρεψεν ». Τὸ ἀπ' ἐλπίδων σημαίνει μακρὰν τῶν ἐλπίδων, ὡς ἀπὸ σκοποῦ, ἀπὸ τρόπου, ἐν Τραχιν. 388 « καὶ γὰρ οὐκ ἀπὸ γνώμης λέγεις ».

[4]) Κατὰ παραπλήσιον τρόπον Ὀρηνεῖ ἡ Βρισηὶς τὸν Πάτροκλον ἐν Ἰλιάδ. Τ 287.

[5]) Ποιεῖ ἀντίθεσιν πρὸς τὸ οὐδὲν ὄντα καὶ σημαίνει ἀκμάζοντα, θάλλοντα.

[6]) Ὁ Τρικλίνιος παρατηρεῖ· «Εἰ γὰρ ἐγὼ πρότερον ἐτεθνήκειν, οὐδεὶς ἂν σε τῶν Κλυταιμνήστρας ἐξεῖλε χειρῶν, ὥστε ἀπόλωλας ἂν ἐξ ἐκείνης τότε, ὥσπερ ὁ πατήρ, καὶ συνετάφης αὐτῷ ».

[7]) Περὶ τούτου λέγεται καὶ ἐν στίχ. 296, Τὸ σῴζειν συντάσσεται πρὸς γενικήν, ὡς ἐν Ἀντιγόν. 1162 σώσας μὲν ἐχθρῶν τήνδε Καδμείαν χθόνα ».

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅπως θανὼν ἔκεισο τῇ τόθ' ἡμέρᾳ[1],
τύμβου πατρῴου κοινὸν εἰληχὼς μέρος. 1135
νῦν δ' ἐκτὸς οἴκων κἀπὶ γῆς ἄλλης φυγὰς
κακῶς ἀπώλου, σῆς κασιγνήτης[2] δίχα·
κοὔτ' ἐν φίλαισι χερσὶν[3] ἡ τάλαιν' ἐγὼ
λουτροῖς σ' ἐκόσμησ', οὔτε παμφλέκτου[4] πυρὸς
ἀνειλόμην, ὡς εἰκός[5], ἄθλιον βάρος. 1140
ἀλλ' ἐν ξέναισι χερσὶ κηδευθεὶς τάλας
σμικρὸς προσήκεις ὄγκος ἐν σμικρῷ κύτει[6].
οἴμοι τάλαινα τῆς ἐμῆς πάλαι τροφῆς[7]
ἀνωφελήτου, τὴν[8] ἐγὼ θάμ' ἀμφὶ σοὶ
πόνῳ γλυκεῖ[9] παρέσχον· οὔτε γάρ ποτε 1145
μητρὸς σύ γ' ἦσθα μᾶλλον ἢ κἀμοῦ φίλος[10],
οὔθ' οἱ κατ' οἶκον ἦσαν[11], ἀλλ' ἐγὼ τροφός,
ἐγὼ δ'[12] ἀδελφὴ σοὶ προσηυδώμην ἀεί.
νῦν δ' ἐκλέλοιπε ταῦτ' ἐν ἡμέρᾳ μιᾷ
θανόντι[13] σὺν σοί· πάντα γὰρ συναρπάσας 1150

1) Δηλαδὴ τὴν ἡμέραν, καθ' ἣν ἐφονεύθη ὁ πατήρ.

2) Κατὰ τὸν Σχολιαστήν· «οἷον τῆς μόνης σου κηδομένης».

3) Εἶναι ὀργανικὸν αἴτιον, ὡς ἐν Ἀντιγόν. 1003 «σπῶντας ἐν χηλαῖσιν ἀλλήλους φοναῖς».

4) Ἐννοεῖ ἐκ τῶν φλογῶν τοῦ πυρός.

5) Ὡς προσῆκεν ἐμοὶ ἀδελφῇ οὔσῃ.

6) Ἡ λέξις παραγομένη ἐκ τοῦ κύω σημαίνει πᾶν τὸ ἔχον κοίλωμα (τὸ παρ' ἡμῖν κουτί ον)· ἐνταῦθα σημαίνει τὴν ὑδρίαν

7) Γενικὴ τοῦ αἰτίου εἰς τὸ τάλαινα.

8) Οἱ Ἴωνες καὶ οἱ Δωριεῖς μεταχειρίζονται τὸ ἄρθρον ἀντὶ ἀναφορικῆς ἀντωνυμίας, ἐκ δὲ τῶν ἀττικῶν μόνον οἱ τραγικοί, ὡς Εὐριπίδ. ἐν Ἀνδρομάχ. 811 «κατθάνῃ κτείνασα τοὺς οὐ χρῆν κτανεῖν» καὶ ἐν Βάκχ. 712 «τὸν θεόν, τὸν νῦν ψέγεις» καὶ Σοφοκλ. ἐν Ἀντιγόν. 1035·

9) Σχῆμα ὀξύμωρον, ὡς παρ' Εὐριπίδ. ἐν Βάκχ. 66 «πόνον ἡδὺν κάματόν τ' εὐκάματον».

10) Τὸ ἐπίθετον κεῖται ἐν ἐνεργητικῇ σημασίᾳ.

11) Ἐκ τοῦ ἑπομένου ἐννοεῖται τὸ τροφοί. Ὅρα, ὅτι ἐν τῇ ἑπομένῃ ἀναφορᾷ παρέλειψε τὸ μέν.

12) Παραπλήσια λέγει ἡ Ἀνδρομάχη ἐν Ἰλιάδ. Ζ, 429 «Ἕκτορ, ἀτὰρ σύ μοί ἐσσι πατὴρ καὶ πότνια μήτηρ ἠδὲ κασίγνητος, σὺ δέ μοι θαλερὸς παρακοίτης» Παράβαλλ. καὶ ἐν Εὐριπίδ· ἐν Ἑκάβ. 280.

13) Τινὰ χειρόγραφα ἔχουσι θανόντα, ὅπερ δὲν προτιμᾶται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θύελλ' ὅπως βέβηκας. οἴχεται πατήρ,
τέθνηκ' ἐγώ σοι[1], φροῦδος αὐτὸς εἶ θανών·
γελῶσι δ' ἐχθροί, μαίνεται δ' ὑφ' ἡδονῆς
μήτηρ ἀμήτωρ[2], ἧς ἐμοὶ σὺ πολλάκις
φήμας λάθρα προύπεμπες, ὡς φανούμενος[3] 1155
τιμωρὸς αὐτός[4]· ἀλλὰ ταῦθ' ὁ δυστυχὴς
δαίμων ὁ σός τε κἀμὸς ἐξαφείλετο,
ὅς σ' ὧδέ μοι προύπεμψεν ἀντὶ φιλτάτης
μορφῆς σποδόν τε καὶ σκιὰν ἀνωφελῆ.
οἵ μοί μοι· 1160
ὦ δέμας οἰκτρόν, φεῦ φεῦ.
ὦ δεινοτάτας, οἵ μοί μοι,
πεμφθεὶς κελεύθους[5], φίλταθ', ὡς μ' ἀπώλεσας·
ἀπώλεσας δῆτ', ὦ κασίγνητον κάρα.
τοιγὰρ σὺ δέξαι μ' ἐς τὸ σὸν τόδε στέγος[6], 1165
τὴν μηδὲν[7] εἰς τὸ μηδέν, ὡς σὺν σοὶ κάτω
ναίω τὸ λοιπόν. καὶ γὰρ ἡνίκ' ἦσθ' ἄνω,
ξὺν σοὶ μετεῖχον τῶν ἴσων[8], καὶ νῦν ποθῶ
τοῦ σοῦ θανοῦσα μὴ ἀπολείπεσθαι[9] τάφου·

1) Εἶναι τὸ αἴτιον τοῦ τέθνηκα· ἕνεκα σοῦ ἔχω ἀποθάνει.

2) Τοιαῦτα εἶναι τὰ ἄδωρα δῶρα ἐν Αἴαντ. 665, ἄγαμον γάμον, ἐν Οἰδίποδ. τυράνν. 1214, ὕπνος ἄϋπνος ἐν Φιλοκτήτ. 848. Ἡ ἑπομένη γενικὴ κατὰ μὲν τὸν Τρικλίνιον καὶ τὸν Wecklein ἐξαρτᾶται ἐκ τοῦ τιμωρός, κατὰ τοὺς πλείστους ὅμως ἑρμηνευτὰς ἐκ τοῦ λάθρα.

3) Ἰσοδυναμεῖ πρὸς τὸ λέγων, ὅτι φανεῖ.

4) Ὁ ἴδιος, ἐν ἀντιθέσει πρὸς τοὺς ἀγγέλους, οὓς ἔπεμπεν.

5) Ὁ Τρικλίνιος ἐννοεῖ κατὰ δύο τρόπους, ἢ ἀπὸ τῆς Φωκίδος πρὸς τὴν οἰκίαν ἢ ἀπὸ τῆς οἰκίας πρὸς τὴν Φωκίδα, δηλ. ὅτε ἐπέμφθη ὑπὸ τῆς Ἠλέκτρας. Ἐκ τῶν νεωτέρων ὁ μὲν Wecklein δέχεται τὸ πρῶτον (δηλ. τὴν σποδόν), ὁ δὲ Wolff τὸ δεύτερον. Ἡ ἐπισώρευσις πολλῶν λ ποιεῖ τὸν λόγον μαλακόν.

6) Εἶναι διάφορος τύπος τοῦ στέγη. Τὸ ἀγγεῖον θεωρεῖ ὡς κατοικίαν τοῦ νεκροῦ, ὡς δεικνύει καὶ τὸ ἑπόμενον ν α ί ω.

7) Ἐννοεῖται τὸ οὖσαν.

8) Ἀμφοτέρους κακῶς μετεχειρίσθη ἡ μήτηρ καὶ ἀμφότεροι ἐπεθύμουν νὰ τιμωρήσωνται τοὺς φονεῖς τοῦ πατρός.

9) Σημαίνει στερεῖσθαι, ὡς καὶ παρ' Εὐριπίδ. ἐν Ὀρέστ. 246 «ἀ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοὺς γὰρ θανόντας[1] οὐχ ὁρῶ λυπουμένους. 1170

ΧΟΡΟΣ.

θνητοῦ πέφυκας πατρός, Ἠλέκτρα, φρόνει,
θνητὸς δ' Ὀρέστης· ὥστε[2] μὴ λίαν στένε.
πᾶσιν γὰρ ἡμῖν τοῦτ'[3] ὀφείλεται παθεῖν.

ΟΡΕΣΤΗΣ.

φεῦ φεῦ, τί λέξω; ποῖ λόγων[4] ἀμηχανῶν
ἔλθω; κρατεῖν γὰρ οὐκ ἔτι γλώσσης σθένω. 1175

ΗΛΕΚΤΡΑ.

τί δ' ἔσχες ἄλγος[5]; πρὸς τί τοῦτ' εἰπὼν κυρεῖς;

ΟΡΕΣΤΗΣ.

ἦ σὸν[6] τὸ κλεινὸν εἶδος Ἠλέκτρας τόδε;

ΗΛΕΚΤΡΑ.

τόδ'[7] ἔστ' ἐκεῖνο, καὶ μάλ' ἀθλίως ἔχον.

νημονῶ γάρ, τῶν πρὶν ἀπολειφθεὶς
ρενῶν ».

[1]) Κατὰ τὸν Wecklein λέγει
ῦτα ἡ Ἠλέκτρα ἀποβλέπουσα εἰς
ὴν ὑδρίαν, ἐν ᾗ ἡ σιγὴ τοῦ τάφου
χει. Παραπλήσιον τὸ ἐν Τραχιν.
173 « τοῖς γὰρ θανοῦσι μόχθος οὐ
ροσγίγνεται ».

[2]) Τὸ ὥστε φέρεται πρὸς προστα-
τικήν, ὡς Πλάτ. ἐν Πολιτ. II,
62 « ὥστε καὶ σὺ — ἐπάμυνε »,
ενοφ. ἐν Κύρ. Παιδ. I, 3, 18
ὥστε θάρσει».

[3]) Ὁ Bergk ἐθεώρησε τὸν στί-
ον νόθον, ὃν ὁ Dindorf ὄντως ἐξή-
ειψεν· διότι εἶναι ἀσαφές, ποῦ ἀπο-
ίδεται ἡ ἀντωνυμία καὶ ἡ αἰτιολο-
ία τῆς παρηγορίας εἶναι ἄτονος. Ἡ
ντωνυμία ὅμως ἀναφέρεται εἰς τὸ
αγεῖν, ὅπερ ἐξάγεται ἐκ τοῦ
νητός.

[4]) Κατὰ τὸν Hermann ἡ γενικὴ
νήκει καὶ εἰς τὸ ποῖ καὶ εἰς τὸ
μηχανῶν. Ὁ Ὀρέστης ἀκούσας
ὸ ὄνομα τῆς Ἠλέκτρας ἐταράχθη·
ὐνατο μὲν ἐκ τῶν θρήνων νὰ εἰ-
κάσῃ, ὅτι ἦτο ἡ Ἠλέκτρα, ἀλλὰ δὲν
ἦτο κατὰ πάντα βέβαιος, διότι ὑπῆρ-
χον αὐτῷ καὶ ἄλλαι ἀδελφαί. Κατὰ
τὸν Σχολιαστήν· « Ἀναγκαῖον ἐμφα-
νισθῆναι τὸν Ὀρέστην· διεφθάρη γὰρ
τὸ συνεκτικὸν τῆς ὑποθέσεως, σιω-
πῶντος αὐτοῦ». Ἐντεῦθεν ἄρχεται
ἡ ἀναγνώρισις τοῦ δράματος, ἥτις
γίνεται ἢ πρὸς φιλίαν, ὡς ἐνταῦθα,
ἢ πρὸς ἔχθραν, ὡς ἐν Οἰδίποδι τυ-
ράννῳ.

[5]) Ἐρωτᾷ περὶ τοῦ ἀντικειμένου
τῆς λύπης τοῦ Ὀρέστου.

[6]) Εἶναι βραχυλογία ἀντί. ἦ σὸν
τόδε εἶδός ἐστιν τὸ κλεινὸν Ἠλέκ-
τρας εἶδος; Εἶδος εἶναι ἡ μορφή.

[7]) Ὁ Σχολιαστὴς παρατηρεῖ·
« Τοῦτο δύναται μὲν καὶ ἡ Ἠλέκτρα
λέγειν. Εὐπρεπέστερον δὲ τῷ χορῷ
περίκειται, ἵνα μὴ περὶ τοῦ ἑαυτῆς
εἴδους εἴπῃ. Θαυμαστῶς δὲ τὴν
μὲν Κλυταιμνήστραν ἀπὸ τοῦ λαμ-
προῦ σχήματος ὁ ἄγγελος ἐγνώρισεν.
οὗτος δὲ οὐ γινώσκει τὴν Ἠλέκτραν
διὰ τὸ κεκακῶσθαι τὸ σῶμα».

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΡΕΣΤΗΣ.

οἴμοι ταλαίνης ἄρα[1] τῆσδε συμφορᾶς.

ΗΛΕΚΤΡΑ.

οὐ δή ποτ', ὦ ξέν', ἀμφ' ἐμοὶ στένεις[2] τάδε; 1180

ΟΡΕΣΤΗΣ.

ὦ σῶμ' ἀτίμως κἀθέως ἐφθαρμένον[3].

ΗΛΕΚΤΡΑ.

οὗτοι ποτ' ἄλλην ἢ 'με δυσφημεῖς[4], ξένε.

ΟΡΕΣΤΗΣ.

φεῦ τῆς ἀνύμφου δυσμόρου τε σῆς τροφῆς[5].

ΗΛΕΚΤΡΑ.

τί μοί ποτ', ὦ ξέν', ὧδ' ἐπισκοπῶν στένεις;

ΟΡΕΣΤΗΣ.

ὡς οὐκ ἄρ' ἦδη τῶν ἐμῶν οὐδὲν κακῶν[6]. 1185

ΗΛΕΚΤΡΑ.

ἐν τῷ διέγνως τοῦτο τῶν εἰρημένων[7];

ΟΡΕΣΤΗΣ.

ὁρῶν[8] σε πολλοῖς ἐμπρέπουσαν ἄλγεσιν.

1) Ὑπὸ τῶν τραγικῶν τίθεται τὸ ἄρα ἀντὶ τοῦ ἄρα κατὰ τὴν ἀνάγκην τοῦ μέτρου, ὡς ἐν Αἴαντ. 738.

2) Ἐκ τῆς ἡγουμένης φράσεως τοῦ Ὀρέστου ἐνόησεν, ὅτι δι' αὐτὴν στενάζει.

3) Ὁ Ὀρέστης οἰκτείρει τὴν τύχην τῆς ἀδελφῆς μὴ ἀποβλέπων εἰς τὰς ἐρωτήσεις αὐτῆς.

4) Τὸ δυσφημεῖν ἐνταῦθα δὲν σημαίνει ὑβρίζειν, ἀλλὰ λέγειν κακοῖς, λυπηροῖς λόγοις, ὡς παρ' Εὐριπίδ, ἐν Ἑκάβ. 180. Ὀρθῶς δὲ ἐξηγεῖ ὁ Σχολιαστής· «Τὰ δύσφημα ταῦτα, ἃ λέγεις, ἐμοὶ καὶ οὐκ ἄλλῳ τινὶ ἁρμόζει».

5) Ἐνταῦθα σημαίνει δίαιταν, ὡς καὶ ἐν Αἴαντ. 499.

6) Τὴν λυπηρὰν θέσιν τῆς ἀδελφῆς ὁ Ὀρέστης λέγει ἑαυτοῦ κακόν. Ἐννοεῖ μὲν τοῦτο ὁ θεατής, οὐχὶ δὲ καὶ ἡ Ἠλέκτρα.

7) Ἡ γενικὴ συνάπτεται μετὰ τοῦ τῷ. Ἐκ ποίας φράσεώς μου ἐγνώρισας τοῦτο; δηλ. ὅτι ἔχεις κακά.

8) Προέταξε τὸ ὁρᾶν πρὸς δήλωσιν, ὅτι ἡ γνῶσις δὲν προέρχεται ἐκ λόγων, ἀλλ' ἐξ ὄψεως. Ἐκ τοῦ προηγουμένου στίχου ἐννοεῖται τὸ διέγνως τοῦτο. Κατὰ τὸν Schneidewin τὸ ἐμπρέπειν ἄλγεσιν εἶναι ὀξύμωρον· διότι τὸ ἐμ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΗΛΕΚΤΡΑ.

καὶ μὴν ὁρᾷς[1] γε παῦρα τῶν ἐμῶν κακῶν.

ΟΡΕΣΤΗΣ.

καὶ πῶς γένοιτ' ἂν τῶνδ' ἔτ' ἐχθίω βλέπειν;

ΗΛΕΚΤΡΑ.

ὀθούνεκ' εἰμὶ τοῖς φονεῦσι[2] σύντροφος.

ΟΡΕΣΤΗΣ.

τοῖς τοῦ[3]; πόθεν τοῦτ' ἐξεσήμηνας κακόν;

ΗΛΕΚΤΡΑ.

τοῖς πατρός· εἶτα[4] τοῖσδε δουλεύω βίᾳ.

ΟΡΕΣΤΗΣ.

τίς γάρ σ' ἀνάγκη[5] τῇδε προτρέπει βροτῶν;

ΗΛΕΚΤΡΑ.

μήτηρ καλεῖται, μητρὶ δ' οὐδὲν ἐξισοῖ[6].

ΟΡΕΣΤΗΣ.

τί δρῶσα; πότερα χερσὶν[7] ἢ λύμῃ βίου;

ΗΛΕΚΤΡΑ.

καὶ χερσὶ καὶ λύμαισι καὶ πᾶσιν κακοῖς.

ΟΡΕΣΤΗΣ.

οὐδ' οὐπαρήξων[8] οὐδ' ὁ κωλύσων πάρα;

πρέπειν τίθεται ἐπὶ ἀγαθῶν καὶ οὐχὶ ἐπὶ λυπηρῶν.

1) Λέγει τοῦτο ἐν ἀναφορᾷ πρὸς τὸ προηγούμενον ὁρῶν.

2) Ἡ Ἠλέκτρα νομίζει, ὅτι ὁ ξένος γινώσκει τὸν θάνατον τοῦ Ἀγαμέμνονος.

3) Τοῖς φονεῦσι τίνος; Ἐπειδὴ ὁ Ὀρέστης δὲν θέλει ἐνταῦθα νὰ γείνῃ ἡ ἀναγνώρισις, ὑποκρίνεται, ὅτι ἀγνοεῖ, περὶ τίνος φονευθέντος πρόκειται.

4) Τοῦτο εἶναι δεύτερον κακόν, ἀλλὰ μεῖζον τοῦ πρώτου· δηλ. οὐ μόνον συνοικεῖ, ἀλλὰ καὶ δουλεύει τοῖς φονεῦσι τοῦ πατρός. Ὅρα στίχ. 262.

5) Ἐννοεῖ τῷ δουλεύειν. Ποῖος ἐκ τῶν ἀνθρώπων ἀναγκάζει σε εἰς τὴν δουλείαν; ὡς ἐν Ἀντιγόν. 270 «ὃς πάντας ἐς πέδον κάρα νεῦσαι φόβῳ προὔτρεψεν».

6) Κατὰ τὸν Σχολιαστήν· «Οὐκ ἴσα πράσσει τῷ τῆς μητρὸς ὀνόματι»· διότι εἶναι μήτηρ ἀμήτωρ, στίχ. 1154.

7) Διὰ μὲν τοῦ χερσὶν ἐννοεῖ τὴν κακὴν μεταχείρισιν, διὰ δὲ τοῦ λύμῃ τὴν ὕβριν, τὴν περιφρόνησιν.

8) Δηλαδὴ ὁ ἐπαρήξων σοι καὶ ὁ κω-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΗΛΕΚΤΡΑ.

οὐ δῆθ'· ὃς ἦν γάρ μοι, σὺ προύθηκας[1] σποδόν.

ΟΡΕΣΤΗΣ.

ὦ δύσποτμ', ὡς ὁρῶν σ' ἐποικτείρω πάλαι.

ΗΛΕΚΤΡΑ.

μόνος βροτῶν ν υ ν ἴσθ' ἐποικτείρας ποτέ[2].

ΟΡΕΣΤΗΣ.

μόνος γὰρ[3] ἥκω τοῖς ἴσοις ἀλγῶν κακοῖς.

ΗΛΕΚΤΡΑ.

οὐ δή ποθ' ἡμῖν ξυγγενὴς ἥκεις ποθέν;

ΟΡΕΣΤΗΣ.

ἐγὼ φράσαιμ' ἄν, εἰ τὸ τῶνδ'[4] εὔνουν πάρα.

ΗΛΕΚΤΡΑ.

ἀλλ' ἔστιν εὔνουν, ὥστε πρὸς πιστὰς ἐρεῖς.

ΟΡΕΣΤΗΣ.

μέθες τόδ' ἄγγος[5] νῦν, ὅπως τὸ πᾶν μάθῃς.

ΗΛΕΚΤΡΑ.

μὴ δῆτα, πρὸς θεῶν, τοῦτό μ' ἐργάσῃ, ξένε.

ΟΡΕΣΤΗΣ.

πείθου[6] λέγοντι, κοὐχ ἁμαρτήσει ποτέ.

λύσων αὐτήν. Ἔθηκε μέλλοντα πρὸς δήλωσιν, ὅτι ὄντως τὸ κακὸν δὲν ἀπεσοβήθη, ὡς ἐν Ἀντιγόν. 261 «οὐδ' ὁ κωλύσων παρῆν» καὶ ἐν Φιλοκτήτ. 1242 «τίς ἔσται μ' οὐπικωλύσων τάδε;»

1) Κατὰ μὲν Schneidewin ἐννοεῖται ἡ γενικὴ τούτου, κατὰ τὸν Dindorf ὅμως καὶ ἄλλους ἡ αἰτιατική, δηλ. τοῦτον προὔθηκας σποδόν.

2) Ὑπονοεῖται ἡ φράσις, ἄλλοι οὔποτε ἐπῴκτειραν.

3) Αἰτιολογεῖ παραλειφθεῖσαν πρότασιν. Βεβαίως ἐποικτείρω· διότι μόνος ἔρχομαι λυπούμενος διὰ τὰς ἴσας δυστυχίας.

4) Ἀντὶ νὰ εἴπῃ αἵδε· ἐννοεῖ δὲ τὸν χορόν.

5) Τοῦτο λέγων ὁ Ὀρέστης ἅπτεται τῆς ὑδρίας, ὡς γίνεται δῆλον καὶ ἐκ τοῦ ἑπομένου ἐργάσῃ.

6) Ἐν τισι χειρογράφοις εὑρηται πιθοῦ, ὅπερ προτιμᾶται ὑπό τινων ἐκδοτῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΗΛΕΚΤΡΑ.

μὴ πρὸς γενείου, μὴ 'ξέλῃ[1] τὰ φίλτατα.

ΟΡΕΣΤΗΣ.

οὔ[2] φημ' ἐάσειν.

ΗΛΕΚΤΡΑ.

ὦ τάλαιν' ἐγὼ σέθεν[3],
'Ορέστα, τῆς σῆς εἰ στερήσομαι[4] ταφῆς.

ΟΡΕΣΤΗΣ.

εὔφημα φώνει[5]· πρὸς δίκης γὰρ οὐ στένεις.

ΗΛΕΚΤΡΑ.

πῶς τὸν θανόντ' ἀδελφὸν οὐ δίκῃ[6] στένω;

ΟΡΕΣΤΗΣ.

οὔ σοι προσήκει τήνδε προσφωνεῖν[7] φάτιν.

ΗΛΕΚΤΡΑ.

οὕτως ἄτιμός[8] εἰμι τοῦ τεθνηκότος;

ΟΡΕΣΤΗΣ.

ἄτιμος οὐδενὸς σύ, τοῦτο[9] δ' οὐχὶ σόν.

ΗΛΕΚΤΡΑ.

εἴπερ γ' 'Ορέστου σῶμα βαστάζω τόδε.

1) Ὁ Σχολιαστὴς ἐξηγεῖ διὰ τοῦ στερήσῃς. Φίλτατα εἶνε ἡ σποδὸς τοῦ φιλτάτου ἀδελφοῦ.

2) Ἡ ἄρνησις προσδιορίζει τὸ ἀπαρέμφατον. Τὸ διαιρεῖν τὸν στίχον εἰς δύο πρόσωπα λέγεται ἀντιλαβή καὶ παρὰ τῷ Σοφοκλεῖ καὶ τῷ Εὐριπίδῃ εὕρηται ἐν ζωηρῷ διαλόγῳ, ὡς ἐνταῦθα. Ἁπαντᾷ δὲ καὶ παρὰ τῷ Αἰσχύλῳ ἐν τῷ τριμέτρῳ μόνον ἐν Προμηθ. 984 καὶ ἐν τοῖς μελικοῖς ἐν Ἑπτὰ ἐπὶ Θήβ. 200 καὶ 932.

3) Δηλοῖ τὸ αἴτιον τοῦ τάλαινα, ὡς παρ' Εὐριπίδῃ ἐν Ἀλκήστ. 753 «ὦ σχετλία τόλμης». Ἐπεξηγεῖται δὲ διὰ τοῦ, εἰ στερήσομαι.

4) Ὁ μέσος μέλλων κεῖται ἀντὶ τοῦ παθητικοῦ, ὡς συχνάκις παρὰ τοῖς τραγικοῖς.

5) Ἐπειδὴ ἡ Ἠλέκτρα εἶπε ταφήν, ὁ ἀδελφὸς ἀποτρέπει τοιαύτης λέξεως, ἥτις ἠδύνατο νὰ ἦναι δυσοίωνος καὶ διὰ τὴν ἐπιχείρησιν αὐτοῦ.

6) Ἡ Ἠλέκτρα νομίζει, ὅτι ὁ ξενος ἀμφισβητεῖ τὸ ἀδελφικὸν καθῆκον.

7) Ὑπονοεῖται ἡ αἰτιατικὴ ἐμέ, ἣν παραλείπει, διότι ἀναβάλλει ἐπ' ὀλίγον ἔτι τὴν ἀναγνώρισιν.

8) Μὴ ἐννοήσασα ἡ Ἠλέκτρα τὴν σημασίαν τοῦ προσήκει, νομίζει, ὅτι εἶναι ἀναξία τοῦ τεθνηκότος.

9) Ἐννοεῖ τὴν ὑβρίαν μετὰ τῆς ἐν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΡΕΣΤΗΣ.

ἀλλ' οὐκ Ὀρέστου, πλὴν λόγῳ γ' ἠσκημένον[1].

ΗΛΕΚΤΡΑ.

ποῦ δ' ἔστ' ἐκείνου τοῦ ταλαιπώρου τάφος;

ΟΡΕΣΤΗΣ.

οὐκ ἔστι· τοῦ γὰρ ζῶντος οὐκ ἔστιν τάφος.

ΗΛΕΚΤΡΑ.

πῶς εἶπας, ὦ παῖ[2] ;

ΟΡΕΣΤΗΣ.

ψεῦδος οὐδέν, ὧν λέγω.

ΗΛΕΚΤΡΑ.

ἦ ζῇ γὰρ ἀνήρ;

ΟΡΕΣΤΗΣ.

εἴπερ ἔμψυχός γ' ἐγώ[3].

ΗΛΕΚΤΡΑ.

ἦ γὰρ σὺ κεῖνος;

ΟΡΕΣΤΗΣ.

τήνδε προσβλέψασά μου
σφραγῖδα[4] πατρός, ἔκμαθ', εἰ σαφῆ λέγω.

ΗΛΕΚΤΡΑ.

ὦ φίλτατον φῶς[5].

αὐτῇ σποδοῦ. Κατὰ τὸν Σχολιαστὴν σημαίνει· «Οὐ σοι προσῆκον».

[1]) Κατεσκευασμένον κατὰ τὸν Σχολιαστήν.

[2]) Ἡ προσφώνησις αὕτη γίνεται μετὰ οἰκειότητος, ἣν διεγείρει ἡ χαρά, ὡς ἐν Φιλοκτήτ. 236.

[3]) Ἐννοεῖται ἡ ἀπόδοσις ἐκ τοῦ ἡγουμένου ἡμιστιχίου.

[4]) Ὁ Ὀρέστης δείκνυσι τὸν δακτύλιον τοῦ πατρός, ὃν ἡ Ἠλέκτρα εἶχε δώσει τῷ ἀδελφῷ, ὅτε ἔπεμπε πρὸς τὸν Στρόφιον. Τὸ τοιοῦτον εἶδος τοῦ ἀναγνωρισμοῦ κατὰ τὸν Ἀριστοτέλη δὲν εἶναι τὸ ἄριστον. Ὅρα εἰσαγωγ. σελ. 25.

[5]) Γεννᾶται τὸ ζήτημα, ἂν ἐννοῇ τὸν Ὀρέστην, ὡς ὁ Ὅμηρος ἐν Ὀδυσσ. Π. 23 λέγει τὸν Τηλέμαχον γλυκερὸν φάος, ἢ τὴν ἡμέραν, καθ' ἣν βλέπει τὸν ἀδελφόν. Τὸ μὲν πρῶτον δέχεται ὁ Wolff, τὸ δὲ δεύτερον πλεῖστοι ἑρμηνευταί. Ὄντως ἐν στιχ. 1354 ἡ Ἠλέκτρα λέγει τὸν ἀδελφὸν φιλτατον φῶς, ἀλλ' ὀρθῶς παρατηρεῖ ὁ Wunder, ὅτι, ἂν εἶχε τοιαύτην σημασίαν, ὁ Ὀρέστης δὲν ἠδύνατο νὰ ἀποκριθῇ διὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΡΕΣΤΗΣ.

φίλτατον συμμαρτυρῶ.

ΗΛΕΚΤΡΑ.

ὦ φθέγμ'[1], ἀφίκου ;

ΟΡΕΣΤΗΣ.

μηκέτ' ἄλλοθεν[2] πύθῃ. 1225

ΗΛΕΚΤΡΑ.

ἔχω σε χειροῖν ;

ΟΡΕΣΤΗΣ.

ὡς τὰ λοίπ' ἔχεις ἀεί.

ΗΛΕΚΤΡΑ.

ὦ φίλταται γυναῖκες, ὦ πολίτιδες,
ὁρᾶτ' Ὀρέστην τόνδε, μηχαναῖσι μὲν
θανόντα, νῦν δὲ μηχαναῖς[3] σεσωσμένον.

ΧΟΡΟΣ.

ὁρῶμεν, ὦ παῖ, κἀπὶ συμφοραῖσί[4] μοι 1230
γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο.

Στροφή.

ΗΛΕΚΤΡΑ.

ἰὼ γοναί,
γοναὶ σωμάτων[5] 1233

ς φράσεως, φίλτατον συμαρτυρῶ. Τοῦτο λέγουσα ἡ Ἠλέκα περιπτύσσεται τὸν ἀδελφόν, ὡς νεται δῆλον ἐκ τῶν ἑξῆς.

1) Καὶ ἐνταῦθα ἐννοεῖται τὸ ἐπίτον φίλτατον.

2) Ὡς πρότερον ἐμάνθανε παρ' γέλων. Λέγει τοῦτο ἐν σχέσει ος τὸ φθέγμα.

3) Ἡ αὐτὴ ἀπάτη, ἥτις ἐποίησε ν Ὀρέστην νεκρόν, ἔδειξε τοῦτον ὄντα.

4) Συμφορὰ ἐνταῦθα δὲν σημαίνει στυχίαν, ἀλλ' εὐτυχὲς συμβάν, καὶ παρ' Αἰσχύλ. ἐν Ἀγαμέμν. 24 «χαῖρε τῆσδε συμφορᾶς χάριν» καὶ Εὐστάθ. εἰς Ἰλιάδ. Ζ 367 « καὶ ἡ συμφορὰ δὲ οὐ μόνον ἀποτρόπαιος, ἀλλὰ καὶ ἀγαθή, ὡς δηλοῖ σὺν ἄλλοις καὶ ὁ εἰπὼν ἐπ' ἀγαθῷ τὸ ἐπὶ συμφορᾶς γεγηθός».

5) Κατὰ τὸν Σχολιαστήν· «Ἀντὶ τοῦ ἐνικοῦ, γονὴ σώματος ἐμοὶ φιλτάτου Ἀγαμέμνονος». Τὴν ἑρμηνείαν ταύτην, ἣν δέχονται πολλοί, ἀποδοκιμάζει ὁ Ellendt ἐν τῷ λεξικῷ αὐτοῦ. Κατὰ τοῦτον κεῖται ἀντί, σῶμα ξαναίμου φίλτατον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐμοὶ φιλτάτων,
ἐμόλετ' ἀρτίως[1],
ἐφεύρετ', ἦλθετ', εἴδεθ'[2], οὓς ἐχρῄζετε. 1235

ΟΡΕΣΤΗΣ.

πάρεσμεν· ἀλλὰ σῖγ' ἔχουσα πρόσμενε[3].

ΗΛΕΚΤΡΑ.

τί δ' ἔστι;

ΟΡΕΣΤΗΣ.

σιγᾶν ἄμεινον, μή τις ἔνδοθεν κλύῃ[4].

ΗΛΕΚΤΡΑ.

ἀλλ' οὐ τὰν ἀδμήταν αἰὲν Ἄρτεμιν[5],
τόδε[6] μέν οὔ ποτ' ἀξιώσω τρέσαι,
περισσὸν ἄχθος[7] ἔνδον γυναικῶν ὂν ἀεί. 1241

καὶ κατὰ τὸν Schneidewin, σῶμα γεγονὸς ἀδελφοῦ φιλτάτου. Ἐπειδὴ ὅμως τὸ γονὴ σημαίνει τὸ τέκνον, διὰ τοῦ σώματος ἐννοεῖ τὸν Ἀγαμέμνονα. Τοιαύτην σημασίαν ἔχει τὸ γονὴ καὶ ἐν Ἀντιγόν. 641 «γονὰς κατηκόους φύσαντες» καὶ ἐν Οἰδίποδ. ἐπὶ Κολων. 1192. Ἀλλ' ὁ Schneider εἰκάζει, ὅτι ἐννοεῖ τὰ σώματα τοῦ Ἀγαμέμνονος καὶ τοῦ Στροφίου, ὅπερ δεικνύει καὶ τὸ γοναί. Δὲν ἐλέχθη μέν, ὅτι ὁ ἀκόλουθος τοῦ Ὀρέστου ἦτο ὁ Πυλάδης, ὅμως ἀφ' οὗ ὁ ἀδελφὸς ἀνεγνωρίσθη, ἠδύνατο νὰ εἰκάσῃ καὶ τὸν συνοδοιπόρον τούτου· διότι ὁ Ὀρέστης πολλάκις ἔπεμψεν εἰδήσεις τῇ ἀδελφῇ περὶ τοῦ σκοποῦ αὐτοῦ, στίχ. 170. Ἄλλως ἡ Ἠλέκτρα ὤφειλε νὰ προσαγορεύσῃ τὸν Πυλάδην, ἀφ' οὗ τοῦτο δὲν γίνεται ἐν στίχ. 1376, ἔνθα ἡρωϊς ἤκουσε τὸ ὄνομα τοῦ Πυλάδου. Ἡ γνώμη αὕτη, ὡς νομίζομεν, δὲν εἶναι ἀτυχής.

[1]) Νῦν τέλος μετὰ μακρὰν προσδοκίαν, ὡς παρ' Ἀριστοφάν. ἐν Λυσικράτ. 69.

[2]) Τὸ ἀσύνδετον, ὡς παρὰ Δημοκρίτ. ἐν Ἀποσπάσμ. 240, «ἦλθες, ἴδες, ἀπῆλθες», καὶ τὸ πολυθρύλητον τοῦ Καίσαρος, veni vidi vici. Ἡ ἑπομένη ἀναφορικὴ πρότασις κεῖται ἀντὶ τοῦ ἐμέ.

[3]) Κατὰ τὸν Σχολιαστήν· «ἀντὶ τοῦ σίγα, ἕως ἂν κατὰ νοῦν ἀποβῇ τὸ πᾶν».

[4]) Ὀρθῶς παρατηρεῖ ὁ Σχολιαστής· «Παράκειται ἑκάστῳ τὸ οἰκεῖον· ἡ μὲν γάρ, γυνή τε οὖσα καὶ παρὰ προσδοκίαν εὐτυχοῦσα, θρασυτέρα ἐστίν, ὁ δὲ ἀσφαλὴς διὰ τὸ νῦν πρῶτον ἐπιχειρεῖν τοιούτῳ κινδύνῳ».

[5]) Ὁμνύει εἰς τὴν Ἄρτεμιν, ὡς αἱ παρθένοι, ὡς παρ' Αἰσχύλ. ἐν Ἱκέτισ. 139.

[6]) Κατὰ τὸν Schneider ἰσοδυναμεῖ πρὸς τὸ τόνδε τρόμον τρέσαι. Ἐννοεῖ δὲ τὸ σιγᾶν, μή τις ἔνδοθεν κλύῃ. Πιθανώτερον ὅμως οἱ πλεῖστοι τῶν ἑρμηνευτῶν λέγουσιν, ὅτι τὸ περισσὸν ἄχθος εἶναι ἐπεξήγησις τοῦ τόδε. Ὁ μὲν ἄνευ τοῦ δὲ περιπίπτει εἰς τὴν σημασίαν τοῦ γέ.

[7]) Νομίζομεν, ὅτι δὲν εἶναι πι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΡΕΣΤΗΣ.

ὅρα γε μὲν δή, κἀν γυναιξὶν[1] ὡς Ἄρης
ἔνεστιν· εὖ δ' ἔξοισθα πειραθεῖσά που.

ΗΛΕΚΤΡΑ.

ὀτοτοτοτοῖ τοτοῖ[2], 1245
ἀνέφελον[3] ἐνέβαλες, οὔ ποτε καταλύσιμον, 1246
οὐδέ ποτε λησόμενον[4] ἀμέτερον, 1248
οἷον ἔφυ, κακόν. 1250

ΟΡΕΣΤΗΣ.

ἔξοιδα καὐτός· ἀλλ' ὅταν παρουσία[5]
φράζῃ, τότ' ἔργων τῶνδε μεμνῆσθαι χρεών.

ΗΛΕΚΤΡΑ.

Ἀντιστροφή.

ὁ πᾶς[6] ἐμοί,
ὁ πᾶς ἂν πρέποι 1254
παρὼν ἐννέπειν 1254
τάδε δίκᾳ χρόνος· 1255
μόλις γὰρ ἔσχον νῦν ἐλεύθερον στόμα.

θανὴ ἡ ἑρμηνεία τοῦ Wolff, τάσδε τὰς γυναῖκας τὰς ἀεὶ ἔνδον οὔσας (ἐν αντιθέσει πρὸς τὴν τόλμην τῆς Ἠλέκτρας), αἷς περισσῶς ἄχθομαι. Διότι σημαίνει ἀνωφελὲς βάρος, δηλ. αἱ γυναῖκες δὲν ἔχουσι πολεμικὴν ἀξίαν καὶ δὲν πρέπει ταύτας νὰ φοβῆταί τις.

1) Οὐ μόνον ἐν ἀνδράσιν, ἀλλὰ καὶ ἐν γυναιξίν. Προδήλως δ' ἐννοεῖ τὴν Κλυταιμνήστραν, ἥτις ἐφόνευσε τὸν ἄνδρα.

2) Θρηνεῖ ἡ Ἠλέκτρα, διότι ὁ Ὀρέστης ὑπέμνησε τὸν φόνον τοῦ πατρός.

3) Σημαίνει τὸ καλυφθῆναι μὴ δυνάμενον, τὸ ἀσκίαστον, ὡς ἐξηγεῖ ὁ Σχολιαστής. Τὰ χειρόγραφα ἔχουσιν ἐπέβαλες, ἀλλ' ἐκράτησε παρὰ πολλοῖς ἐκδόταις ἡ διόρθωσις τοῦ Hartung, ὅστις ἔτρεψεν εἰς ἐνέβαλες κατὰ τὴν ἑρμηνείαν τοῦ Σχολιαστοῦ Ὁ Wolff ἀνέγνω ὑπέβαλες.

4) Τὸ μέσον κεῖται ἀντὶ τοῦ παθητικοῦ, ἤτοι ἐπιλησθησόμενον κατὰ τὸν Τρικλίνιον.

5) Κατὰ τὸν Σχολιαστὴν σημαίνει, ὅταν ἐπιτρέπῃ ὁ καιρός, Ὁ ποιητὴς θέλει νὰ ἀποφύγῃ τὴν διήγησιν τοῦ φόνου τοῦ Ἀγαμέμνονος, ἥτις ἦτο γνωστὴ τοῖς θεαταῖς.

6) Ἡ σύνταξις ἔχει οὕτως· Ὁ πᾶς παρὼν χρόνος πρέπει ἂν δίκᾳ ἐννέπειν τάδε, δηλ. καθ' ὅλον τὸν παρόντα χρόνον ἁρμόζει νὰ λέγω

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΡΕΣΤΗΣ.

ξύμφημι κἀγώ· τοιγαροῦν σῴζου τόδε[1].

ΗΛΕΚΤΡΑ.

τί δρῶσα;

ΟΡΕΣΤΗΣ

οὗ μή ποτ' ἔστι καιρός, μὴ μακρὰν βούλου λέγειν[2].

ΗΛΕΚΤΡΑ.

τίς οὖν ἀξίαν[3] γε σου πεφηνότος 1260
μεταβάλοιτ' ἄν ὧδε[4] σιγὰν λόγων;
ἐπεί σε νῦν ἀφράστως[5] ἀέλπτως τ' ἐσεῖδον. 1262

ΟΡΕΣΤΗΣ.

τότ' εἶδες, ὅτε θεοί μ' ἐπώτρυναν μολεῖν 1264
- ⏑ - ⏑ ⏑ - ⏑ ⏑ - ⏑ ⏑

ΗΛΕΚΤΡΑ.

ἔφρασας ὑπερτέραν[6] 1265

περὶ τοῦ πατρός μου, διότι πρότερον δὲν εἶχον τὴν ἐλευθερίαν.

1) Ἐννοεῖ τὸ ἐλευθεροστομεῖν. Ἔχεις δίκαιον, ὅτι τέλος ἀπέκτησας τὴν ἐλευθερίαν τοῦ λόγου, ἀλλὰ πρόσεχε μὴ ἀπολέσῃς ταύτην δι' ἀκαίρων λόγων, δι' ὧν ἠδύνατο νὰ ἀποτύχῃ τὸ σχέδιόν μου.

2) Ἰσοδυναμεῖ πρὸς τὸ μακρηγορεῖν.

3) Ὁ Wolff ἔτρεψεν εἰς ἀξίων, ὅπως συντάξῃ πρὸς τὸ λόγων. Ἡ διόρθωσις ἴσως δὲν εἶναι ἀτυχής, διότι ἡ μὲν σιγὴ προσδιορίζεται διὰ τοῦ ὧδε, οἱ δὲ λόγοι ἤθελον μένει ἀνευ προσδιορισμοῦ, ἐν ᾧ εἶναι ἡ κυριωτέρα ἔννοια τῆς προτάσεως. Ἀλλὰ καὶ ἡ γραφὴ τῶν χειρογράφων δὲν παρέχει κακὴν ἔννοιαν· διότι οἱ λόγοι καὶ ἄνευ προσδιορισμοῦ ἐν τῇ διανοίᾳ τῆς Ἠλέκτρας ἔχουσιν ἀξίαν, διότι πρότερον ἐστερεῖτο τούτων. Ἡ ἡρωὶς ὁμολογεῖ μέν, ὅτι ἡ σιγὴ ἔχει ἀξίαν, ἀλλ' οὐδεὶς δύναται νὰ προτιμήσῃ ταύτην τῶν λόγων, ὧν πάντοτε ἐπόθει. Κατὰ τὸν Σχολιαστὴν σημαίνει· «Τίς ἄν, σοῦ φανέντος, δικαίως, ἕλοιτο ἀντὶ λόγων σιωπήν».

4) Κατὰ μὲν τὸν Schneidewin σημαίνει ἐν τοιαύτῃ καταστάσει, ἥτις ἐξηγεῖται διὰ τοῦ ἐπεί, κατὰ δὲ τὸν Wolff δηλοῖ, ὡς σὺ θέλεις.

5) Σημαίνει ἀπροσδοκήτως.

6) Ὁ Ὀρέστης ἀποκρίνεται πρὸς τὸν τελευταῖον στίχον τῆς ἀδελφῆς ἐξηγῶν τὴν αἰτίαν, δι' ἣν ἐδράδυνεν. Μετὰ τὸν στίχον τοῦτον, ὡς δείκνυσιν ἡ στροφή, λείπει ἓν τρίμετρον, ὅπερ ὁ Hermann συμπληροῖ οὕτως· αὐτοὶ γεγῶτες τῇδε τῆς ὁδοῦ βραδῆς.

7) Ἐκ τοῦ ἑπομένου στίχου ἐννοητέον τὴν αἰτιατικὴν χάριν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τᾶς πάρος ἔτι χάριτος[1], εἴ σε θεὸς ἐπόρισεν 1266
ἀμέτερα πρὸς μέλαθρα· δαιμόνιον 1268
αὐτὸ τίθημ'[2] ἐγώ. 1270

ΟΡΕΣΤΗΣ.

τὰ μέν[3] σ' ὀκνῶ χαίρουσαν εἰργαθεῖν, τὰ δὲ
δέδοικα λίαν ἡδονῇ νικωμένην.

Ἐπῳδός.

ΗΛΕΚΤΡΑ.

ἰὼ χρόνῳ μακρῷ φιλτάταν ὁδὸν[4]
ἐπαξιώσας ὧδέ μοι φανῆναι,
μή τί με, πολύστονον ὧδ ἰδών[5], 1275

ΟΡΕΣΤΗΣ.

τί μὴ ποιήσω ;

ΗΛΕΚΤΡΑ.

μή μ' ἀποστερήσῃς[6]
τῶν σῶν προσώπων ἡδονὰν[7] μεθέσθαι.

ΟΡΕΣΤΗΣ

ἥ κάρτα κἂν ἄλλοισι θυμοίμην[8] ἰδών.

ΗΛΕΚΤΡΑ.

ξυναινεῖς[9] ;

ΟΡΕΣΤΗΣ,

τί μὴν οὔ ; 1279

1) Δηλαδὴ τῆς παρουσίας κατὰ τὴν Χολιαστήν.

2) Τοῦτο ἐγὼ θεωρῶ ὡς θείαν μεσίαν.

3) Ἐξ ἑνὸς μέν μέρους διστάζω ποδίζω ἀπὸ τοῦ νὰ χαίρῃς, λου ὅμως φοβοῦμαι, διότι πολὺ σαι ἀπὸ τὴν ἡδονήν.

4) Τὸ ὁδὸν φανῆναι εἶναι ἐπέκτατυμολογικοῦ σχήματος, ὡς ἐν . 1162 «ὦ δεινοτάτας . . πεμκελεύθους» καὶ ἐν Αἴαντ. 878 ευθον φανείς».

5) Ὁ λόγος τῆς Ἠλέκτρας διεὑπὸ τοῦ Ὀρέστου. Συμπληροῦται ὅμως μετὰ τὴν διακοπήν. Μὴ μὲ ἀποστερήσῃς, ἀφ' οὗ μ' εἶδες οὕτω πολλοὺς στεναγμοὺς διεγείρουσαν.

6) Ἡ ἡρωὶς ἐξακολουθεῖ τὸν λόαὐτῆς, ὥσεὶ μὴ ὑπῆρχεν ἡ ἐρώτησις τοῦ Ὀρέστου

7) Τὴν αἰτιατικὴν συναπτέον τῷ ἀποστερήσῃς, ἀλλ' ἐννοεῖται καὶ εἰς τὸ μεθέσθαι, δηλ. ὥστε μεθέσθαι αὐτήν.

8) Κατὰ τὸν Τρικλίνιον· «Οὐ μόνον ἐγὼ τοῦτο οὐ ποιήσω, ἀλλὰ καὶ ἄλλῳ βουληθέντι ποιεῖν ὀργισθήσομαι».

9) Δηλαδὴ μὴ ἀποστερεῖν με.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΗΛΕΚΤΡΑ.

ὦ φίλαι, 1281
ἔκλυον ἄν[1] ἐγὼ οὐδ' ἂν ἤλπισ' αὐδάν, 1281
ἔσχον ὀργὰν[2] ἄναυδον
οὐδὲ σὺν βοᾷ κλύουσα, 1284
τάλαινα. 1284
νῦν δ' ἔχω σε· προυφάνης δὲ 1285
φιλτάταν ἔχων πρόσωψιν,
ἃς ἐγὼ οὐδ' ἂν ἐν κακοῖς[3] λαθοίμαν.

ΟΡΕΣΤΗΣ.

τὰ μὲν περισσεύοντα τῶν λόγων ἄφες,

[1]) Τὰ χειρόγραφα ἔχουσιν, ἔκλυον ἂν ἐγὼ οὐδ' ἂν ἤλπισ' αὐδάν· ἔσχον ὀργὰν ἄναυδον, ἀλλ' ὑπὸ πάντων τῶν κριτικῶν τὸ χωρίον θεωρεῖται ὡς διεφθαρμένον. Πρὸ πάντων οὗτοι προσκρούουσιν εἰς τὸ ἀσύνδετον τοῦ ἔσχον καὶ οἱ διορθωταὶ ἐπειράθησαν νὰ συνάψωσι ποικιλοτρόπως· ὁ μὲν Wunder προστίθησι τὸ ὅτ', ὁ δὲ Wecklein τὸ ἀνίκ' καὶ ὁ Wolff τὸ οἷαν. Νομίζομεν, ὅτι τὸ ἀσύνδετον ἠδύνατο νὰ ἐξηγηθῇ ἐκ τοῦ πάθους τῆς ἡρωΐδος. Σπουδαιότερον φαίνεται τὸ ζήτημα, τί σημαίνει ἡ αὐδή. Κατὰ τὸν Σχολιαστὴν σημαίνει τὴν περὶ τοῦ θανάτου εἴδησιν τοῦ Ὀρέστου. «Ὦ φίλαι, οἵαν ἤκουσα φήμην περὶ τοῦ ἀδελφοῦ ἀπροσδόκητον, ἐφ' ᾗ οὔτε σιωπῆσαι ἂν ἠδυνάμην, οὔτε ἀκούσασα βοῆσαι. Καὶ γὰρ ἡ ἡδονὴ προετρέπετο αὐτὴν βοῆσαι, καὶ ὁ φόβος, ὁ περὶ τὸν Αἴγισθον καὶ τὴν μητέρα, σιωπῆσαι. Ὅμως δὲ ἔχω σε φιλτάτην ἔχοντα πρόσωψιν. Λέγει δὲ περὶ τῆς ἀπωλείας τοῦ Ὀρέστου ὅτε ἤκουσεν». Ὁ Wolff νομίζει, ὅτι τὸ σχόλιον τοῦτο πρέπει νὰ λάβωμεν ὡς βάσιν τῆς ἑρμηνείας. Ἐπειδὴ ὅμως ἡμῖν φαίνεται παράδοξον, ὅτι διὰ τῆς τοιαύτης ἑρμηνείας οὐδὲν ἤθελεν εἰπεῖ ἡ Ἠλέκτρα πρὸς τὴν καταφατικὴν ἀπόκρισιν τοῦ ἀδελφοῦ καὶ ἐπειδὴ ἴσως ἀκαίρως ἤθελε μνισθῇ τῆς περὶ θανάτου εἰδήσεως, νομίζομεν, ὅτι ἡ ἑρμηνεία τοῦ σχολιαστοῦ εἶναι ἀπίθανος. Καθ' ἡμᾶς αὐδὴ εἶναι ἡ φωνὴ τοῦ Ὀρέστου, ἥτις φαίνεται προσφιλεστέρα διὰ τὴν καταφατικὴν ἀπόκρισιν. Σημαίνει λοιπόν· ἤκουσα ἐγὼ φωνήν, τὴν ὁποίαν οὐδὲ νὰ ἐλπίσω ἠδυνάμην, ὅτι θὰ ἀκούσω

[2]) Κατὰ τὴν προηγουμένην ἡμῶν ἑρμηνείαν σημαίνει ὁρμήν, ψυχικὴν διάθεσιν. Οὕτω παρέχεται ἔννοια σύμφωνος τοῖς ἡγουμένοις· ἀκούσασα τὴν φωνὴν τοῦ ἀδελφοῦ κατελήφθην ὑπὸ ὁρμῆς, ὥστε οὔτε νὰ σιωπήσω οὔτε νὰ φωνάξω δύναμαι. Θαυμασίως κατὰ τὴν ἐξήγησιν ταύτην ὁ ποιητὴς δηλοῖ τὸ σιωπηλὸν ἐκεῖνο αἴσθημα, ὑφ' οὗ καταλαμβάνεται ὁ κτησάμενος πᾶν ὅ τι τέρπει τὴν ἀνθρωπίνην ψυχήν, ὡς ἐνταῦθα ἡ Ἠλέκτρα. Κατὰ τὴν ἑρμηνείαν ταύτην δὲν ἔχομεν ἀνάγκην οὔτε νὰ προσθέσωμεν τὸ οὔτ' πρὸ τοῦ ὄναυδον, ὡς ἐποίησεν ὁ Wolff, οὔτε νὰ ὀβελίσωμεν τὸ κλύουσα, ὡς ἔπραξεν ὁ Neue μετὰ τοῦ Jahn.

[3]) Ὁ Schneidewin ἐννοεῖ τὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ μήτε μήτηρ ὡς κακὴ δίδασκέ με,
μήθ' ὡς πατρῴαν κτῆσιν[1] Αἴγισθος δόμων 1290
ἀντλεῖ, τὰ δ'[2] ἐκχεῖ, τὰ δὲ διασπείρει μάτην.
χρόνου[3] γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος.
ἃ δ' ἁρμόσει μοι τῷ παρόντι νῦν χρόνῳ,
σήμαιν', ὅπου φανέντες ἢ κεκρυμμένοι
γελῶντας[4] ἐχθροὺς παύσομεν τῇ νῦν ὁδῷ. 1295
οὕτω[5] δ' ὅπως μήτηρ σε μὴ πιγνώσεται
φαιδρῷ προσώπῳ νῷν[6] ἐπελθόντοιν δόμους·
ἀλλ' ὡς ἐπ' ἄτῃ τῇ μάτην[7] λελεγμένῃ
στέναζ'· ὅταν γὰρ εὐτυχήσωμεν, τότε
χαίρειν παρέσται καὶ γελᾶν ἐλευθέρως. 1300

ΗΛΕΚΤΡΑ.

ἀλλ' ὦ κασίγνητ', ὧδ', ὅπως καὶ σοὶ φίλον,
καὶ τοὐμὸν[8] ἔσται τῆδ'· ἐπεὶ τὰς ἡδονὰς

ποτυχίαν τῆς ἐπιχειρήσεως. Νομίζομεν ὅμως, ὅτι ἡ Ἠλέκτρα λέγει γενικῶς· διότι οἱ ἄνθρωποι ἐν ταῖς δυστυχίαις ἐπιλανθάνονται τῆς εὐτυχίας.

1) Ταῦτα ἠδύνατο νὰ γινώσκῃ ὁ Ὀρέστης καὶ ἐκ τῶν ἀγγελιῶν τῆς Ἠλέκτρας καὶ ἐξ ὅσων εἶδεν ἴσως ἢ ἤκουσε κατὰ τὴν ἐπάνοδον.

2) Ἔθηκε τὴν φράσιν, ὡσεὶ προῃγεῖτο τὰ μέν, ὡς ἐν Ἀντιγόν. 201 «ἠθέλησε δ' αἵματος κοινοῦ πάσασθαι, τοὺς δὲ δουλώσας ἄγειν». Τὴν ἑπομένην φράσιν ὁ Σχολιαστὴς ἐξηγεῖ· «Σκορπίζει ἀκαίρως».

3) Ὁ μὲν Brunck εἴκασεν ἔργου, ὁ δὲ Dindorf πόνου καὶ ὁ Wolff τό σοι ἔτρεψεν εἰς οἷ. Κατὰ τὸν Σχολιαστὴν σημαίνει· «Ἀφαιρεῖται γὰρ τὴν εὐκαιρίαν τῶν μελλόντων πραχθῆναι τῶν λόγων ἡ ἀδολεσχία».

4) Τοῦτο ὑπομιμνήσκει τὸ τῆς Ἠλέκτρας ἐν στίχ. 1153 «γελῶσι δ' ἐχθροί». Διὰ τῆς ὁδοῦ ἐννοεῖ τὴν ἀπάτην, ἣν μετέρχονται.

5) Ἐννοεῖται τὸ σκόπει, ὡς παρ' Εὐριπίδ. ἐν Ἰφιγεν. ἐν Ταύρ. 322 «Πυλάδη, θανούμεθ'· ἀλλ' ὅπως θανούμεθα κάλλιστα».

6) Κατὰ τὸν Wecklein ἐννοεῖται ὁ Ὀρέστης καὶ ὁ Πυλάδης, ὅπερ δὲν φαίνεται πιθανόν· καὶ διότι ὁ τελευταῖος εἶναι κωφὸν πρόσωπον καὶ διότι ὁ συμβουλεύων λέγει τῇ Ἠλέκτρᾳ, ἵνα ἦναι φαιδρὰ οὐχὶ πρὸ τῆς οἰκίας, ἀλλ' ἐν τῇ οἰκίᾳ. Ὅτι ἡ Ἠλέκτρα εἰσῆλθεν εἰς τὰ ἀνάκτορα, γίνεται δῆλον ἐν στίχ. 1398. Διὰ ταῦτα ἐννοεῖ τὸν Ὀρέστην καὶ τὴν Ἠλέκτραν.

7) Ἐνταῦθα σημαίνει ψευδῶς. Ἀντὶ τοῦ λελεγμένῃ εὕρηται καὶ δεδεγμένῃ, ὅπερ προτιμᾷ ὁ Wolff. Ὁ Ὀρέστης συμβουλεύει τῇ ἀδελφῇ νὰ στενάζῃ ὡσεὶ ἐπίστευε τὸν πλασθέντα ὄλεθρον τοῦ ἀδελφοῦ.

8) Τὸ ὧδε καὶ τῇδε κεῖνται ἐκ παραλλήλου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρὸς σοῦ λαβοῦσα κοὐκ ἐμὰς ἐκτησάμην[1],
κοὐδ' ἄν σε λυπήσασα δεξαίμην βραχὺ[2]
αὐτὴ μέγ' εὑρεῖν κέρδος· οὐ γὰρ ἂν καλῶς
ὑπηρετοίην[3] τῷ παρόντι δαίμονι.
ἀλλ' οἶσθα[4] μὲν τἀνθένδε—πῶς γὰρ οὔ;—κλύων,
ὀθούνεκ' Αἴγισθος μὲν οὐ κατὰ στέγας,
μήτηρ δ' ἐν οἴκοις· ἦν σὺ μὴ δείσῃς π[ρ]ό[σ]', ὡς[5]
γέλωτι τοὐμὸν φαιδρὸν ὄψεται κάρα[6]·
μῖσός τε γὰρ παλαιὸν ἐντέτηκέ[7] μοι,
κἀπεί σ' ἐσεῖδον, οὔ ποτ' ἐκλήξω χαρᾷ[8]
δακρυρροοῦσα. πῶς γὰρ ἂν λήξαιμ' ἐγώ,
ἥτις μιᾷ σε τῇδ' ὁδῷ θανόντα[9] τε

1) Ἰσοδυναμεῖ κατὰ τὸν Wunder πρὸς τὴν φράσιν τήνδε· ἐπεὶ τὰς ἡδονάς, ἃς ἐκτησάμην, πρὸς σοῦ ἔλαβον.

2) Ἡ σύνταξις ἔχει οὕτως· κοὐδὲ βραχὺ λυπήσασά σε δ ξαίμην ἄν αὐτὴ μέγ' εὑρεῖν κέρδος.

3) Πρότερον ἀνεγινώσκετο ὑπηρετοίμην, ἀλλ' ὁ Masgrave ἔτρεψεν εἰς ὑπηρετοίην, ὅπερ ἐκράτησε· διότι τοῦ μέσου γίνεται χρῆσις μόνον ἀπὸ τῶν χρόνων τῶν Ἀντωνίνων καὶ ἑξῆς. Παρὼν δαίμων εἶναι ὁ θεὸς ὁ νῦν εὐνοῶν αὐτούς.

4) Ὁ Σχολιαστὴς παρατηρεῖ· «Εἰκὸς γὰρ καὶ ἔξωθεν ταῦτα πεπύσθαι τὸν Ὀρέστην». Ἐνταῦθα ἀποκρίνεται εἰς τὴν παρακέλευσιν τοῦ Ὀρέστου τὴν γενομένην ἐν στίχ. 1294. Τἀνθένδε σημαίνει τὰ πορρωτέρω, τὰ πάρα πέρα, ὡς λέγομεν νῦν, ὡς ἐν στιχ. 1339.

5) Τὸ ὡς καὶ ὅπως τίθενται μετὰ τὰ φόβου σημαντικὰ ῥήματα πρὸς δήλωσιν τοῦ ἀντικειμένου τοῦ φόβου, ὡς ἐν στίχ. 1426 «μηκέτ' ἐκφοβοῦ. μητρῷον ὥς σε λῆμ' ἀτιμάσει ποτέ».

6) Ἐνταῦθα σημαίνει τὸ πρόσωπον, ὡς παρατηρεῖ ὁ Εὐστάθιος εἰς Ἰλιάδ. Δ, 141 «τῷ τοῦ ὅλου ὀνόματι ὀνομάζων τὸ μέρος (ἐλέφανται), ᾧ τρόπῳ βοῦς δέρμα καὶ παρὰ Σοφοκλεῖ . . . κάρα πρόσωπον».

7) Τὸ μῖσος εἰκονίζεται ὡς κηρὸς εἰς τὴν ψυχὴν ἐγκεχυμένος. Παραπλήσιον εἶναι τὸ παρ' Αἰλιαν. ἐν Ποικίλ. ἱστορ. Ι, 32 «ἦ δεινόν κακὸν — ἔχθρα καὶ μῖσος συμφυές, εἴπερ οὖν καὶ τοῖς ἀλόγοις ἐντέτηκεν». καὶ Πλάτ. ἐν Μενεξέν. 245 D «καθαρὸν τὸ μῖσος ἐντέτηκε τῇ πόλει τῆς ἀλλοτρίας φύσεως».

8) Ἀντὶ χαρᾶς, ὅπερ ὑπῆρχεν ἐν τοῖς χειρογράφοις, ὁ Schaefer ἔγραψε χαρᾷ, ὅπερ ἐδέξαντο οἱ ἐκδόται. Κατὰ τὸν Schneider σημαίνει· δὲν θὰ παύσω νὰ χύνω δάκρυα χαρᾶς, ἀλλ' ἡ μήτηρ δὲν θὰ θεωρήσῃ ὡς τοιαῦτα, ἀλλ' ὡς ὀρήνους διὰ τὸν πιστευόμενον θάνατόν σου.

9) Ὁ μὲν Schneidewin κατὰ ζεῦγμα ἐννοεῖ τὸ ἔγνων ἐκ τοῦ ἐσεῖδον, ὁ δὲ Wolff τὸ ἐσεῖδον λαμβάνει ἐν εὐρυτέρᾳ σημασίᾳ, ὡς ἐν Αἴαντ. 785 «ὅρα τόν δ' ὁποῖ' ἔπη θροεῖ» καὶ Αἰσχύλ. ἐν Ἑπτὰ ἐπὶ Θήβ. 99 «κτύπον δέδορκα».

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ζῶντ' ἐσεῖδον ; εἴργασαι δέ μ' ἄσκοπα,[1] 1315
ὥστ', εἰ πατήρ μοι ζῶν ἵκοιτο, μηκέτ' ἂν
τέρας[2] νομίζειν αὐτό, πιστεύειν δ' ὁρᾶν.
ὅτ'[3] οὖν τοιαύτην ἡμὶν ἐξήκεις ὁδόν,
ἄρχ' αὐτός, ὡς σοι θυμός· ὡς ἐγὼ μόνη
οὐκ ἂν δυοῖν ἥμαρτον[4]· ἢ γὰρ ἂν καλῶς 1320
ἔσωσ' ἐμαυτὴν ἢ καλῶς ἀπωλόμην.

ΟΡΕΣΤΗΣ.

σιγᾶν ἐπήνεσ'[5], ὡς ἐπ' ἐξόδῳ κλύω
τῶν ἔνδοθεν[6] χωροῦντος.

ΗΛΕΚΤΡΑ.

εἶσιτ', ὦ ξένοι,
ἄλλως τε καὶ φέροντες[7], οἵ' ἂν οὔτε τις

[1]) Κατὰ τὸν Σχολιαστὴν σημαίνει ἀπροσδόκητα.

[2]) Ὑπερφυσικὸν φαινόμενον, εἴδωλον, ὡς ἐν Ἀντιγόν. 376 «ἐς δαιμόνιον τέρας ἀμφίνωῶ τύδε».

6 *Τοὺς νόμους. Ἐκ τοῦ ἀναφορικοῦ λόγου ἐγένετο μετάβασις εἰς*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θνατὰ[1] φύσις ἀνέρων ἔτικτεν οὐδὲ
μή ποτε λάθᾳ[2] κατακοιμάσῃ. 870
μέγας ἐν τούτοις θεός[3], οὐδὲ γηράσκει.

Ἀντιστροφὴ β'.

ὕβρις[4] φυτεύει τύραννον·
ὕβρις, εἰ[5] πολλῶν ὑπερπλησθῇ μάταν,

τὸν δεικτικόν, ὅπερ συμβαίνει ἀπειράκις παρὰ τοῖς ἀρχαίοις.

1 Ἠδύνατο νὰ εἴπῃ ὁ ποιητὴς καὶ θνατῶν, ὅπως συμφωνήσῃ πρὸς τὸ ἀνέρων. Ἀλλὰ τὸ φύσις ἀνέρων ἀποτελεῖ μίαν ἔννοιαν.

2 Ἐὰν μὲν γράψωμεν λάθᾳ πρέπει νὰ λάβωμεν τὸ ὑποκείμενον καὶ τὸ ἀντικείμενον ἐκ τῆς προηγουμένης προτάσεως (δηλ. οὐδὲ ὑπάρχει φόβος μήποτε ἡ ἀνθρωπίνη φύσις παραδώσῃ τούτους εἰς λήθην)· ἂν δὲ λάθα, ὡς ποιεῖ ὁ Dindorf, τότε τὸ ὄνομα τοῦτο εἶναι τὸ ὑποκείμενον.

3 Ὀρθῶς ὁ Σχολιαστὴς ἑρμηνεύει· "τουτέστι θεία δύναμις καὶ μεγάλη τοῖς νόμοις ἔνεστιν". Ἀντὶ νὰ εἴπῃ γηράσκων εἶπε γηράσκει κατὰ παράταξιν. Περὶ τοῦ αἰωνίου κύρους τῶν νόμων ἀπαντῶμεν καὶ ἀλλαχοῦ παράλληλα, Σοφοκλ. ἐν Ἀντιγόν. 454 "οὐ γάρ τι νῦν γε κἀχθές, ἀλλ' ἀεί ποτε ζῇ ταῦτα, κοὐδεὶς οἶδεν ἐξ ὅτου 'φάνη" καὶ Ἐμπεδοκλ. 426 "τὸ μὲν πάντων νόμιμον διὰ τ' εὐρυμέδοντος αἰθέρος ἠνεκέως τέταται διά τ' ἀπλέτου αὐγῆς". Ἐξήγησις· Εἴθε νά μοι ἦναι πεπρωμένον νὰ ἔχω τὴν σεβαστὴν καθαρότητα τῶν λόγων καὶ ὅλων τῶν πράξεων, περὶ τῶν ὁποίων ὑπάρχουσιν ὑψηλοὶ νόμοι γεννηθέντες εἰς τὸν οὐράνιον αἰθέρα, τῶν ὁποίων μόνος ὁ Ὄλυμπος εἶναι πατὴρ καὶ τούτους δὲν ἐγέννησαν οἱ φύσει θνητοὶ ἄνθρωποι καὶ δὲν ὑπάρχει φόβος μή ποτε παραδώσωσιν εἰς λήθην. Θεία ὑπάρχει δύναμις ἐν τούτοις οὐδέποτε μαραινομένη.

4 Ἡ ὕβρις ἀντιτίθεται πρὸς τὴν σωφροσύνην ἤτοι, τὴν εὐσεπτον ἁγνείαν λόγων ἔργων τε πάντων. Ὡς ὁ Ὄλυμπος εἶναι ὁ πατὴρ τῶν ἠθικῶν νόμων, οὕτως ἡ ὕβρις (ἡ ἀλαζονεία, ἡ ἀνοσιότης) γεννᾷ τὸν παραβάτην. Σημειωτέον, ὅτι τὸ φυτεύειν λέγεται ἐπὶ ἀνδρός, πλὴν ὅταν ἦναι ἐν μεταφορικῇ σημασίᾳ, ὡς ἐνταῦθα. Ὁ Musgrave εἰκάζει, ὅτι ὁ ποιητὴς ἐνταῦθα ὑπαινίσσεται τὸν Ἀλκιβιάδην ὑπομιμήσκων τὸ χωρίον τοῦ Πλουτάρχου ἐν βίῳ Ἀλκιβιάδ. κεφ. 16 "οἱ μὲν ἔνδοξοι μετὰ τοῦ βδελύττεσθαι καὶ δυσχεραίνειν ἐφοβοῦντο τὴν ὀλιγωρίαν αὐτοῦ καὶ παρανομίαν, ὡς τυραννικὰ καὶ ἀλλόκοτα. Ἄλλοι ὅμως ἀμφιβάλλουσι περὶ τούτου. Τὴν φράσιν ὁ Blaydes τρέπει εἰς, ὕβριν φυτεύει τυραννίς. Ἡ πολυθρήλητος φράσις δὲν εἶναι ἀναγκη νὰ μεταβληθῇ.

5 Τὸ εἰ ἐνίοτε συντάσσεται πρὸς ὑποτακτικήν, ὡς ἐν στίχ. 198 "τέλει

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἃ μὴ 'πίκαιρα[1] μηδὲ συμφέροντα,
ἀκρότατον εἰσαναβᾶσ'[2]
αἶπος[3] ἀπότομον ὦρουσεν εἰς ἀνάγκαν,
ἔνθ' οὐ ποδὶ χρησίμῳ[4]
χρῆται. τὸ καλῶς δ' ἔχον πόλει πάλαισμα[5]
μή ποτε λῦσαι θεὸν αἰτοῦμαι·
θεὸν[6] οὐ λήξω ποτὲ προστάταν ἴσχων.

γὰρ εἴ τι νὺξ ἀφῇ„. Τὸ δὲ ὑπερπλησθῇ ὑπομιμνήσκει τὴν ῥῆσιν, ὅτι ὁ κόρος τίκτει τὴν ὕβριν, ὡς Σόλων ἐν 'Αποσπάσμ. 8 "Τίκτει γὰρ κόρος ὕβριν, ὅταν πολὺς ὄλβος ἕπηται„. Πίνδαρ. ἐν 'Ολυμπ. 13, 10· "Ὕβριν κόρου ματέρα„· παράβαλλ. καὶ 'Ηρόδοτ. VII, 77.

1 Τοῦτο λέγει ὡς πρὸς τὸ δίκαιον· ἡ ἑπομένη φράσις δηλοῖ, εἶναι δ' ἀσύμφορα ἑαυτῷ.

2 Ὁ Σχολιαστὴς ἑρμηνεύει "Ὕβρις μηδὲν καίριον διαπραττομένη, εἰς δύσβατον ἀκρώρειαν ἀναβιβάσασα τοὺς χρωμένους αὐτῇ κατεκρήμνισεν. Ἢ οὕτως· ἀπότομον ὦρουσεν εἰς ἀνάγκην, ἦλατο εἰς τοῦτο, ὥστε αὐτὸν εἰς ἀνάγκην γενέσθαι ὑφ' ἑτέρων κρατηθῆναι„.

3 Πρὸ τῆς λέξεως ἀπότομον ὑπάρχει κενόν, ὅπερ ὁ μὲν Nauck συμπληροῖ διὰ τοῦ ἄκραν, ὁ δὲ Arndt διὰ τοῦ αἶπος = ὕψωμα. ὅπερ ἐπιδοκιμάζεται. Ἀντὶ τοῦ ἀπότομον χειρόγραφόν τι τῆς Δρέσδης ἔχει ἄποτμον, ὅπερ δὲν φαίνεται πιθανόν. Ἄποτμος δὲ ἀνάγκη ἤθελεν εἶναι ἡ ἄτη. Τὸ ὦρουσεν εἶναι γνωμικὸς ἀόριστος, ὡς ἐν Αἴαντ. 674 "δεινῶν τ' ἄημα πνευμάτων ἐκοίμισε στένοντα πόντον„. Παραπλησία εἰκὼν ὑπάρχει καὶ ἐν Ἀντιγόν. 853 "προβᾶσ' ἐπ' ἔσχατον θράσους ὑψηλὸν ἐς Δίκας βάθρον προσέπεσες, ὦ τέκνον„.

4 Εἰρωνικῶς μεταχειρίζεται ὀξύμωρον ὡς τὸ δῶρον ἄδωρον καὶ χάρις ἄχαρις. Ὁ πούς, ὅστις εἶναι προωρισμένος νὰ χρησιμεύῃ, δὲν χρησιμεύει ἐν τοιαύτῃ πτώσει· ὁ πεσὼν δὲν δύναται νὰ μεταχειρισθῇ στερεὸν πόδα. Καὶ ὅμως ἡ καλὴ αὕτη ἔννοια δὲν ἤρεσε τοῖς κριτικοῖς, ἀλλ' ὁ μὲν Dindorf εἰκάζει ῥυσίμῳ, ὁ δὲ Blaydes φυξίμῳ.

5 Αἱ δύο αὗται λέξεις ἀποτελοῦσι παρήχησιν. Ὁ χορὸς γενικῶς μὲν ἐννοεῖ τὸν καλὸν ἀγῶνα πρὸς διατήρησιν τῶν θείων νόμων κατὰ τῶν ὑβριστῶν, εἰδικῶς δὲ συνδέει μετὰ τοῦ ἀγῶνος πρὸς εὕρεσιν τοῦ φονέως τοῦ Λαΐου, ὡς λέγει ὁ Σχολιαστής „Ἤγουν τὴν ζήτησιν τοῦ φόνου τοῦ Λαΐου„.

6 Οὐχὶ πιθανῶς ὁ Wunder διώρθωσε τὸ θεὸν εἰς, τὸν ἐγώ. Ὁ στίχος οὗτος ἀντιστοιχεῖ πρὸς τὸν τελευταῖον τῆς στροφῆς. Ἐξήγησις· Ἡ ἀλαζονεία γεννᾷ τὸν τύραννον· ἡ ἀλαζονεία, ἂν πληρωθῇ ἀνωφελῶς πολλῶν, τὰ ὁποῖα εἶναι ἄδικα καὶ ἀσύμφορα εἰς ἑαυτήν, ἀναβᾶσα εἰς τὸ ὑ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Στροφή β'.

εἰ δέ τις ὑπέροπτα[1] *χερσὶν*
ἢ λόγῳ πορεύεται,
Δίκας ἀφόβητος[2] *οὐδὲ* 885
δαιμόνων ἕδη[3] *σέβων,*
κακά νιν ἕλοιτο[4] *μοῖρα,*
δυσπότμου[5] *χάριν χλιδᾶς,*
εἰ[6] *μὴ τὸ κέρδος κερδανεῖ δικαίως* 890

ψηλότατον ὕψωμα κατέπεσεν εἰς φοβερὰν ἀνάγκην, ὅπου δὲν χρησιμοποιεῖ τὸν πόδα. Παρακαλῶ δὲ τὸν θεὸν νὰ μὴ τελειώσῃ ποτὲ τὸν καλὸν ἀγῶνα τῆς πόλεως. Τὸν θεὸν δὲν θὰ παύσω ἀπὸ τοῦ νὰ θεωρῶ προστάτην.

1 Τὸ ἐπίθετον ὑπέροπτος, ὅταν μὲν ἔχῃ παθητικὴν σημασίαν, σημαίνει π α ρ η μ ε λ η μ έ ν ο ς, ὅταν δὲ ἐνεργητικήν, ὡς ἐνταῦθα, ἀλαζονικός, ὑβριστικός. Κατὰ δύο δὲ τρόπους δυνάμεθα νὰ συντάξωμεν ἢ ἐπιρρηματικῶς ἢ νὰ θεωρήσωμεν ὡς σύστοιχον αἰτιατικήν, ὡς ἐν Αἴαντ. 197 "ἀτάρβητα ὁρμᾶται„ καὶ Εὐριπ. ἐν Ἴων. 717 "λαιψηρὰ πηδᾷ„. Τὸ χερσὶν δηλοῖ, ὅ τι καὶ τὸ ἔργῳ, δηλ. ὅστις πράττει ἔργῳ ἢ λόγῳ καταφρονητικῶς. Ἀντὶ τοῦ ὑπέροπτα ὁDobree ἔγραψεν ὑ π έ ρ ο π λ α, ὅπερ πολλοὶ ἐκδόται δέχονται. Ἡ διόρθωσις εὐφυῶς μὲν ἐγένετο, ἀλλὰ δὲν εἶναι ἀναγκαία.

2 Τὴν δίκην μὴ δεδοικώς. Ἐπίθετα σύνθετα ἐκ τοῦ α τοῦ στερητικοῦ συντάσσονται συνήθως πρὸς γενικήν, ὡς Ξενοφ. ἐν Ἀπομ. II, 1, 31 "τοῦ πάντων ἡδίστου ἀκούσματος, ἐπαίνου σεαυτῆς, ἀνήκοος εἶ, καὶ τοῦ πάντων ἡδίστου θεάματος ἀθέατος„. Ὅρα, ὅτι ἔθηκεν ο ὐ δ ὲ καὶ ο ὐ χ ὶ μηδέ, εἰ καὶ ὑπάρχει τὸ εἶ.

3 Ὁ Musgrave εἰκάζει, ὅτι ἐννοεῖ ὁ ποιητὴς τὰ εἴδωλα καὶ ὑπαινίσσεται τὸν Ἑρμοκοπίδην Ἀλκιβιάδην, ὅπερ δὲν εἶναι πιθανόν, διότι οἱ Ἑρμαῖ ἐκόπησαν βραδύτερον.

4 Μετεχειρίσθη τὸ μέσον ῥῆμα, διότι ὁ χορὸς εὔχεται, ἵνα ἡ κακὴ μοῖρα λάβῃ τὸν ὑπερόπτην ὡς ἴδιον κτῆμα, ὡς ἐν Αἴαντ. 394 "ἰὼ σκότος, ἔρεβος, ἕλεσθέ μ' οἰκήτορα„.

5 Δύσποτμος σημαίνει μὲν τὸν δυστυχῆ, ἀλλὰ καὶ τὸν ἀνόσιον· χλιδὴ δὲ εἶναι ἡ ὑπερηφανία, ἡ θρασύτης, ὡς Αἰσχύλ. ἐν Προμηθ. 437 "μή τοι χλιδῇ δοκεῖτε μηδ' αὐθαδίᾳ σιγᾶν με„. Ὁ Σχολιαστὴς ἑρμηνεύει· "Ἕνεκα τῆς ἀνοσίου τρυφῆς καὶ ὑπερηφανίας. Ὑπὸ τρυφῆς γὰρ καὶ ἐπὶ τοιαῦτα οἱ τύραννοι παραγίνονται„.

6 Ἐπαναλαμβάνεται ἡ προηγηθεῖσα ὑπόθεσις, ὅπως ἡ σημασία αὐτῆς ὁρισθῇ ἀκριβέστερον. Ἔθηκε τὸ ἄρθρον εἰς τὸ κέρδος, ἵνα δηλώσῃ τὸ ζητούμενον. Ὁ ποιητὴς ἀποκρούει τὴν παρὰ πολλοῖς αἰσχρὰν ἀρ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ[1] τῶν ἀσέπτων ἔρξεται,
ἢ[2] τῶν ἀθίκτων ἔξεται μετάζων.
τίς ἔτι ποτ' ἐν τοῖσδ' ἀνὴρ θυμοῦ βέλη[3]
ἔρξεται[4] ψυχᾶς ἀμύνειν;
εἰ γὰρ αἵ τοιαίδε πράξεις[5] τίμιαι,
τί δεῖ με χορεύειν;[6]

χήν, ἐν Ἡλέκτρ. 61 "οὐδὲν ῥῆμα σὺν κέρδει κακόν", ἐν Φιλοκτήτ. 108 "οὐκ αἰσχρὸν ἡγεῖ δῆτα τὰ ψευδῆ λέγειν; οὔκ, εἰ τὸ σωθῆναί γε τὸ ψεῦδος φέρει" καὶ ἐν Ἀποσπάσμ. 749 "τὸ κέρδος ἡδύ, κἂν ἀπὸ ψευδῶν ἴῃ".

1 Τὸ εἰ μὴ ἐννοεῖται ἐκ τοῦ ἡγουμένου στίχου. Ὁ Σχολιαστὴς ἑρμηνεύει· "ἤγουν ἀφέξεται, κωλυθήσεται τῶν ἀσεβῶν ἐπιχειρημάτων".

2 Δὲν ἠδύνατο ὁ ποιητὴς νὰ μεταχειρισθῇ τὸν καὶ ἀντὶ τοῦ ἤ, διότι ἠδύνατό τις νὰ συμπληρώσῃ διὰ τοῦ εἰ μή, ὅπερ ἤθελε παράσχει ἀντίθετον ἔννοιαν. Ὅτι τὸ ἔξεται κεῖται ἐπὶ κακῆς σημασίας, δηλοῖ τὸ μετάζων, δηλ. ἔξεται ματαίαις χεροὶ (=ἀκολάστοις), ὡς ἐν Τραχιν. 565· "ψαύει ματαίαις χερσίν". Κατὰ τὸν Nauck ἰσοδυναμεῖ τῷ, ἅψεται ὧν μὴ χρὴ ἔχεσθαι. Τὸ μετάζω ἐγένετο κατὰ τὸ τεράζω, σφαδάζω καὶ ἄλλα, περὶ ὧν ὅρα Ἡρωδ. Περὶ μονήρ. λέξεως σελ. 23.

3 Κατά τινας δηλοῖ τὰς κατὰ τῶν ἀσεβῶν ἀράς, ὡς ἐν Ἀντιγόν. 1085 "ἀφῆκα θυμῷ καρδίας τοξεύματα".

4 Οἱ κριτικοὶ εἰκάζουσιν ὅτι τὸ χωρίον διεφθάρη, διότι ὁ ἀντιγραφεὺς ἔγραψεν ἐνταῦθα ἔρξεται κατὰ τὸ προηγούμενον. Ὁ Musgrave εἰκάζει εὖ ξεται, ὅπερ δὲν παρέχει κρείττω ἔννοιαν τοῦ ἔρξεται. Ὁ ποιητὴς θέλει νὰ εἴπῃ· τίς ἄνθρωπος ἐν τοιαύταις περιστάσεσι (δηλ. ἂν συμβαίνωσιν, ὅσα περιέγραψε) θὰ ἀποστῇ ὥστε νὰ ἀπομακρύνῃ ἀπὸ τῆς ψυχῆς αὐτοῦ τὰ κακὰ τοῦ θυμοῦ ὁρμήματα. Ὁ χορὸς ἐν τῇ ἄκρᾳ αὐτοῦ εὐσεβείᾳ ὑπελέγχει τὴν μακροθυμίαν τῶν θεῶν ὑποδεικνύων, ὅτι, ἂν μὴ ἐπέλθῃ τιμωρία παρὰ τούτων, πάντες θέλουσι γείνει ἀσεβεῖς. Κατὰ τὸν Wecklein ὅμως ὁ χορὸς ἀπολογεῖται διὰ τὴν τραχεῖαν κρίσιν περὶ τῆς βασιλίσσης "Ἂν ἀντὶ τοῦ ἀμύνειν ὑπῆρχεν ἀμύνων, ἤθελεν εἶναι προτιμότερον, ὡς εἰκάζει ὁ Dindorf.

5 Οἵας περιέγραψε πρὸ ὀλίγου.

6 Ὁ χορὸς ἀπετέλει μέρος τῆς λατρείας καὶ ἄλλων θεῶν καὶ δὴ τοῦ Διονύσου. Ἐκ τῶν διθυραμβικῶν χορῶν ἐγένετο ἡ τραγῳδία. Ἐξήγησις· Ἂν τις ὅμως πράττῃ ὑβριστικῶς δι' ἔργου ἢ διὰ λόγου χωρὶς νὰ φοβῆται τὴν Δίκην μηδὲ νὰ σέβηται τοὺς ναοὺς τῶν θεῶν, εὔχομαι νὰ τὸν καταλάβῃ κακὴ μοῖρα, χάριν ἀσεβοῦς ὑπερηφανίας, ἂν δὲν κερδήσῃ δικαίως τὸ ζητούμενον κέρδος καὶ ἂν μὴ ἀπόσχῃ τῶν ἀσεβῶν πράξεων ἢ ψαύσῃ τὰ ἱερὰ διὰ βεβήλων χει-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀντιστροφὴ β'.

οὐκέτι τὸν ἄθικτον εἶμι
γᾶς ἐπ' ὀμφαλὸν[1] σέβων
οὐδ' ἐς τὸν Ἄβαισι[2] ναὸν
οὐδὲ τὰν Ὀλυμπίαν[3], 900
εἰ μὴ τάδε[4] χειρόδεικτα
πᾶσιν ἁρμόσει βροτοῖς.
ἀλλ' ὦ κρατύνων[5], εἴπερ ὀρθ' ἀκούεις,
Ζεῦ, πάντ'[6] ἀνάσσων, μὴ λάθοι

ρῶν. Τίς πλέον καμμίαν φορὰν ὑπὸ τοιαύτας περιστάσεις θέλει ἀπόσχει, ὥστε νὰ ἀπομακρύνῃ ἀπὸ τῆς ψυχῆς αὐτοῦ τὰ κακὰ ὁρμήματα τοῦ θυμοῦ· διότι ἂν αἱ τοιαῦται πράξεις ἦν ἔντιμοι, τίς ἡ χρεία νὰ χορεύω;

1 Διὰ τί τὸ ἐν Δελφοῖς μαντεῖον λέγεται ὀμφαλὸς τῆς γῆς, εἴρηται ἐν στίχ. 480.

2 Ὁ Εὐστάθιος γινώσκει δύο τονισμοὺς Ἄβαι καὶ Ἀβαὶ εἰς Ἰλιάδ. 279, 1, ὁ Ἀρκάδιος ὅμως παρατηρεῖ ἐν σελ. 104, 11 "Τὰ εἰς βη ἰαμβικὰ κύρια... βαρύνεται. Ἄβη„. Οὐχὶ σπανίως παρὰ τοῖς ἀρχαίοις τίθεται ἁπλῆ δοτικὴ πρὸς δήλωσιν τῆς ἐν τόπῳ στάσεως, ὡς Σοφοκλ. ἐν Τραχιν 171 "ὡς τὴν παλαιὰν φηγὸν αὐδῆσαί ποτε Δωδῶνι δισσῶν ἐκ πελειάδων ἔφη„ καὶ Εὐριπίδ. ἐν Φοινισσ. 617. Αἱ Ἄβαι ἔκειντο ἐν Φωκίδι, Ἡρόδοτ. VII, 134 "καὶ ἐς Ἄβας τῶν Φωκέων ἀπικόμενος ἐπὶ τὸ χρηστήριον καὶ δὴ καὶ ἐς Θήβας πρῶτα ὡς ἀπίκετο, τοῦτο μὲν τῷ Ἰσμηνίῳ Ἀπόλλωνι ἐχρήσατο ἔστι δέ, κατά περ ἐν Ὀλυμπίῃ, ἱροῖσι αὐτόθι χρηστηριάζεσθαι„ καὶ Παυσαν. X, 35.

3 Ἐν Ὀλυμπίᾳ ὑπῆρχεν ἀρχαιότατον χρηστήριον τοῦ Διός, ἐν ᾧ δι' ἐμπύρων ἐμαντεύοντο. Πίνδ. ἐν Ὀλυμπ. VIII, 2 "ἵνα μάντιες ἄνδρες ἐμπύροις τεκμαιρόμενοι παραπειρῶνται Διὸς ἀργικεραύνου„.

4 Ὁ Σχολιαστὴς ἑρμηνεύει· "Εἰ μὴ ταῦτα τῶν χρησμῶν, ἢ τὰ λεχθέντα ὑπὸ Ἰοκάστης, φανερὰ καὶ κατάδηλα γένηται, οὐκέτι τιμήσω θεούς„. Ὁ μὲν Wunder νομίζει, ὅτι τὸ τάδε ἀναφέρεται εἰς τὰ ἑπόμενα, ἤτοι εἰς τοὺς χρησμοὺς τοῦ Λαΐου, ὁ δὲ Wolff εἰς τὴν τιμωρίαν τοῦ ὑβριστοῦ, ὅπερ πιθανώτερον· ἂν μὴ ταῦτα ἁρμοσθῶσιν ἢ κυρωθῶσιν ὁλοφάνερα διὰ τὴν συνείδησιν πάντων τῶν θνητῶν. Εὔχεται ὁ χορός, ἵνα οἱ ὑβρισταὶ τιμωρηθῶσι, μὴ λογιζόμενος, ὅτι εὔχεται ὑπὲρ τοῦ ὀλέθρου τοῦ ἄνακτος, οὗ τὴν σωτηρίαν ἐπιθυμεῖ.

5 Τὸ κρατύνων ἐτέθη ἄνευ ἀντικειμένου, ὡς Αἰσχύλ. ἐν Προμηθ. 150 "Ζεὺς ἀθέτως κρατύνει„.

6 Ἀντὶ τοῦ πάντα περιέμενέ τις, πάντων, ἀλλὰ προετίμησε τὴν ἐπιρρηματικὴν σύνταξιν, κατὰ πάντα. Τὸ δὲ μὴ λάθοι εἶναι σύνηθες ἐν ἀραῖς, ὡς Εὐριπίδ. ἐν Μηδ. 332, "Ζεῦ, μὴ λάθοι σε τῶν δ', ὃς αἴτιος κακῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σὲ τάν τε σὰν ἀθάνατον αἰὲν ἀρχάν[1].
φθίνοντα γὰρ[2] Λαΐου
θέσφατ' ἐξαιροῦσιν[3] ἤδη,
κοὐδαμοῦ τιμαῖς Ἀπόλλων ἐμφανής·
ἔρρει δὲ τὰ θεῖα[4].

ΙΟΚΑΣΤΗ[5]

χώρας ἄνακτες[6], δόξα μοι παρεστάθη
ναοὺς ἱκέσθαι δαιμόνων, τάδ' ἐν χεροῖν
στέφη[7] λαβούσῃ κἀπιθυμιάματα.
ὑψοῦ γὰρ αἴρει[8] θυμὸν Οἰδίπους ἄγαν
λύπαισι παντοίαισιν, οὐδ' ὁποῖ' ἀνὴρ

1 *Οὐχὶ σπανίως προστίθεται τὸ μέρος εἰς τὸ ὅλον, ὡς Σοφοκλ. ἐν Ἀντιγόν.* 95 "ἔα με καὶ τὴν ἐξ ἐμοῦ δυσβουλίαν παθεῖν τοῦτο„.

2 *Μετὰ τὸ γὰρ ἐξέπεσε τοῦ κειμένου λέξις τις, ὁ δὲ* Schneidewin *εἰκάζει, ὅτι αὕτη εἶναι,* π υ θ ό χ ρ η σ τ α.

3 *Ὑποκείμενον ἐννοεῖ ὁ ποιητὴς τό, οἱ ἄνθρωποι κατ' εὐφημισμόν, ὅπως μὴ ὀνομάσῃ τὴν Ἰοκάστην. Τὸ δὲ* φ θ ί ν ο ν τ α *ληπτέον κατηγορηματικῶς, δηλ. ἐξαιροῦσιν, ὥστε φθίνειν αὐτά.*

4 *Καταστρέφεται ἡ λατρεία τῶν θεῶν. Ἐξήγησις· Δὲν θὰ πορευθῶ πλέον εἰς τὸν ἱερὸν ὁμφαλὸν τῆς γῆς σεβόμενος αὐτόν, οὐδὲ εἰς τὸν ἐν Ἄβαις ναόν, οὐδὲ εἰς τὴν Ὀλυμπίαν, ἂν ταῦτα δὲν κυρωθῶσι δι' ὅλους τοὺς ἀνθρώπους ὁλοφάνερα. Ἀλλ', ὦ βασιλεῦ, ἐὰν βέβαια ἀκούῃς ἀσφαλῶς, Ζεῦ, ὅλα κυβερνῶν, εὔχομαι νὰ μὴ μείνωσιν ἀπαρατήρητα ταῦτα εἰς σὲ καὶ τὴν αἰωνίως ἀθάνατον ἐξουσίαν σου· διότι τὰ περὶ τοῦ Λαΐου μαντεύματα οἱ ἄνθρωποι δὲν δέχονται πλέον ὡς ἄκυρα καὶ οὐδαμοῦ φανερὰ τιμᾶται ὁ Ἀπόλλων· ἡ λατρεία τῶν θεῶν ἐξαφανίζεται.*

5 *Ἡ Ἰοκάστη εἰσέρχεται εἰς τὴν σκηνὴν διὰ τῆς μέσης θύρας, ταύτῃ δ' ἕπονται δύο θεραπαινίδες ἔχουσαι ἀνημμένας δᾷδας καὶ φέρουσαι θυμιάματα. Αὐτὴ δὲ ἔχει κλάδον ἐλαίας, ὡς ἐν ἀρχῇ τοῦ δράματος εἴρηται.*

6 *Οὕτως ὀνομάζει τοὺς ἀρίστους τῆς χώρας, ἐξ ὧν σύγκειται ὁ χορός, ὡς Σοφοκλ. ἐν Ἀντιγόν.* 940 "Θήβης οἱ κοιρανίδαι„. *Τὸ* π α ρ ε σ τ ά θ η *ἰσοδυναμεῖ πρὸς τὸ* π α ρ έ σ τ η, *ἡ δὲ φράσις ἔχει τὴν αὐτὴν σημασίαν, ἣν καὶ τὸ* ἔ δ ο ξ έ μ ο ι.

7 *Ἐννοεῖ ἱκτηρίους κλάδους, ὡς ἐν στίχ.* 3, *ὅπερ πράττει ὡς ἱκέτις.*

8 *Ὁ Σχολιαστὴς ἑρμηνεύει· "Ἀντὶ τοῦ μετεωρίζεται τὴν ψυχὴν καὶ ὑπερβαλλόντως ἄχθεται„. Οὕτω δὲ πάσχει ὁ Οἰδίπους οὐχὶ ἐξ ὀργῆς, ἀλλ' ἐκ λύπης.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔννους τὰ καινὰ τοῖς πάλαι τεκμαίρεται[1],
ἀλλ' ἔστι τοῦ λέγοντος[2], *εἰ φόβους λέγοι.*
ὅτ'[3] *οὖν παραινοῦσ' οὐδὲν ἐς πλέον ποιῶ,*
πρός σ', ὦ Λύκει' Ἄπολλον, ἄγχιστος[4] *γὰρ εἶ,*
ἱκέτις ἀφῖγμαι τοῖσδε σὺν κατάργμασιν[5], *920*
ὅπως λύσιν[6] *τιν' ἡμὶν εὐαγῆ πόρῃς·*

1 *Κατὰ τὴν γνώμην τῆς Ἰοκάστης, ἣν ἐδήλωσε καὶ ἐν στίχ.* 711, *εἰ ὁ Οἰδίπους ἐποίει σύγκρισιν τοῦ παλαιοῦ χρησμοῦ τοῦ δοθέντος τῷ Λαΐῳ πρὸς τὸν νέον, ἤθελεν ἀπαλλαγῆ τοῦ φόβου.* Ἰσοκράτ. *ἐν Πανηγυρ.* § 141 "δεῖ τὰ μέλλοντα τοῖς γεγενημένοις τεκμαίρεσθαι„. Ὁ Σχολιαστὴς παρατηρεῖ· "Οὐχ ὡς συνετὸς ἀνὴρ διὰ τῶν φθασάντων τὰ παρόντα γιγνώσκει. Εἰ γὰρ ὁ ὑπὸ Ἀπόλλωνος δοθεὶς τῷ Λαΐῳ χρησμὸς ἠκύρωται, δῆλον ὅτι καὶ ἃ νῦν ἐμαντεύσατο ὁ Τειρεσίας, ψευδῆ ἐστιν„.

2 *Γίνεται κτῆμα τοῦ λέγοντος, ἀνήκει εἰς τὸν λέγοντα, πείθεται εἰς τοῦτον, ὡς Πλάτ ἐν Γοργ.* 508 D "εἰμὶ δὲ ἐπὶ τῷ βουλομένῳ, ὥσπερ οἱ ἄτιμοι τοῦ ἐθέλοντος, ἐάν τε τύπτειν βούληται„ Ἀριστοφάν. *ἐν Ἱππεῦσι* 860 "μὴ τοῦ λέγοντος ἴσθι„. Ὀρθῶς παρατηρεῖ ὁ Σχολιαστής· "Μόνοις προσέχει τοῖς τὰ δεινὰ καὶ φοβερὰ ἀπαγγέλλουσιν. Τῶν δὲ παραμυθουμένων οὐκ ἀνέχεται„. Τὸ χωρίον ἑρμηνεύεται εὐκόλως καὶ δὲν εἶναι ἀνάγκη νὰ τρέψωμεν εἰς τοῦ τυχόντος, ὡς εἰκάζει ὁ Mekler.

3 *Τὸ ὅτε ἐνταῦθα ἔχει αἰτιολογικὴν σημασίαν, ὡς Δημοσθ. ἐν Ὀλυνθ.* 1 *ἐν ἀρχῇ*, "ὅτε τοίνυν τοῦθ' οὕτως ἔχει, προσήκει προθύμως ἐθέλειν ἀκούειν τῶν βουλομένων συμβουλεύειν„ καὶ Σοφοκλ. *ἐν Ἠλέκτρ.* 1318 "ὅτ' οὖν τοιούτων ἦμιν ἐξήκεις ὁδόν, ἄρχ' αὐτός„. Ἐπειδὴ λοιπὸν ἐνθαρρύνουσα δὲν κατορθώνω τίποτε.

4 Ὁ βωμὸς τοῦ Ἀπόλλωνος ἔκειτο πρὸ τῶν θυρῶν. Ἱκετεύει δὲ πρῶτον τοῦτον τὸν θεόν, εἶτα δὲ τοὺς ἄλλους. Νομίζομεν, ὅτι καὶ τοῦτο ἐμφαίνει ὕβριν τῆς Ἰοκάστης πρὸς τὸν θεόν, διότι ἱκετεύει τοῦτον, οὐχὶ διότι ὕβρισεν, ἀλλὰ διότι κατὰ τύχην ὁ βωμὸς αὐτοῦ ἔκειτο πλησίον.

5 Τὰ χειρόγραφα ἔχουσι κατεύγμασιν, ἀλλ' ὁ Wunder διώρθωσεν εἰς, κατάργμασιν, διότι τὸ ἐν τοῖς χειρογράφοις σημαίνει εὐχὴν καὶ οὐχὶ τὴν προσφερομένην θυσίαν. Ἡ διόρθωσις ἔτυχε τῆς ἐπιδοκιμασίας πολλῶν καὶ κυροῦται ὑπὸ παραλλήλων χωρίων. Εὐριπίδ. *ἐν Ἰφιγεν. ἐν Ταύρ.* 244 "χέρνιβας δὲ καὶ κατάγματα οὐκ ἂν φθάνοις ἂν εὑπρεπῆ ποισυμένη„ καὶ Πλούταρχ *ἐν βίῳ Θησ.* 22 "τὴν δὲ εἰρεσιώνην ἐκφέρουσι, κλάδον ἐλαίας ἐρίῳ μὲν ἀνεστεμμένον, ὥσπερ τότε τὴν ἱκετηρίαν, παντοδαπῶν δὲ ἀνάπλεων καταργμάτων„.

6 Ἡ λύσις λέγεται ἐναγής, καθ' ὅσον ἔμελλε νὰ ἀποδειχθῇ, ὅτι ὁ Οἰδίπους εἶναι ἀγνός.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὡς νῦν ὀκνοῦμεν πάντες ἐκπεπληγμένον
κεῖνον βλέποντες ὡς κυβερνήτην νεώς[1].

ΑΓΓΕΛΟΣ

ἆρ' ἂν παρ' ὑμῶν, ὦ ξένοι, μάθοιμ', ὅπου
τὰ τοῦ τυράννου δώματ' ἐστὶν Οἰδίπου;[2]
μάλιστα[3] δ' αὐτὸν εἴπατ', εἰ κάτισθ', ὅπου.

ΧΟΡΟΣ

στέγαι μὲν αἵδε, καὐτὸς ἔνδον, ὦ ξένε·
γυνὴ δὲ μήτηρ[4] ἥδε τῶν κείνου τέκνων.

ΑΓΓΕΛΟΣ

ἀλλ' ὀλβία τε καὶ ξὺν ὀλβίοις ἀεὶ
γένοιτ'[5], ἐκείνου γ' οὖσα παντελὴς[6] δάμαρ.

ΙΟΚΑΣΤΗ

αὕτως[7] δὲ καὶ σύ γ', ὦ ξέν'· ἄξιος γὰρ εἶ

1 *Ἡ φράσις ἐρρήθη μετά τινος βραχυλογίας· διότι τώρα ὅλοι φοβούμεθα βλέποντες ἐκεῖνον ἐκπεπληγμένον, ὡς φοβοῦνται οἱ ναῦται βλέποντες τὸν κυβερνήτην τοῦ πλοίου. Τούτων λεγομένων ἡ μὲν Ἰοκάστη κατατίθησι τὴν θυσίαν ἐπὶ τοῦ βωμοῦ, αἱ δὲ θεραπαινίδες ἀνάπτουσι τὸ πῦρ. Τὴν εἴσοδον τοῦ ἀγγέλου ἡ Ἰοκάστη θεωρεῖ ὡς πλήρωσιν τῆς εὐχῆς αὐτῆς, ὡς ἡ Κλυταιμνήστρα ἐν Ἠλέκτρ. στίχ. 673.*

2 *Ἡ ἐρώτησις αὕτη δηλοῖ παράκλησιν.*

3 *Πρὸ πάντων εἴπατε, ἂν γνωρίζητε ἀκριβῶς, ποῦ ὁ ἴδιος εἶναι. Ὁ ἄγγελος εἰσῆλθεν εἰς τὴν σκηνὴν εὔθυμος, νομίζων, ὅτι ἀγγέλλει εὐχάριστα.*

4 *Ὁ χορὸς ἠδύνατο νὰ δείξῃ μόνον τὴν γυναῖκα τοῦ ζητουμένου Οἰδίποδος, ἀλλὰ προσέθηκε καὶ τὸ δεύτερον, ὅπως διὰ τῆς παραθέσεως τῶν λέξεων ὑποδηλώσῃ. ὅτι μήτηρ καὶ γυνὴ τοῦ Οἰδίποδος εἶναι τὸ αὐτὸ πρόσωπον. Παράβαλλ. στίχ. 264.*

5 *Κατὰ τὸν* Wecklein *τὸ τρίτον πρόσωπον, εἶναι ἄτοπον, ἀφ' οὗ ἡ σύστασις ἐγένετο πρὸς τὴν βασίλισσαν. Διὰ τοῦτο γράφει γένοι'. Νομίζομεν, ὅτι καλῶς ἔχουσι τὰ χειρόγραφα· διότι κατὰ τὴν διόρθωσιν ἄρχεται τοῦ λόγου πρὸς τὴν βασίλισσαν ὁ ἄγγελος, ἐν ᾧ κατὰ τὰ χειρόγραφα ἡ Ἰοκάστη πρὸς τὸν ἄγγελον. Ὁ* Schmidt *προβαίνει πορρωτέρω γράφων ναίοις.*

6 *Τὸ ἔχειν τέκνα εἶναι τὸ τέλειον ἐν τῷ γάμῳ. Τὸ ἐναντίον λέγεται γάμος ἀτελής Ἰλιάδ. Β, 701. Τοῦτο οἱ θεαταὶ ἐννοοῦσιν ὡς πικρὰν εἰρωνείαν·*

7 *Κατὰ τὸν αὐτὸν τρόπον εὔχομαι νὰ ἦσαι ὄλβιος. Εἰς τὸ ἄξιος*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς εὐεπείας[1] οὕνεκ'. ἀλλὰ φράζ', ὅτου
χρῄζων ἀφῖξαι χὤ τι σημῆναι θέλων.

ΑΓΓΕΛΟΣ

ἀγαθὰ δόμοις τε καὶ πόσει τῷ σῷ[2], γύναι.

ΙΟΚΑΣΤΗ

τὰ ποῖα ταῦτα, πρὸς τίνος δ' ἀφιγμένος;[3] 935

ΑΓΓΕΛΟΣ

ἐκ τῆς Κορίνθου[4]. τὸ δ' ἔπος, οὐξερῶ τάχα,
ἥδοιο μέν, πῶς δ' οὐκ ἄν; ἀσχάλλοις[5] δ' ἴσως.

ΙΟΚΑΣΤΗ

τί δ' ἔστι; ποίαν[6] δύναμιν ὧδ' ἔχει διπλῆν;[7]

ἐννοεῖται ἡ γενικὴ τοῦ ὄλβιος εἶναι.

1 Τῆς εὐφημίας, ἤτοι τῆς καλῆς εὐχῆς.

2 Προηγεῖται τὸ γένος καὶ ἕπεται τὸ εἶδος, ὡς καὶ ἐν τῇ Ὁμηρικῇ φράσει, Τρῶές τε καὶ Ἕκτωρ· σημαίνει δὲ κατ' ἐξοχὴν εἰς τὸν ἄνδρα σου. Ἡ πρότασις συμπληροῦται ἐκ τοῦ ἡγουμένου στίχου, δηλ. θέλων σημῆναι.

3 Ἐννοεῖται ἡ φράσις ἀγαθὰ σημῆναι.

4 Ὁ ἄγγελος δὲν ἀποκρίνεται πρὸς τὸ ἐρωτώμενον, δότι λέγει περὶ τῆς πόλεως, ἐν ᾗ ἠρωτήθη περὶ τοῦ προσώπου τοῦ πέμψαντος. Δὲν ἀποκρίνεται δὲ περὶ τούτου, διότι μόνος ἀκούσας τὴν φήμην ἦλθεν. Ὅρα δ', ὅτι ἡ ἀπόκρισις γίνεται κατ' ἀντίστροφον τάξιν. Τὸ ἔπος εἶναι πτώσεως αἰτιατικῆς· ὅσον ἀφορᾷ εἰς τὸν λόγον. Το τάχα ὁ Brunck διώρθωσεν εἰς τάχ' ἄν, ὅπερ δὲν εἶναι ἀναγκαῖον, διότι τὸ ἄν ἐννοεῖται ἐκ τῆς ἑπομένης φράσεως.

5 Ἐκ τῶν ἡγουμένων ἐννοεῖται τό ἄν, ὡς παρὰ Πλάτ. ἐν Φαίδων. 87 Ε "ἀναγκαῖον ἂν εἴη ἀπολομένης δὲ τῆς ψυχῆς τὴν φύσιν ἐπιδεικνύοι τὸ σῶμα καὶ σαπὲν διοίχοιτο„ καὶ Αἰσχύλ. ἐν Ἀγαμέμν. 1008 "πείθοι' ἄν, εἰ πείθοι· ἀπειθοίης δ' ἴσως„. Ἴσως ὅμως δύνασαι νὰ λυπηθῇς. Ὁ Σχολιαστὴς παρατηρεῖ "Διὰ μὲν τὸ εὖ πράττειν, καὶ ἑτέρας ἀρχῆς ἀντιλαβέσθαι, ἡσθήσεσθαι φησὶν αὐτήν· ἀσχάλλειν δὲ διὰ τὸ ἀπιέναι Οἰδίπουν ἐπὶ τὰ οἰκεῖα„. Κατὰ μὲν τὸ φαινόμενον τοῦτο λέγει ὁ ἄγγελος, πράγματι δὲ μὴ ἐννοῶν προλέγει τὰ μέλλοντα συμβῆναι.

6 Ὁ μὲν Heimsoeth εἰκάζει πῶς ἄν, ὁ δὲ Nauck πῶς ἂν δύναμιν ἓν διπλῆν ἔχοι; Ἡ διόρθωσις δὲν εἶναι κακή

7 Δηλαδὴ τοῦ τε ἥδεσθαι καὶ τοῦ ἀσχάλλειν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΑΓΓΕΛΟΣ

τύραννον αὐτὸν οὖπιχώριοι χθονὸς
τῆς Ἰσθμίας στήσουσιν, ὡς ηὐδᾶτ' ἐκεῖ[1].

ΙΟΚΑΣΤΗ

τί δ'; [2] οὐχ ὁ πρέσβυς Πόλυβος ἐγκρατὴς ἔτι;

ΑΓΓΕΛΟΣ

οὐ δῆτ', ἐπεί νιν θάνατος ἐν τάφοις ἔχει[3].

ΙΟΚΑΣΤΗ

πῶς εἶπας;[4] ἦ τέθνηκε Πόλυβος, ὦ γέρον;

ΑΓΓΕΛΟΣ

εἰ μὴ λέγω[5] τἀληθές, ἀξιῶ θανεῖν.

ΙΟΚΑΣΤΗ

ὦ πρόσπολ'[6], οὐχὶ δεσπότῃ τάδ' ὡς τάχος
μολοῦσα λέξεις; ὦ θεῶν μαντεύματα,
ἵν'[7] ἐστέ. τοῦτον Οἰδίπους πάλαι τρέμων

1 *Ἐκ τῆς φράσεως ταύτης γίνεται δῆλον, ὅτι ὁ Οἰδίπους ἐν Κορίνθῳ δὲν ἐθεωρεῖτο νόμιμος κληρονόμος.*

2 *Ὁ μὲν ἄγγελος εἶπε μόνον τὴν αἰτίαν τῆς χαρᾶς, ἡ δὲ Ἰοκάστη ὑπὸ μεγάλης ἡδονῆς καταληφθεῖσα δὲν ἐρωτᾷ περὶ τῆς αἰτίας τῆς λύπης.*

3 *Τοῦτο λέγεται ἐν ἀντιθέσει πρὸς τὸ ἐγκρατὴς (ἔχων τὴν ἐξουσίαν) μετὰ δημώδους εἰρωνείας, δηλ. δὲν κρατεῖ, ἀλλὰ κρατεῖται.*

4 *Ἐπειδὴ ἡ εἴδησις εἶναι λίαν εὐχάριστος, μόλις ἡ Ἰοκάστη δυναμένη νὰ πιστεύσῃ εἰς τὰ ὦτα αὐτῆς θέλει νὰ ἀκούσῃ πάλιν ταύτην. Ἡ εἴδησις εἶναι εὐχάριστος· διότι ἐλέγχεται ψευδὲς τὸ μάντευμα καὶ λήγει ὁ φόβος τοῦ Οἰδίποδος.*

5 *Ὁ ἄγγελος νομίζων, ὅτι ὡς ψευδόμενος δὲν γίνεται πιστευτὸς κατὰ ἁπλοϊκὸν τρόπον ἁρμόζοντα τοῖς δούλοις προτείνει τιμωρίαν. Οἱ κριτικοὶ εἰκάζουσιν, ὅτι καὶ ἐνταῦθα τὸ χωρίον διεφθάρη, ἀλλ' αἱ διορθώσεις αὐτῶν εἶναι αὐθαίρετοι.*

6 *Τοῦτο λέγει τῇ θεραπαινίδι, ἥτις ἠκολούθει τῇ Ἰοκάστῃ.*

7 *Τὸ ἵνα ἐνταῦθα δὲν εἶναι ἐρωτηματικόν, ἀλλὰ κεῖται ἐπὶ ἀναβοήσεως, ὡς Ἰλιάδ. Β, 339 "πῇ δὴ συνθεσίαι τε καὶ ὅρκια βήσεται ἡμιν;" Ἀριστοφάν. ἐν Σφηξὶ 187 "ὦ μιαρώτατος, ἵν' ὑποδέδυκεν".*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν ἄνδρ' ἔφευγε[1] *μὴ κτάνοι, καὶ νῦν ὅδε*
πρὸς τῆς τύχης[2] *ὅλωλεν, οὐδὲ τοῦδ'*[3] *ὕπο.*

ΟΙΔΙΠΟΥΣ

ὦ φίλτατον[4] *γυναικὸς Ἰοκάστης κάρα,* 950
τί μ' ἐξεπέμψω[5] *δεῦρο τῶνδε δωμάτων;*

ΙΟΚΑΣΤΗ

ἄκουε τἀνδρὸς τοῦδε, καὶ σκόπει κλύων,
τὰ σέμν'[6] *ἵν' ἥκει τοῦ θεοῦ μαντεύματα.*

ΟΙΔΙΠΟΥΣ

οὗτος δὲ τίς ποτ' ἐστί, καὶ τί μοι λέγει;

ΙΟΚΑΣΤΗ

ἐκ τῆς Κορίνθου[7]*, πατέρα τὸν σὸν ἀγγελῶν* 955
ὡς[8] *οὐκέτ' ὄντα Πόλυβον, ἀλλ' ὀλωλότα.*

ΟΙΔΙΠΟΥΣ

τί φῄς, ξέν'; αὐτός *μοι σὺ σημάντωρ*[9] *γενοῦ.*

ΑΓΓΕΛΟΣ

εἰ τοῦτο πρῶτον[10] *δεῖ μ' ἀπαγγεῖλαι σαφῶς,*

Ζη μακρὰν τῆς αὐτοῦ πα- Ὁ Σχολιαστὴς ἑρμηνεύει· ει, ἐξόριστος ἐγένετο". Ἡ ἔχει οὑτωσίν· Οἰδίπους πά- ων ἔφευγε μὴ κτάνοι τοῦτον ρα.

Ἀπὸ φυσικοῦ θανάτου, τέ- τὸν τῆς εἱμαρμένης, τὸν αὐ- θάνατον.

Μετεχειρίσθη ταύτην τὴν ἀν- ν, διότι ἦλθεν ἤδη ὁ Οἰδί- τὴν σκηνήν.

Ἡ περίφρασις εἶναι συνήθης γικοῖς, ὡς Σοφοκλ. ἐν Ἀν- "Ὦ κοινὸν αὐτάδελφον Ἰσ- κάρα", Εὐριπίδ. ἐν Ὀρέστ.

470 "ὦ χαῖρε πρέσβυ, Ζηνὸς ὁμόλεκτρον κάρα".

5 *Μετεπέμψω*, μετεκαλέσω.

6 *Ἐπειδὴ ἡ Ἰοκάστη λέγει εἰρωνικῶς, ἰσοδυναμεῖ τὸ ἐπίθετον πρὸς τὰ ψευδῆ, μάτην τιμώμενα.*

7 *Μετεχειρίσθη τὸν προσδιορισμὸν τοῦτον, ὡσεὶ προηγεῖτο πόθεν ἥκει. Δὲν εἶναι δ' ἀνάγκη νὰ τρέψωμεν τὸ τίς ποτ' ἐστὶ εἰς ποδαπός ἐστι, ὡς εἴκασεν ὁ* M. Schmidt.

8 *Ἰσοδυναμεῖ τῷ ἀγγελῶν, ὡς οὐκέτ' ἔστιν ὁ πατήρ σου.*

9 *Σημήνας γενοῦ*, = *σήμηνον.*

10 *Ὁ ἄγγελος ἤθελε νὰ ἀρχίσῃ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εὖ ἴσθ' ἐκεῖνον θανάσιμον [1] βεβηκότα.

ΟΙΔΙΠΟΥΣ

960 πότερα δόλοισιν[2], ἢ νόσου ξυναλλαγῇ[3];

ΑΓΓΕΛΟΣ

σμικρὰ παλαιὰ σώματ' εὐνάζει ῥοπή[4].

ΟΙΔΙΠΟΥΣ

νόσοις ὁ τλήμων, ὡς ἔοικεν, ἔφθιτο.

ΑΓΓΕΛΟΣ

καὶ τῷ μακρῷ[5] γε συμμετρούμενος χρόνῳ.

ΟΙΔΙΠΟΥΣ

φεῦ φεῦ, τί δῆτ' ἄν, ὦ γύναι, σκοποῖτό τις
965 τὴν πυθόμαντιν[6] ἑστίαν ἢ τοὺς ἄνω
κλάζοντας ὄρνεις[7], ὧν ὑφηγητῶν ἐγὼ

πρῶτον ἀπὸ τῶν ἡδέων, ἀλλ' ἐπειδὴ παρετήρησεν, ὅτι ὁ θάνατος ἤγειρε τὴν προσοχήν, ἀναγκάζεται νὰ εἴπῃ πρῶτον περὶ τῶν λυπηρῶν. Οὕτω λοιπὸν δὲν ἔχομεν ἀνάγκην νὰ ὑποθέσωμεν, ὅτι ἔπρεπε νὰ ἦναι τ α ὐ τ ὸ ν α ὖ θ ι ς.

1 *Συνήθως τὸ ἐπίθετον ἔχει ἐνεργητικὴν σημασίαν, δηλ. σημαίνει τὸ προξενοῦν θάνατον, ἐνταῦθα δὲ παθητικήν. Γνώριζε καλῶς, ὅτι ἐκεῖνος ἀπέθανεν.*

2 *Διὰ τῆς λέξεως ταύτης ὁ ποιητὴς ἐννοεῖ δολοφονίαν.* Ὁ Meineke *προτείνει φ ό ν ο ι σ ι ν, ἀλλ' ἡ πρότασις δὲν αἴρει δυσκολίαν τινὰ περὶ τὴν ἑρμηνείαν.*

3 *Συναλλαγὴ ἐνταῦθα σημαίνει παρέμπτωσιν, συντυχίαν.*

4 Ὁ *Σχολιαστὴς ἑρμηνεύει·* "Ἡ *τυχοῦσα πρόφασις ἐξαρκεῖ, ὥστε τὸ παλαιὸν σῶμα ἐξενεγκεῖν τοῦ βίου*". *Οὐχὶ πολὺ διάφορα λέγει ὁ Πλάτων ἐν Πολιτ.* VIII. 556 *E* "σῶμα νοσῶδες μικρᾶς ῥοπῆς ἔξωθεν δεῖται προσλαβέσθαι πρὸς τὸ κάμνειν".

5 *Τοῦτο λέγει ὁ ἄγγελος πρὸς παρηγορίαν, ὡς παρατηρεῖ ὁ Σχολιαστής·* "Τοῦτο ὁ ἄγγελός φησιν, ὡς παραμυθούμενος, ὅτι μακραίων ἀπέθανε, καὶ οὐ δεῖ ἐπ' αὐτῷ ἀπολοφύρεσθαι".

6 *Τὴν μαντικὴν Πυθοῦς ἑστίαν, ἣν προσωποποιεῖ.*

7 *Τοῦτο λέγει μετὰ περιφρονήσεως.* Ὁ *Τειρεσίας ἐν Θήβαις εἶχεν* ο ἰ ω ν ο σ κ ο π ε ῖ ο ν, *Παυσ.* IX. 16, 1. Ἐν *τοῖς ὁμηρικοῖς ἤδη ἔπεσιν ἀπαντῶσιν ἀσεβεῖς φράσεις πρὸς τὴν μαντικὴν τῶν ὀρνέων* Ἰλιάδ. *M*, 237 "τύνη δ' οἰωνοῖσι τανυπτερύγεσσι κελεύεις πείθεσθαι, τῶν οὔτι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κτανεῖν ἔμελλον πατέρα τὸν ἐμόν; ὁ δὲ[1] *θανὼν*
κεύθει[2] *κάτω δὴ γῆς, ἐγὼ δ' ὅδ' ἐνθάδε*[3]
ἄψαυστος[4] *ἔγχους· εἴ τι μὴ τῷμῷ πόθῳ*
κατέφθιθ'[5]*· οὕτω δ' ἂν θανὼν εἴη 'ξ ἐμοῦ.* 970
τὰ δ' οὖν παρόντα[6] *συλλαβὼν θεσπίσματα*
κεῖται παρ' Ἅιδῃ Πόλυβος ἄξι'[7] *οὐδενός.*

ΙΟΚΑΣΤΗ

οὔκουν ἐγώ σοι ταῦτα προύλεγον πάλαι;

ΟΙΔΙΠΟΥΣ

ηὔδας· ἐγὼ δὲ τῷ φόβῳ παρηγόμην.[8]

ατρέπομ οὐδ' ἀλεγίζω, εἴτ' ἐπὶ
ί' ἴωσι πρὸς ἠῶ τ' ἠέλιόν τε,
' ἐπ' ἀριστερὰ τοίγε ποτὶ ζόφον
όεντα„. Ἐν τῇ ἑπομένῃ φράσει
ρελείφθη ἡ μετοχὴ ὄντων, εἰ
εἶναι ἀπόλυτος, ὅπερ σπανίως
μβαίνει, ὡς ἐν Οἰδίποδ. ἐπὶ Κο-
ν. 82 "ἐν ἡσύχῳ ἔξεστι φωνεῖν,ὡς
οῦ μόνης πέλας„. Παράβαλλ. 1587.

1 *Ἡ ἐσωτερικὴ τοῦ Οἰδίποδος*
ραχὴ ἀπεικονίζεται ἐν τρισὶ κατὰ
νέχειαν διαλύσεσι τοῦ μακροῦ, ὡς
Φιλοκτήτ. 932.

2 *Τὸ ἐνεργητικὸν κεῖται ἀντὶ*
ὁ παθητικοῦ κεύθεται, κρύπτεται.
ο χειρόγραφα παραλείπουσι τὸ δή,
δὲ Dindorf *εἰκάζει κ ά τ ω θ ε ν.*

3 *Ἐννοεῖται τὸ ε ἰ μ ί.*

4 *Ἔχει ἐνεργητικὴν σημασίαν*
ταῦθα τὸ ἐπίθετον, ὡς τὸ ὑ π έ ρ ο-
τ ο ς ἐν στίχ 883, *τὸ ἄ κ λ α υ-*
τ ο ς ἐν Ἠλέκτρ. 912, *τὸ ἄ γ ε υ-*
τ ο ς ἐν Ἀντιγόν. 582. *Ἔγχος εἶναι*
ξίφος καὶ τὸ δόρυ, ὅπερ δέον νὰ
νοήσωμεν ἐνταῦθα, ὅπως γίνηται
εἰρωνεία· διότι ὁ Οἰδίπους ἐφόνευσε
τὸν Λάϊον διὰ σκήπτρου. Ὅρα
στίχ. 811.

5 *Τοῦτο εἶναι σόφισμα, καθ' ὃ*
ἠδύνατο νὰ μὴ ἐξελεγχθῇ ψευδόμε-
νος ὁ θεός· ὄντως ἡ μήτηρ τοῦ Ὀ-
δυσσέως ἐκ πόθου πρὸς τὸν ἀπόντα
υἱὸν ἔθανεν, Ὀδυσσ. *Λ*, 202. *Λέγει*
δὲ τοῦτο εἰρωνικῶς.

6 *Ἀντὶ τοῦ παρόντα ὁ* F. Schmidt *ἔγραψε γ έ ρ ο ν τ α. Ἡ*
διόρθωσις δὲν φαίνεται πιθανή, ἀλλὰ
τὸ οὐδέτερον γένος, εὕρηται ἐν Ὀ-
δυσσ. Χ, 184 «σάκος εὐρὺ γέρον„,
παρ' Αἰσχύλ. ἐν ἀποσπ. 323 "γέρον
*γράμμα„ *καὶ παρὰ Σοφοκλ. ἐν ἀ-*
ποσπ. 721 "γέροντα βουλεύεις„.
Λοιπὸν παραλαβὼν μ ε θ' ἑ α υ τ ο ῦ
τὰ παρόντα θεσπίσματα κεῖται. Ἐν-
νοεῖ τὰ μαντεύματα.

7 *Κατηγορηματικῶς· οὕτως, ὥ-*
στε νὰ μὴ ἔχωσι μηδεμίαν ἀξίαν, νὰ
ἐξελεγχθῶσι ψευδῆ.

8 *Ὁ Σχολιαστὴς ἑρμηνεύει* "ὑπὸ
*τοῦ φόβου ἠπατώμην„.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΙΟΚΑΣΤΗ

μὴ νῦν ἔτ' αὐτῶν μηδὲν ἐς θυμὸν βάλῃς [1].

ΟΙΔΙΠΟΥΣ

καὶ πῶς τὸ μητρὸς λέκτρον [2] οὐκ ὀκνεῖν με δεῖ;

ΙΟΚΑΣΤΗ

τί δ' ἂν φοβοῖτ' ἄνθρωπος [3], ᾧ τὰ τῆς τύχης
κρατεῖ, πρόνοια δ' ἐστὶν οὐδενὸς σαφής;
εἰκῇ [4] κράτιστον ζῆν, ὅπως δύναιτό τις.
σὺ [5] δ' εἰς τὰ μητρὸς μὴ φοβοῦ νυμφεύματα.
πολλοὶ γὰρ ἤδη κἀν ὀνείρασι βροτῶν
μητρὶ ξυνευνάσθησαν [6]. ἀλλὰ ταῦθ' ὅτῳ

1 *Τώρα μὴ ἐνθυμηθῇς τίποτε ἀπὸ αὐτά.*

2 *Ἀντὶ τοῦ λέκτρον ὁ* Schneidewin *γράφει λέχος. Καὶ διὰ τί δὲν πρέπει νὰ φοβᾶμαι τὸν μετὰ τῆς μητρὸς γάμον; Ἄξιον σημειώσεως, ὅτι φοβεῖται τὸν μετὰ τῆς μητρὸς θάνατον, ἐν ᾧ καταφρονεῖ τοῦ μαντείου. Ὅτι ὁ Οἰδίπους φοβεῖται μὴ λάβῃ γυναῖκα γραῦν, ἣν γινώσκει, ὅτι εἶναι μήτηρ αὐτοῦ, φαίνεται γελοῖον, ἀλλ' ἐπειράθημεν, ὅπως ἐξηγήσωμεν ἐν τῇ Εἰσαγ. σελ. 34*

3 *Τοῦτο λέγει γενικῶς, δηλ. τὸ ἀνθρώπινον γένος. Διὰ τί δύναται νὰ φοβῆται ὁ ἄνθρωπος, εἰς ὃν ἡ τύχη εἶναι ἐπικρατεστέρα (τῆς ἀνθρωπίνης διανοίας) καὶ ἀκριβὴς πρόγνωσις κανενὸς δὲν ὑπάρχει; Παραπλήσιον λέγει ὁ Θουκυδίδης* IV 62 "*τὸ δὲ ἀστάθμητον τοῦ μέλλοντος ὡς ἐπὶ πλεῖστον κρατεῖ*„ *καὶ Πίνδαρ. ἐν Ὀλυμπ.* XII, 7 "*σύμβολον δ' οὔ πώ τις ἐπιχθονίων πιστὸν ἀμφὶ πράξιος ἐσσομένας εὗρεν θεόθεν, τῶν δὲ μελλόντων τετύφλωνται φραδαί*„. *Ἐπειδὴ οἱ κριτικοὶ προσέκρουσαν εἰς τὸ ᾧ, ἐποίησαν πολλὰς διορθώσεις, καὶ ὁ μὲν* Blaydes *εἰκάζει οὗ, ἄλλοι ὡς, οἷς, ὧν· ὁδὲ* Nauck *προτείνει εἰ.*

4 *Ὡς τύχῃ, ἄνευ πολλῶν σκέψεων. Ὁ λόγος οὗτος τῆς Ἰοκάστης μαρτυρεῖ τὴν ἀδιαφορίαν αὐτῆς πρὸς πᾶσαν ἠθικὴν ἀρχήν. Ὅρα Εἰσαγ. σελ.* 40.

5 *Σὺ ὅμως ὡς πρὸς τοὺς γάμους μετὰ τῆς μητρός σου μὴ φοβοῦ.*

6 *Τοιοῦτον ὄναρ εἶδεν ὁ Ἱππίας καθ' Ἡρόδοτον* VI, 107 "*ἐδόκεε ὁ Ἱππίης τῇ μητρὶ τῇ ἑωυτοῦ συνευνηθῆναι· συνεβάλετο ὧν ἐκ τοῦ ὀνείρου κατελθὼν ἐς τὰς Ἀθήνας καὶ ἀνασωσάμενος τὴν ἀρχὴν τελευτήσειν ἐν τῇ ἑωυτοῦ γηραιός*„· *καὶ ὁ Καῖσαρ Πλούταρχ. ἐν βίῳ Καίσαρ.* 32 "*Λέγεται δὲ τῇ προτέρᾳ νυκτὶ τῆς διαβάσεως ὄναρ ἰδεῖν ἔκθεσμον· ἐδόκει γὰρ αὐτὸς τῇ ἑαυτοῦ μητρὶ μίγνυσθαι τὴν*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παρ' οὐδέν[1] ἐστι, ῥᾷστα τὸν βίον φέρει.

ΟΙΔΙΠΟΥΣ

καλῶς ἅπαντα ταῦτ' ἂν ἐξείρητό σοι,
εἰ μὴ 'κύρει ζῶσ' ἡ τεκοῦσα· νῦν δ' ἐπεὶ 985
ζῇ, πᾶσ' ἀνάγκη, κεἰ καλῶς λέγεις, ὀκνεῖν.

ΙΟΚΑΣΤΗ

καὶ μὴν μέγας γ' ὀφθαλμὸς[2] οἱ πατρὸς τάφοι.

ΟΙΔΙΠΟΥΣ

μέγας, ξυνίημ'· ἀλλὰ τῆς ζώσης φόβος[3].

ΑΓΓΕΛΟΣ

ποίας δὲ καὶ[4] γυναικὸς ἐκφοβεῖσθ' ὕπερ;

ΟΙΔΙΠΟΥΣ

Μερόπης, γεραιέ, Πόλυβος ἧς ᾤκει μέτα. 990

ΑΓΓΕΛΟΣ

τί δ' ἔστ' ἐκείνης ὑμὶν ἐς φόβον φέρον[5];

ΟΙΔΙΠΟΥΣ

θεήλατον μάντευμα δεινόν, ὦ ξένε.

ἄρρητον μῖξιν „. Ὅρα καὶ Πλάτ. Πολιτ. IX, 571 D.

1 Ἀλλ' ὅστις δὲν θεωρεῖ ταῦτα ὡς τίποτε, οὗτος διάγει τὸν βίον μετὰ μεγίστης εὐκολίας. Παραπλήσιον εἶναι τὸ ἐν Ἀντιγόν. 34 "καὶ τὸ πρᾶγμ' ἄγειν οὐχ ὡς παρ' οὐδέν „, καὶ ἐν Ἠλέκτρ. 1327 "πότερα παρ' οὐδὲν τοῦ βίου κήδεσθ' ἔτι „.

2 Πρὸ τοῦ θανάτου τοῦ Πολύβου δὲν ἠδύνατο ὁ Οἰδίπους νὰ ἴδῃ, πῶς ἔμελλον νὰ ἀποβῶσι τὰ τοῦ χρησμοῦ. Νῦν ὅμως τούτου θανόντος φυσικὸν θάνατον καὶ τοῦ χρησμοῦ ψευδοῦς ἐξελεγχθέντος οἱονεὶ οὗτος ἐκτήσατο ὀφθαλμόν. ἤτοι μεγάλην ἀπόδειξιν, ὅπως κρίνῃ περὶ τοῦ μέλλοντος. Ὁ Σχολιαστὴς παρατηρεῖ· "Ὄψις καὶ τεκμήριον τοῦ μὴ κατὰ τὴν μητέρα ἀποβήσεσθαι, ἡ πατρὸς τελευτή „. Ὁ Nauck οὐχὶ ὀρθῶς νομίζει, ὅτι ὁ ὀφθαλμὸς ἐνταῦθα δηλοῖ τὸ κάλλιστον, τὸ πολυτιμότατον· ἀλλὰ προσκρούει· διότι ἐν τοιαύτῃ σημασίᾳ δὲν ἁρμόζει τὸ μέγας.

3 Ἡ ζῶσα φοβεῖ με.

4 Μετὰ τὰς ἐρωτηματικὰς λέξεις τίθεται ὁ καί, ὡς ἐν στίχ. 1129 "ποῖον ἄνδρα καὶ λέγεις; „ καὶ ἐν Αἴαντ. 1290 "ποῖ βλέπων καὶ θροεῖς „;

5 Τί εἶναι, ὅπερ προξενεῖ φόβον, ἢ κάμνει, ὥστε νὰ φοβῆσαι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΑΓΓΕΛΟΣ

ἦ ῥητόν, ἢ οὐχὶ θεμιτὸν ἄλλον εἰδέναι[1];

ΟΙΔΙΠΟΥΣ

μάλιστά γ'[2]. εἶπε γάρ με Λοξίας ποτὲ
χρῆναι μιγῆναι μητρὶ τἠμαυτοῦ τό τε
πατρῷον αἷμα χερσὶ ταῖς ἐμαῖς ἑλεῖν[3].
ὧν οὕνεχ' ἡ Κόρινθος ἐξ ἐμοῦ πάλαι
μακρὰν ἀπῴκειτ'[4]· εὐτυχῶς μέν, ἀλλ' ὅμως
τὰ τῶν τεκόντων ὄμμαθ' ἥδιστον βλέπειν[5].

ΑΓΓΕΛΟΣ

ἦ γὰρ τάδ' ὀκνῶν κεῖθεν[6] ἦσθ' ἀπόπτολις;

ΟΙΔΙΠΟΥΣ

πατρός τε[7] χρῄζων μὴ φονεὺς εἶναι, γέρον.

ΑΓΓΕΛΟΣ

τί δῆτ'[8] ἐγὼ οὐχὶ τοῦδε τοῦ φόβου σ', ἄναξ,

δι' ἐκείνην; Ἡ γενικὴ ἐκείνης δύναται μὲν νὰ συνταχθῇ μετὰ τοῦ φόβον, προτιμότερον ὅμως μετὰ τοῦ τί.

1 Ὁ Σχολιαστὴς ἑρμηνεύει· "Ἆρα δυνατὸν ῥηθῆναι, ἢ οὐ πρέπει ἄλλον γιγνώσκειν;„

2 Ἐννοεῖται ἐκ τῆς προηγουμένης ἐρωτήσεως τὸ ῥητόν.

3 Διὰ τῶν χειρῶν μου νὰ χύσω τὸ αἷμα τοῦ πατρός, ἢ νὰ φονεύσω τὸν πατέρα. Κεῖται ἀντὶ τῆς φράσεως, τὸν πατέρα φόνῳ ἑλεῖν.

4 Ἐπειδὴ ὑπάρχει τὸ ἐνεργητικὸν ἀποικῶ Κορίνθου, ὁ ποιητὴς ἐσχημάτισε καὶ τὸ παθητικόν. Λέγει εὐτυχῶς, διότι ἐν τῇ φυγῇ ὁ Οἰδίπους ἐκτήσατο τὸ σκῆπτρον τῆς Κορίνθου.

5 Παραπλήσια λέγει ὁ Ὅμηρος ἐν Ὀδυσσ. Ι, 34 "ὣς οὐδὲν γλύκιον ἦς πατρίδος οὐδὲ τοκήων γίγνεται, εἴ περ καί τις ἀπόπροθι πίονα οἶκον ναίῃ ἐν ἀλλοδαπῇ ναίει ἀπάνευθε τοκήων„.

6 Προσδιορίζει τὸ ἀπόπτολις. Ἀπόπτολις λέγεται ὁ μακρὰν τῆς πόλεως, τῆς πατρίδος ζῶν. Μήπως φοβούμενος διὰ ταῦτα ἦσο μακρὰν τῆς Κορίνθου;

7 Ἐπειδὴ ὁ φόβος ἦτο περὶ τῆς μητρὸς 989, καὶ ἐπειδὴ τὰ τοῦ πατρὸς ἐλέχθησαν ἐν παρόδῳ, γίνεται ἡ προσθήκη αὕτη.

8 Μετὰ τὸ τί οὐ πολλάκις τίθεται ἀόριστος, ἐν ᾧ περιέμενέ τις ἐνεστῶτα. Διὰ τῆς τοιαύτης ἐρωτή-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπείπερ εὔνους[1] *ἦλθον, ἐξελυσάμην;*

ΟΙΔΙΠΟΥΣ

καὶ μὴν χάριν[2] *γ' ἂν ἀξίαν λάβοις ἐμοῦ.*

ΑΓΓΕΛΟΣ

καὶ μὴν μάλιστα τοῦτ'[3] *ἀφικόμην, ὅπως* *1005*
σοῦ πρὸς δόμους[4] *ἐλθόντος εὖ πράξαιμί τι.*

ΟΙΔΙΠΟΥΣ

ἀλλ' οὔ ποτ' εἶμι τοῖς φυτεύσασίν[5] *γ' ὁμοῦ.*

σεως, ἥτις συνήθως ἁπαντᾷ παρὰ Πλάτωνι, ἡ πρᾶξις εἰκονίζεται ὡς δέουσα γενέσθαι καὶ ὁ λέγων ἀπορεῖ, ὅτι πρὸ πολλοῦ αὕτη δὲν ἔγεινεν, ὡς Ἀριστοφ. ἐν Λυσ 181 "τί δῆτα ταῦτ' οὐχ ὡς τάχιστα ξυνωμόσαμεν;„ Πλάτ. ἐν Μενεξέν. 236, C, "τί οὖν οὐ διῆλθες;„ Διὰ τί λοιπὸν ἀπὸ τοῦτον τὸν φόβον δὲν σ' ἀπήλλαξα, βασιλεῦ, ἐπειδὴ βέβαια ἦλθον ἐξ εὐνοίας, δηλ. διὰ μιᾶς λέξεως δύναμαι νὰ σ' ἀπαλλάξω.

1 Κατὰ τὸν Nauck περιεμένομεν εἰδὼς ἀντὶ εὔνους. Νομίζομεν, ὅτι τὸ εἰδὼς εἶναι ἀνάρμοστον ἐνταῦθα· διότι πρόκειται περὶ εὐνοίας, ὡς γίνεται δῆλον καὶ ἐκ τοῦ στίχου 1006. Ὁ ἄγγελος νομίζει, ὅτι λέγων τὸ γένος τοῦ Οἰδίποδος εὐεργετεῖ τοῦτον, ἀλλ' ἐπέρχεται τὸ ἀντίθετον ἀποτέλεσμα, ὅπερ καλεῖται περιπέτεια, Ἀριστοτέλ. ἐν Ποιητ κεφ. XI "ἔστι δὲ περιπέτεια ἡ εἰς τὸ ἐναντίον τῶν πρατιομένων μεταβολή· καὶ τοῦτο κατὰ τὸ εἰκὸς ἢ ἀναγκαῖον, ὥσπερ ἐν τῷ Οἰδίποδι ἐλθὼν ὡς εὐφρανῶν τὸν Οἰδίπουν καὶ ἀπαλλάξων τοῦ πρὸς τὴν μητέρα φόβου, δηλώσας, ὃς ἦν, τοὐναντίον ἐποίησεν„.

2 Ἐνταῦθα σημαίνει δῶρον. Ἡ γενικὴ ἐξαρτᾶται ἐκ τοῦ λάβοις, ὡς ἐν στίχ. 580 καὶ 1163.

3 Διὰ τοῦτο ἢ ἐπὶ τούτῳ ἦλθον, ὡς ἐν Οἰδίποδ. ἐπὶ Κολων. 1291 "ἃ δ' ἦλθον, ἤδη σοι θέλω λέξαι, πάτερ„ καὶ Ἀριστοφάν ἐν Πλούτ. 966 "ἀλλ' ὅτι μάλιστα ἐλήλυθας λέγειν σ' ἐχρῆν.„

4 Ἵνα σοῦ ἐλθόντος εἰς τὴν Κορινθον εὐδαιμονήσω κατά τι. Ὁ δυστυχὴς ποιμὴν ἐπίστευσεν, ὅτι τοῦ Οἰδίποδος ἐν Κορίνθῳ βασιλεύοντος ἤθελεν εἶναι εὐδαίμων ὡς σωτὴρ δὰ τοῦ βασιλέως.

5 Ἐπειδὴ ὁ πατὴρ ἀπέθανεν, ὁ πληθυντικὸς ἀριθμὸς λέγεται μόνον περὶ τῆς μητρός· ἀλλὰ παραπλήσιον εἶναι καὶ ἐν στίχ. 366 "σὺν τοῖς φιλτάτοις αἴσχιοθ' ὁμιλοῦντα„ "Ορα, ὅτι ὁ ποιητὴς μεταχειρίζεται τὸ φυτεύειν ἐπὶ τῆς μητρός, ὅπερ λέγεται ἰδίως ἐπὶ τοῦ πατρός· δύναται ὅμως νὰ ἐξηγηθῇ ἕνεκα τοῦ πληθυντικοῦ ἀριθμοῦ, εἰς ὃν ἀνήκει καὶ ὁ πατήρ. Ὁ Σχολιαστὴς ἑρμηνεύει "συναναφόβου, δηλώσας, ὃς ἦν, τοὐναντίον ἐποίησεν„.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΑΓΓΕΛΟΣ

ὦ παῖ, καλῶς[1] εἶ δῆλος οὐκ εἰδώς, τί δρᾷς.

ΟΙΔΙΠΟΥΣ

πῶς, ὦ γεραιέ; πρὸς θεῶν, δίδασκέ με[2].

ΑΓΓΕΛΟΣ

εἰ τῶνδε[3] φεύγεις οὕνεκ' εἰς οἴκους μολεῖν.

ΟΙΔΙΠΟΥΣ

ταρβῶ γε μή μοι Φοῖβος ἐξέλθῃ σαφής[4].

ΑΓΓΕΛΟΣ

ἦ μὴ μίασμα τῶν φυτευσάντων[5] λάβῃς;

ΟΙΔΙΠΟΥΣ

τοῦτ' αὐτό, πρέσβυ, τοῦτό[6] μ' εἰσαεὶ φοβεῖ.

ΑΓΓΕΛΟΣ

ἆρ' οἶσθα δῆτα πρὸς δίκης[7] οὐδὲν τρέμων;

στραφήσομαι τοῖς γεννήσασιν„. Οὐχὶ ἀστόχως ὁ Herwerden ἀντὶ τοῦ γ' ὁμοῦ γράφει πέλας· διότι τὸ ὁμοῦ φαίνεται ἀνάρμοστον.

1 *Τὸ καλῶς ἐνταῦθα σημαίναι πάνυ, λίαν, ὡς καὶ παρ' ἡμῖν. ὡς Ἀριστοφ. ἐν Λυσ.* 919 "ἤτοι γυνὴ φιλεῖ με, δήλη 'στιν καλῶς„, *Διόδ. Σικελ.* XIII, 108 "ὅσα μὴ καλῶς ὑπὸ τοῦ πυρὸς ἐδόκει διεφθάρθαι„ καὶ αὐτόθι XVIII, 9 "μήπω καλῶς ἐγνωσμένης τῆς Ἀλεξάνδρου τελευτῆς„. *Προσδιορίζει δὲ τὸ εἰδώς.*

2 *Κυρίως τῆς στιχομυθίας χρῆσις γίνεται ἐν ἀμφιλογίαις· ἐνταῦθα ὁ ποιητὴς ἠδύνατο νὰ μεταχειρισθῇ τὸν ἀφηγηματικὸν λόγον, ἀλλὰ προετίμησε τὴν στιχομυθίαν, ὅπως καταστήσῃ τὸν λόγον ζωηρότερον.*

3 *Κατὰ δύο τρόπους δύναται νὰ ἐξηγηθῇ ἡ ἀντωνυμία, ἢ τῶν φυτευσάντων ἢ τῶν αἰτιῶν.*

4 *Ὁ Σχολιαστὴς ἑρμηνεύει· "μὴ οἱ χρησμοὶ τοῦ Φοίβου τελεσθῶσιν ἀληθεῖς„.*

5 *Ἐκ τοῦ ἀνδρὸς μετεχειρίσθη τὸ ῥῆμα καὶ ἐπὶ τῶν δύο γεννητόρων. Ἡ γενικὴ ἀνήκει εἰς τὸ μίασμα.*

6 *Ἐπαναλαμβάνει τὴν ἀντωνυμίαν ὁ Οἰδίπους πρὸς δήλωσιν, ὅτι ὁ ἄγγελος εἶπεν, ὅτι πρὸ πολλοῦ προσεδόκα, ὡς ἐν Τραχιν.* 408. "Τοῦτ' αὖτ' ἔχρῃζον, τοῦτό σου μαθεῖν„· *Ἐπειδὴ τὸ εἰσαεὶ λέγεται περὶ τοῦ μέλλοντος, ὁ* Schmidt *προτείνει τοῦτο δή μ' ἀεί.*

7 *Κεῖται ἀντὶ τοῦ ἐπιῤῥήματος* δικαίως = ἀξίως.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΙΔΙΠΟΥΣ

πῶς δ' οὐχί, παῖς [1] γ' εἰ τῶνδε γεννητῶν ἔφυν; 1015

ΑΓΓΕΛΟΣ

ὀθούνεκ' ἦν σοι Πόλυβος οὐδὲν ἐν γένει [2].

ΟΙΔΙΠΟΥΣ

πῶς εἶπας; οὐ γὰρ Πόλυβος ἐξέφυσέ με;

ΑΓΓΕΛΟΣ

οὐ μᾶλλον οὐδὲν [3] τοῦδε τἀνδρός, ἀλλ' ἴσον.

ΟΙΔΙΠΟΥΣ

καὶ πῶς ὁ φύσας [4] ἐξ ἴσου τῷ μηδενί;

ΑΓΓΕΛΟΣ

ἀλλ' οὔ σ' ἐγείνατ' οὔτ' ἐκεῖνος οὔτ' ἐγώ [5]. 1020

ΟΙΔΙΠΟΥΣ

ἀλλ' ἀντὶ τοῦ [6] δὴ παῖδά μ' ὠνομάζετο;

1 *Ἐξήγαγε τὴν λέξιν παῖς ἐκ τῆς ὑποθετικῆς προτάσεως, ὅπως ἐξάρῃ ταύτην. Γεννητὴς σημαίνει τὸν γεννήτορα, τὸν γονέα, ὡς ἐν Ἀποσπ. ἀβεβ. 772 "Ἥλιος, ὃν οἱ σοφοὶ λέγουσι γεννητὴν θεῶν καὶ πατέρα πάντων". Τὸ ἔφυν συνετάχθη πρὸς γενικήν, ὡς τὸ γίγνεσθαι καὶ τὰ τοιαῦτα.*

2 *Διότι ὁ Πόλυβος δὲν ἦτο συγγενής σου.*

3 *Ἐπαναλαμβάνει τὴν ἄρνησιν καὶ ἐπίτασιν· τὸ δὲ τοῦδε τἀνδρὸς σημαίνει ἐμοῦ. Δὲν σ' ἐγέννησε περισσότερον ὁ Πόλυβος ἀπὸ ἐμέ, ἀλλ' ἴσον, δηλ. τόσον εἶναι πατήρ σου ὁ Πόλυβος, ὅσον καὶ ἐγώ. Ἡ ἀφελὴς αὕτη εὐφυολογία χαρακτηρίζει τοὺς ἀνθρώπους τοῦ λαοῦ.*

4 *Ὁ Οἰδίπους ἐξακολουθεῖ νομίζων τὸν Πόλυβον πατέρα. Ἡ δοτικὴ τῷ μηδενὶ ἰσοδυναμεῖ πρὸς τὴν τῷ μὴ φύσαντι, ἤτοι τῷ μηδενὶ ὄντι κατά γε τὸ φῦσαι ἐμέ. Τὸν στίχον τοῦτον καὶ τὸν ἑπόμενον ὁ Nauck τίθησιν ἐν ἀγκύλαις. Διότι νομίζει, ὅτι ἡ ἐρώτησις τοῦ Οἰδίποδος ἦτο περιττή, ἀφ' οὗ ὁ ἄγγελος σαφῶς εἶπεν, ὅτι ὁ Πόλυβος δὲν εἶναι ὁ πατήρ. Καθ' ἡμᾶς ἡ ἐρώτησις εἶναι ὅλως φυσική, διότι ὁ ἄγγελος εἶπεν ἀσαφῶς.*

5 *Τόσον ἐκεῖνος σ' ἐγέννησεν, ὅσον καὶ ἐγώ.*

6 *Ἢ ἀντὶ μετὰ γενικῆς δηλοῖ τὸ αἴτιον. Ὁ παρατατικὸς ἐτέθη πρὸς δεῖξιν τοῦ διαρκοῦς, ὡς παρ' Εὐριπίδ. ἐν Ἱκέτισ 1218 "παῖς Τυδέως, ὃν ὠνόμαζε Διομήδην πατήρ". Μετεχειρίσθη τὸ μέσον, ὅπως δηλώσῃ ἴδιον παῖδα, υἱόν του.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΑΓΓΕΛΟΣ

δῶρόν ποτ', ἴσθι, τῶν ἐμῶν χειρῶν λαβών[1].

ΟΙΔΙΠΟΥΣ

κἄθ' ὧδ' ἀπ' ἄλλης χειρὸς[2] ἔστερξεν μέγα;

ΑΓΓΕΛΟΣ

ἡ γὰρ πρὶν αὐτὸν ἐξέπεισ' ἀπαιδία[3].

ΟΙΔΙΠΟΥΣ

1025 σὺ δ' ἐμπολήσας ἢ τεκὼν[4] μ' αὐτῷ δίδως;

ΑΓΓΕΛΟΣ

εὑρὼν[5] ναπαίαις ἐν Κιθαιρῶνος πτυχαῖς.

ΟΙΔΙΠΟΥΣ

ὡδοιπόρεις δὲ πρὸς τί τούσδε τοὺς τόπους;

ΑΓΓΕΛΟΣ

ἐνταῦθ' ὀρείοις ποιμνίοις ἐπεστάτουν[6].

ΟΙΔΙΠΟΥΣ

ποιμὴν γὰρ ἦσθα κἀπὶ θητείᾳ[7] πλάνης;

1 *Αἰτιολογεῖ τὸ ἐννοούμενον ὠνομάζετο.*

2 *Ἐκ τοῦ ἡγουμένου στίχου ἐννοεῖται ἡ μετοχὴ λαβών. Ἔπειτα τόσον πολὺ μ' ἠγάπησεν, ἂν καὶ ἔλαβεν ἀπὸ ξένην χεῖρα;*

3 *Ἡ ἔλλειψις, ἡ στέρησις παίδων, καὶ οὐχὶ ἀτεκνία, διότι αὕτη καὶ μετὰ τὴν κτῆσιν τοῦ Οἰδίποδος ὑπῆρχεν.*

4 *Τὰ χειρόγραφα ἔχουσι τεκών, ἀλλ' οἱ ἐκδόται προτιμῶσι τὴν διόρθωσιν τοῦ* Bothe *γράφοντος τυχών, ὡς ἐν στίχ.* 1039. *Νομίζομεν ὅμως, ὅτι τὸ τυχὸν εἶναι ἐξαιρετικὴ περίστασις, περὶ ἧς δὲν ἠδύνατο οὕτω προχείρως ὁ Οἰδίπους νὰ ἐρωτήσῃ. Αἱ δύο πιθανώτεραι περιστάσεις ἦσαν, ἢ ἂν ἠγόραζεν ὁ ποιμὴν ἢ ἂν αὐτὸς ἐγέννα. Σὺ δὲ ἀγοράσας ἢ γεννήσας με δίδεις εἰς αὐτόν.*

5 *Τὸ εὑρίσκειν ἐνταῦθα ἔχει γενικὴν σημασίαν, ἥτις ὁρίζεται ἐν στίχ.* 1038. *Ταῦτα λέγονται παρούσης τῆς Ἰοκάστης, ἧς ἡ φοβερὰ ἔκπληξις ἀποτυποῦται ἐπὶ τοῦ προσώπου. Τὸ ὄνομα τοῦ Κιθαιρῶνος ὑπομιμνήσκει τὴν ἔκθεσιν τοῦ βρέφους.*

6 *Οἱ ποιμένες λέγονται καὶ ἐπιστάται ποιμνίων, ἐν Αἴαντ.* 27.

7 *Ὁ Σχολιαστὴς ἑρμηνεύει*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΑΓΓΕΛΟΣ

σοῦ γ'[1], ὦ τέκνον, σωτήρ γε τῷ τότ' ἐν χρόνῳ. 1030

ΟΙΔΙΠΟΥΣ

τί δ'; ἄλγος ἴσχοντ', ἐν κακοῖς[2] με λαμβάνεις;

ΑΓΓΕΛΟΣ

ποδῶν ἂν ἄρθρα μαρτυρήσειεν[3] τὰ σά.

ΟΙΔΙΠΟΥΣ

οἴμοι, τί τοῦτ' ἀρχαῖον ἐννέπεις κακόν;

ΑΓΓΕΛΟΣ

λύω σ' ἔχοντα διατόρους ποδοῖν ἀκμάς[4].

"μίσθιος καὶ ἐπὶ μισθῷ πλάνης". Οὕτως οἱ θῆτες ἦσαν ἐλεύθεροι ἐπὶ μισθῷ παρά τινι ἐργαζόμενοι. Ὁ ποιητὴς δὲν λέγει μέν, παρὰ τίνι εἰργάζετο, ἀλλ' ἐπειδὴ ὁ ποιμὴν τὸ τέκνον ἤγαγεν εἰς τὸν Πόλυβον, δυνάμεθα νὰ εἰκάσωμεν, ὅτι τούτου ἦτο θής.

1 Τὰ χειρόγραφα ἔχουσι σοῦ γ', ἀλλ' ἔν τινι ἀπογράφῳ εὑρηται σοῦ δ', ὅπερ διὰ τὴν ἀντίθεσιν πρὸς τὸν προηγούμενον στίχον δὲν εἶναι κακόν. Ὁ Hermann εἴκασε σοῦ τ', ὅπερ δὲν φαίνεται πιθανώτερον τῆς γραφῆς τῶν χειρογράφων. Δύο γὲ ἀπαντῶσι καὶ ἀλλαχοῦ, ὡς ἐν Οἰδίποδ. ἐπὶ Κολ. 977 καὶ 1278. Ὁ σωτὴρ τοῦ Οἰδίποδος παρὰ τῷ Σενέκᾳ ὀνομάζεται Φόρβας, ἔν τινι δ' ἀγγείῳ λέγεται Εὔφορβος. Προσφυῶς ὀνομάζει τὸν Οἰδίποδα τέκνον, διότι σώσας ἦτο οἱονεὶ τούτου πατήρ.

2 Ὁ στίχος διεφθάρη, ὡς εἰκάζουσιν οἱ κριτικοί· ἀντὶ τοῦ κακοῖς εὕρηται ἔν τινι χειρογράφῳ καιροῖς, ὅπερ δὲν ἐπιδοκιμάζεται. Ὁ Schmidt ὅμως παρατηρεῖ, ὅτι τὸ ἁμάρτημα κεῖται οὐχὶ ἐν τῇ φράσει ἐν κακοῖς, ἀλλ' ἐν τῇ λέξει ἄλγος. Διὰ τοῦτο οὐχὶ ἀστόχως διορθοῖ εἰς τί δ'; ἐσχάτοις ὄντ' ἐν κακοῖς με λαμβάνεις; Ὀρθῶς ὁ Σχολιαστὴς παρατηρεῖ· "Εἰπόντος τοῦ γέροντος, ὅτι σωτήρ σοι γέγονα, ὅπερ κοινὸν ἐπὶ πάντων ἐκτεθειμένων, ἀναπνθάνεται ὁ Οἰδίπους, ὅτι ἐν ποίῳ ἄρα κακῷ ὄντα κατὰ τὴν ἔκθεσιν, ἵνα ἐκεῖνος εἴπῃ τὸ περὶ τῶν ποδῶν, ὅπερ ἐπιγινώσκει ἡ Ἰοκάστη".

3 Ὁμολογεῖ ὁ ἄγγελος, ὅτι εὗρε τὸν Οἰδίποδα ἐν κακοῖς καὶ πρὸς ἀπόδειξιν τούτου ἔχει μάρτυρας τὰ ἄρθρα τῶν ποδῶν.

4 Λύω σε ἔχοντα τοὺς πόδας διαπεπερονημένους.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΙΔΙΠΟΥΣ

δεινόν γ' ὄνειδος σπαργάνων[1] ἀνειλόμην.

ΑΓΓΕΛΟΣ

ὡς ὠνομάσθης ἐκ τύχης ταύτης, ὃς εἶ[2].

ΟΙΔΙΠΟΥΣ

ὦ πρὸς θεῶν, πρὸς μητρὸς ἢ πατρός[3]; φράσον.

ΑΓΓΕΛΟΣ

οὐκ οἶδ'· ὁ δοὺς δὲ ταῦτ' ἐμοῦ λῷον φρονεῖ.[4]

ΟΙΔΙΠΟΥΣ

ἦ[5] γὰρ παρ' ἄλλου μ' ἔλαβες οὐδ' αὐτὸς τυχών,

ΑΓΓΕΛΟΣ

οὔκ[6], ἀλλὰ ποιμὴν ἄλλος ἐκδίδωσί μοι.

ΟΙΔΙΠΟΥΣ

τίς οὗτος; ἢ κάτοισθα δηλῶσαι λόγῳ;

1 Ἐνταῦθα σημαίνει τὸν χρόνον τῆς νηπιακῆς ἡλικίας, καθ' ἣν τὸ βρέφος περιτυλίσσεται σπάργανα. Ὁ Σχολιαστὴς ἑρμηνεύει· "Ἐκ σπαργάνων χαλεπὴν αἰσχύνην διὰ τὴν τῶν ἄρθρων βλάβην„.

2 Δὲν λέγει ὃς ὠνόμασαι, διότι ὁ Οἰδίπους ἦτο ὄντως Οἰδίπους (ἐκ τοῦ οἰδάω).

3 Τῶν Σχολιαστῶν τις λέγει· " Ὑπὸ μητρὸς ὠνομάσθην ἢ ὑπὸ πατρὸς Οἰδίπους;„ ἄλλος ὅμως· "Ἔπαθον τοῦτο, τὸ διατρηθῆναι τὰ ἄρθρα;„ Τὸ δεύτερον φαίνεται πιθανώτερον· διότι ὁ Τρικλίνιος παρατηρεῖ· ""Ἔπαθον τοῦτο δηλονότι, ἤγουν τὸ διατρυπηθῆναι τοὺς ἀστραγάλους· ἀσύνετον γὰρ καὶ ἀνακόλουθον πρὸς τὰ ἐπαγόμενα τὸ νομίζειν ἐρωτᾶν τὸν Οἰδίποδα, εἰ ὑπὸ τοῦ πατρὸς ἢ μητρὸς ὠνομάσθη„. Ὄντως οἱ γονεῖς δὲν ἠδύναντο νὰ δώσωσι τὸ ὄνομα, ἀλλ' ὁ εὑρὼν καὶ ὁ Οἰδίπους δὲν εἶχέ τι ἐνδιαφέρον, ἂν ἡ μήτηρ ἢ ὁ πατὴρ ἔδωκε τὸ ὄνομα· ἦτο ὅμως ἐνδιαφέρον, ἂν ἡ μήτηρ ἢ ὁ πατὴρ διέτρησε τοὺς πόδας.

4 Ὁ Nauck εἰκάζει λῷον φράσει, ἀλλ' ἡ διόρθωσις δὲν εἶναι ἀναγκαία.

5 Ἡ ἐρώτησις αὕτη γίνεται ἕνεκα τῆς φαινομένης ἀντιφάσεως πρὸς τὸν στίχον 1026.

6 Διὰ τῆς ἀρνήσεως βεβαιοῦται τὸ πρῶτον μέρος τῆς ἐρωτήσεως, ὡς παρὰ Πλάτ. ἐν Γοργ. 453 D "Σω. Ὅστις διδάσκει ὁτιοῦν πρᾶγμα, πότερον, ὃ διδάσκει πείθει ἢ οὔ;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΑΓΓΕΛΟΣ

τῶν [1] Λαΐου δήπου τις ὠνομάζετο.

ΟΙΔΙΠΟΥΣ

ἦ τοῦ τυράννου τῆσδε γῆς πάλαι ποτέ [2];

ΑΓΓΕΛΟΣ

μάλιστα· τούτου τἀνδρὸς οὗτος ἦν βοτήρ.

ΟΙΔΙΠΟΥΣ

ἦ κἄστ' ἔτι ζῶν οὗτος, ὡς [3] ἰδεῖν ἐμέ; 1045

ΑΓΓΕΛΟΣ

ὑμεῖς γ' ἄριστ' εἰδεῖτ' [4] ἂν οὐπιχώριοι.

ΟΙΔΙΠΟΥΣ

ἔστιν τις ὑμῶν [5] τῶν παρεστώτων πέλας,
ὅστις κάτοιδε τὸν βοτῆρ', ὃν ἐννέπει,
εἴτ' οὖν ἐπ' ἀγρῶν εἴτε κἀνθάδ' εἰσιδών;
σημήναθ' ὡς ὁ καιρὸς [6] εὑρῆσθαι τάδε. 1050

ΧΟΡΟΣ

οἶμαι μὲν οὐδέν' ἄλλον [7] ἢ τὸν ἐξ ἀγρῶν,

Γορ. Οὐ δῆτα, ἀλλὰ πάντων μάλιστα πείθει„.

1 *Δηλαδὴ οἰκετῶν. Οὐχὶ ἀφυῶς ὁ* Nauck *ἀντὶ τοῦ δήπου, ὅπερ δὲν ἁρμόζει ἐνταῦθα, εἰκάζει δμώων. Τοῦτο ἄγει εἰς πλήρη ἀναγνώρισιν τὴν Ἰοκάστην.*

2 *Ἀντὶ νὰ εἴπῃ· τοῦ πάλαι ποτὲ τυράννου.*

3 *Τὸ ὡς κεῖται ἐνταῦθα ἐν τῇ σημασίᾳ τοῦ ὥστε.*

4 *Ὁ Σχολιαστὴς παρατηρεῖ· "Ἀντὶ τοῦ εἰδείητε ἄν„.*

5 *Τὸν λόγον ἀποτείνει πρὸς τὸν χορόν.*

6 *Τὸ ὄνομα καιρὸς καὶ ἀλλαχοῦ λαμβάνει τὸ ἄρθρον, ὡς Αἰσχύλ. ἐν Χοηφ. 710 "ἀλλ' ἔσθ' ὁ καιρὸς ξένους τυγχάνειν τὰ πρόσφορα„.*

7 *Ἐννοεῖται ἐκ τῶν ἡγουμένων τὸ ἐννέπειν. Φαίνεται παράδοξον, ὁπόθεν ὁ χορὸς εἰκάζει τὴν ταὐτότητα τῶν δύο προσώπων. Ὁ Σχολιαστὴς ὅμως ἐξηγεῖ οὑτωσίν· "Ἐστοχάζετο ὁ χορὸς ἐκεῖνος εἶναι τὸν τὴν ἔκθεσιν ποιησάμενον τοῦ παιδίου διὰ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὃν κἀμάτευες[1] πρόσθεν εἰσιδεῖν· ἀτὰρ
ἥδ' ἂν τάδ' οὐχ ἥκιστ' ἂν Ἰοκάστη λέγοι.

ΟΙΔΙΠΟΥΣ

γύναι, νοεῖς ἐκεῖνον[2], ὅντιν' ἀρτίως
μολεῖν ἐφιέμεσθα τόν[3] θ' οὗτος λέγει;

ΙΟΚΑΣΤΗ

τί δ' ὅντιν' εἶπε[4]; μηδὲν ἐντραπῇς τὰ δὲ
ῥηθέντα βούλου μηδὲ μεμνῆσθαι μάτην.

ΟΙΔΙΠΟΥΣ

οὐκ ἂν γένοιτο τοῦθ', ὅπως ἐγώ, λαβὼν
σημεῖα τοιαῦτ', οὐ φανῶ τοὐμὸν γένος[5].

ΙΟΚΑΣΤΗ

μὴ πρὸς θεῶν, εἴπερ τι τοῦ σαυτοῦ βίου

τὸ ἤδη εὐνοϊκὸν τὸ πρόσωπον αὐτοῦ στῆσαι τῷ οἴκῳ„.

1 Ὁ Σχολιαστὴς ἑρμηνεύει· "Ὃν καὶ πρότερον ἐζήτεις ἰδεῖν„.

2 Ὑπόνοια ὑπάρχει, ὅτι τὸ χωρίον διεφθάρη πως καὶ δὴ ὁ Spengel εἰκάζει, ὅτι πρέπει νὰ γραφῇ· γύναι, νοεῖς εἰ κεῖνον, ὅντιν' ἀρτίως μολεῖν ἐφιέμεσθα, τόνδ' οὗτος λέγει; ὅπερ δὲν ἐπιδοκιμάζεται. Ἂν προσετίθετο ἡ φράσις τὸν αὐτὸν εἶναι, ἤθελεν εἶναι πλήρης· ἀλλ' ὁ ποιητὴς ἐθεώρησε περιττὴν τὴν προσθήκην, ἣν ὑποδεικνύει ἡ ἔννοια τοῦ ὅλου χωρίου καὶ πρὸς τοῦτο συμβάλλεται καὶ τὸ ἐκεῖνον, δηλ. βάλλεις κατὰ νοῦν ἢ νομίζεις, ὅτι ἐκεῖνος, ὃν πρὸ ὀλίγου ἐπιθυμοῦμεν νὰ ἔλθῃ, καὶ οὗτος τὸν ὁποῖον οὗτος λέγει, εἶναι τὸ αὐτὸ πρόσωπον;

3 Καὶ οἱ τραγικοί, ὡς καὶ ὁ Ὅμηρος, μεταχειρίζονται τὰς πλαγίας πτώσεις τοῦ ἄρθρου ἀντὶ ἀναφορικῆς ἀντωνυμίας. Ὁ Σοφοκλῆς πράττει τοῦτο μόνον μετὰ φωνῆεν.

4 Ἐννοεῖται τὸ ἐρωτᾷς, ὡς παρ' Αἰσχ. ἐν Προμηθ. 766 "τί δ' ὅντιν'; οὐ γὰρ ῥητὸν αὐδᾶσθαι τάδε„. Τὸ δὲ μηδὲ ἐντραπῇς σημαίνει μὴ φροντίσῃς. Ἡ Ἰοκάστη ἀνεγνώρισεν ὁλόκληρον τὴν ἀνοσίαν πρᾶξιν, οὐχὶ δὲ καὶ ὁ Οἰδίπους. Δὲν εἶναι ὅμως πιθανὴ ἡ παρατήρησις τοῦ Σχολιαστοῦ λέγοντος· "Συνίησιν ἤδη τὸ πᾶν ἡ Ἰοκάστη, καὶ θέλει ἤδη ἑαυτὴν διαχειρίσασθαι, πρὶν ἔκπυστα γενέσθαι τὰ κακά„, διότι ἀπεφάσισε τοῦτο, ὅτε εἶδε τὸν Οἰδίποδα χωροῦντα εἰς τὴν ἔρευναν.

5 Δὲν εἶναι δυνατὸν νὰ γείνῃ τοῦτο, ἵνα ἐγώ, ἀφ' οὗ ἔλαβον τοι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κήδει, ματεύσῃς τοῦθ'· ἅλις[1] νοσοῦσ ἐγώ.

ΟΙΔΙΠΟΥΣ

θάρσει· σὺ μὲν γὰρ οὐδ' ἐὰν τρίτης ἐγὼ[3]
μητρὸς[3] φανῶ τρίδουλος[4], ἐκφανεῖ κακή.

ΙΟΚΑΣΤΗ

ὅμως πιθοῦ μοι, λίσσομαι· μὴ δρᾶ τάδε.[5]

ΟΙΔΙΠΟΥΣ

οὐκ ἂν πιθοίμην[6] *μὴ οὐ τάδ' ἐκμαθεῖν σαφῶς.* 1065

ΙΟΚΑΣΤΗ

καὶ μὴν φρονοῦσά γ' εὖ[7] *τὰ λῷστά σοι λέγω.*

αὐτὰς ἀποδείξεις, μὴ φανερώσω τὸ γένος μου. Ὁ δυστυχὴς Οἰδίπους νομίζει, ὅτι ἡ γυνὴ κωλύει τὴν ἔρευναν φοβουμένη, μὴ ἀνακαλυφθῇ ἡ τοῦ ἀνδρὸς δυσγένεια.

1 *Παριλείφθη τὸ εἶμί, ὡς ἐν Τραχιν.* 332 "ἅλις γὰρ ἡ παροῦσα„, ἱκανῶς ἄθλία εἶμαι ἐγώ. Ἀριστοτέλ. ἐν Ἠθικ. Νικομαχ. IX, 11. Ὁ Nauck εἰκάζει, ὅτι ἡ Ἰοκάστη τὰς τελευταίας λέξεις εἶπε βαιᾷ τῇ φωνῇ. Εἶναι ἀρκετόν, ὅτι ἐγὼ εἶμαι δυστυχής.

2 Ἡ ὁμοιοκαταληξία τοῦ στίχου τούτου μετὰ τοῦ προηγουμένου ἐξαίρει τὴν ἀντίθεσιν. Δὲν εἶναι δ'ἀνάγκη νὰ τρέψωμεν τὸ ἐγὼ εἰς γεγώς· οὐδὲ εἰς ἀπό, ὡς ἐποίησεν ὁ Tournier.

3 Ἐπειδὴ τῷ Nauck φαίνεται ὕποπτος ἡ λέξις, εἰκάζει γονεῖς.

4 Ἐνταῦθα περιέμενέ τις δοῦλος, ἀνθ' οὗ κεῖται τρίδουλος, περὶ οὗ ὁ Εὐστάθιος παρατηρεῖ εἰς Ἰλιάδ. Θ, 306 "Σοφοκλῆς τρίδουλον τὸν ἐκ προγόνων δοῦλον ἔφη„. Οἱ τοιοῦτοι λέγονται τρίδουλοι, ἐκ τριγονίας δοῦλοι, τριπέδωνες, τρίπρατοι. Παρὰ δὲ τῷ Ἱππώνακτι εὕρηται καὶ ἑπτάδουλος. Τοὐναντίον ἡ μεγίστη γενναιότης εἶναι ἐκείνη, ἥτις ἑπτὰ πάππους πλουσίους εἶχεν ἀποφῆναι, Πλάτ. ἐν Θεαιτ. 174 Ε. Τὸ κακὴ ἐνταῦθα σημαίνει δυσγενής. Ἡ ἔρευνα τοῦ γένους ἴσως θέλει ἀποδείξει δυσγενῆ τὸν Οἰδίποδα, οὐχὶ δὲ καὶ τὴν Ἰοκάστην. Ὁ Οἰδίπους πλανᾶται ὡς πρὸς τὴν αἰτίαν τοῦ φόβου τῆς συζύγου.

5 Δηλαδὴ τὸ φανερῶσαι τὸ γένος, περὶ οὗ εἶπεν ἐν στίχ. 1057.

6 Δὲν εἶναι δυνατὸν νὰ πεισθῶ, ὥστε νὰ μὴ μάθω ταῦτα ἀκριβῶς.

7 Τὸ εὖ καίπερ ἐπιτασσόμενον τῇ μετοχῇ, ὅμως προσδιορίζει ταύτην, ὡς καὶ ἐν στίχ. 626. Ἡ Ἰοκάστη λέγει ἀορίστως· διότι δὲν δύναται νὰ ἀποκαλύψῃ, ὅτι εἶναι υἱὸς αὐτῆς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΙΔΙΠΟΥΣ

τὰ λῷστα[1] τοίνυν ταῦτά μ' ἀλγύνει πάλαι.

ΙΟΚΑΣΤΗ

ὦ δύσποτμ', εἴθε μήποτε γνοίης ὃς εἶ.

ΟΙΔΙΠΟΥΣ

ἄξει[2] τις ἐλθὼν δεῦρο τὸν βοτῆρά μοι;

ταύτην δ' ἔᾶτε πλουσίῳ[3] χαίρειν γένει.

ΙΟΚΑΣΤΗ

ἰοὺ ἰού, δύστηνε· τοῦτο γάρ σ' ἔχω
μόνον προσειπεῖν, ἄλλο δ' οὔ ποθ' ὕστερον[4].

ΧΟΡΟΣ

τί ποτε βέκηκεν, Οἰδίπους, ὑπ' ἀγρίας
ἆξασα λύπης[5] ἡ γυνή; δέδοιχ' ὅπως
μὴ 'κ τῆς σιωπῆς[6] τῆσδ' ἀναρρήξει κακά.

1 *Ἐπαναλάμβάνει τὴν λέξιν τῆς Ἰοκάστης πρὸς δήλωσιν ἀγανακτήσεως. Ἐκεῖνα τὰ ὁποῖα σὺ ὀνομάζεις ἄριστα (δηλ. τὸ νὰ μὴ ἀναζητήσω τὸ γένος μου), εἶναι ἴσια ἴσια τὰ πρὸ πολλοῦ λυποῦντά με· λέγει πάλαι, διότι ἐπὶ τούτῳ ἐπορεύθη εἰς τὸ ἐν Δελφοῖς μαντεῖον.*

2 *Μετεχειρίσθη τὸν μέλλοντα τῆς ὁριστικῆς ἀντὶ προστακτικῆς. Ἐν στίχ.* 861 *ἐπέμφθη πομπός, ἵνα ἀγάγῃ τὸν ποιμένα, νῦν δὲ πέμπεται δεύτερος, ὅπως ἀχθῇ ταχύτερον.*

3 *Τὰ χαρακτηριστικὰ τῆς εὐγενείας εἶναι ὁ πλοῦτος καὶ τὸ γένος, Ἀριστοτέλ. Πολιτ.* V, *σελ.* 1301 "εὐγενεῖς εἶναι δοκοῦσιν, οἷς ὑπάρχει προγόνων ἀρετὴ καὶ πλοῦτος„ καὶ *Ἡρόδοτ.* IX 93 "ἄνδρες οἱ πλούτῳ τε καὶ γένει δοκιμώτατοι τῶν ἀστῶν„. *Ἀντὶ τοῦ χαίρειν ὁ μὲν* Nauck *εἰκάζει χλιδᾶν ὁ δὲ* Subkow *χλίειν.*

4 *Ἡ μὲν Ἰοκάστη ἀπέρχεται διὰ τῆς μέσης θύρας, ὅπως αὐτοκτονήσῃ, ὁ δὲ ὑποκριτὴς ὁ τὸ πρόσωπον ταύτης ἔχων εἰσέρχεται ὡς ποιμήν. Διὰ τοῦ ὕστερον ἡ Ἰοκάστη ἐννοεῖ, ὅτι εἶναι ἡ τελευταία λέξις, ἣν λέγει πρὸ τοῦ θανάτου, ἀλλ' ὁ Οἰδίπους δὲν ἐννοεῖ τοῦτο.*

5 *Τὸ ἆξασα καὶ τὸ ἀγρίας ὑποδεικνύουσι λέξιν ἰσχυροτέραν. Διὰ τοῦτο ὁ* Schmidt *εἰκάζει λύσσης.*

6 *Ὁ χορὸς λέγει σιωπήν, διότι ἡ Ἰοκάστη ἀνεφώνησε μόνον ἰοὺ ἰοὺ μὴ ἐξηγήσασα τὸν λόγον τῆς ἐξεγέρσεως. Φοβοῦμαι μήπως ἐκ ταύτης τῆς σιωπῆς ἐξεσπάσωσι κακά. Διὰ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΙΔΙΠΟΥΣ

ὁποῖα χρῄζει ῥηγνύτω· τοὐμὸν δ' ἐγώ,
κεἰ σμικρόν ἐστι, σπέρμ' [1] *ἰδεῖν βουλήσομαι.*
αὕτη δ' ἴσως, φρονεῖ γὰρ ὡς γυνὴ [2] *μέγα,*
τὴν δυσγένειαν τὴν ἐμὴν αἰσχύνεται [3].
ἐγὼ δ' ἐμαυτὸν παῖδα τῆς τύχης [4] *νέμων* 1080
τῆς εὖ διδούσης [5]*, οὐκ ἀτιμασθήσομαι.*
τῆς [6] *γὰρ πέφυκα μητρός· οἱ δὲ συγγενεῖς* [7]
μῆνές με μικρὸν καὶ μέγαν διώρισαν [8].
τοιόσδε δ' ἐκφὺς οὐκ ἂν ἐξέλθοιμ' ἔτι

τοῦτο δὲν εἶναι ἀνάγκη νὰ τρέψωμεν εἰς ἰ υ γ ῆ ς, ὡς εἶκασεν ὁ Nauck.

1 *Ἰσοδυναμεῖ πρὸς τὸ γ έ ν ο ς γνῶναι. Μετεχειρίσθη δὲ τὸν μέλλοντα τῆς ὁριστικῆς, ὅπως δηλώσῃ· καὶ μετὰ τὴν παραίνεσιν τῆς Ἰοκάστης θὰ θελήσω, ὡς ἐν Αἴαντ.* 680 "ἐς τὸν φίλον τοσαῦθ ὑπουργῶν ὠφελεῖν βουλήσομαι„ *καὶ Εὐριπίδ. ἐν Μηδ.* 259 "τοσοῦτον οὖν σου τυγχάνειν βουλήσομαι, σιγᾶν, ἤν μοι πόρος τις ἐξευρεθῇ „.

2 *Αἱ γυναῖκες συνήθως ἀποβλέπουσιν οὐχὶ εἰς τὴν ἐσωτερικὴν ἀξίαν, ἀλλ' εἰς τὸ γένος. Αὕτη ὅμως ἴσως, διότι ὡς γυνὴ μεγαλοφρονεῖ, ἐντρέπεται διὰ τὸ ταπεινὸν γένος μου.*

3 *Εἶναι τραγικὴ εἰρωνεία, διότι νῦν, ὅτε ἡ Ἰοκάστη διεῖδε τὸ ἀληθὲς γένος τοῦ ἀνδρός, ἐλέγχεται ὡς αἰσχυνομένη διὰ τὴν δυσγένειαν τούτου.*

4 *Κατὰ τὸν Πλούταρχον τὸ αὐτὸ ἔλεγε καὶ ὁ Σύλλας ἐν Ἠθικ.* 318 C "Ἀντικρυς οὗτος (ὁ Σύλλας) τῇ τύχῃ μετὰ τῶν πράξεων ἑαυτὸν εἰσεποίει, βοῶν κατὰ τὸν Οἰδίποδα τὸν Σοφοκλέους, ἐγὼ δ' ἐμαυτὸν παῖδα τῆς Τύχης νέμω„. *Ἐπειδὴ ὁ Οἰδίπους ἀποβλέπει μόνον εἰς τὴν ἀναζήτησιν τοῦ γένους, οὐχὶ δὲ καὶ εἰς τὰς συνεπείας, χαίρει· ἡ χαρὰ δ' αὕτη, ὡς καὶ ἡ τοῦ χοροῦ, ποιεῖ ζωηρὰν ἀντίθεσιν πρὸς τὴν ἀλήθειαν τοῦ πράγματος.*

5 *Τοῦτο ἐξηγεῖ ἐν στίχ.* 1083.

6 *Τὸ ἄρθρον κεῖται ὡς δεικτικὴ ἀντωνυμία οὐ μόνον μετὰ τοῦ μ έ ν, δ έ, ἀλλὰ καὶ μετὰ τοῦ γ ά ρ, κ α ί.*

7 *Οἱ μῆνες λέγονται συγγενεῖς, διότι οὗτοι ἀκολουθοῦσι τῷ ἀνθρώπῳ, ὡς δὴ καὶ λέγεται ἐν Οἰδίποδ. ἐπὶ Κολων.* 7 "χῶ χρόνος ξυνὼν μακρὸς διδάσκει„ *καὶ ἐν Αἴαντ.* 622 "ἦπου παλαιᾷ μὲν σύντροφος ἁμέρᾳ „. "Ὥστε οἱ μῆνες εἶναι συγγενεῖς τοῦ Οἰδίποδος καὶ οὐχὶ τῆς τύχης, ὡς νομίζει ὁ Σχολιαστής.

8 *Τὸ δ ι ώ ρ ι σ α ν ἐνταῦθα σημαίνει ἔ τ α ξ α ν. Ὁ Οἰδίπους τὸ κατ' ἀρχὰς ἐξετέθη ἐπ' ὀλέθρῳ, ἀλλ' ἀνετράφη βασιλικῶς καὶ ἐθεωρήθη διάδοχος τῆς βασιλικῆς ἀρχῆς, εἶτα πάλιν πλάνης, ἀλλὰ καὶ πάλιν σωτὴρ τῶν Θηβαίων ἐγένετο καὶ βασιλεὺς αὐτῶν.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ποτ' ἄλλος[1], ὥστε μὴ 'κμαθεῖν τοὐμὸν γένος.

ΧΟΡΟΣ[2]

Στροφὴ

εἴπερ ἐγω μάντις[3] εἰμὶ
καὶ κατὰ γνώμαν ἴδρις[4], οὐ τον Ὄλυμπον ἀπείρων,
ὦ Κιθαιρών,
οὐκ ἔσει[5] τὰν αὔριον

1 Ὁ Dindorf προσκρούων εἰς τὸ χωρίον εἰκάζει, ὅτι πρέπει νὰ γραφῇ, οὐκ ἂν ἐξέλθοιμι ποτὲ ἄλλοτος, ὅπερ δὲν φαίνεται πιθανόν. Ἀπιθανωτέρα εἶναι ἡ εἰκασία τοῦ Nauck γράφοντος· ἄτιμος, ἀντὶ τοῦ ποτ' ἄλλος. Εἶναι ὅμως ἀληθές, ὅτι τὸ ποτὲ δὲν ἀπαντᾷ ἐν ἀρχῇ τῶν τριμέτρων, ἀλλὰ τῶν χορικῶν 509. Ἐπειδὴ τοιοῦτος ἐγεννήθην, δὲν εἶναι δυνατὸν πλέον νὰ ἀποδειχθῶ διάφορος, ὥστε τοῦτο νὰ μ' ἐμποδίσῃ ἀπὸ τοῦ νὰ ἐξετάσω τὸ γένος μου. Ὁ Οἰδίπους διὰ τούτων θέλει νὰ εἴπῃ, ὅτι ἐδοκίμασε τὰς περιπετείας καὶ διὰ τοῦτο ἀπαθῶς θέλει μάθει τὰ περὶ τοῦ γένους αὐτοῦ καὶ ἐν τῇ ὑποθέσει, ὅτι τοῦτο εἶναι ταπεινόν.

2 Ἐν ᾧ ὁ Οἰδίπους μετὰ προσδοκίας ἀπὸ καιροῦ εἰς καιρὸν στρέφει τὸ βλέμμα, ὅπως ἴδῃ τὸν ποιμένα ἐρχόμενον, ὁ χορὸς πλήρης εὐθυμίας ᾄδει τὸ τρίτον στάσιμον, ὡς ἐν Αἴαντ. 693 Ὁ Σχολιαστὴς παρατηρεῖ· "Ὑπονοοῦσιν οἱ κατὰ τὸν χορὸν χρηστότερόν τι περὶ τοῦ Οἰδίποδος, ὅτι θειοτέρου γένους τυγχάνει ἀπό τινος τῶν ὀρείων νυμφῶν. Πυνθάνονται δὲ τὸν λόγον πρὸς τὸν Κιθαιρῶνα, καί φασιν, οὐκ ἔσῃ εἰς τὴν αὔριον ἀπείρατος τοῦ ἡμᾶς αὔξειν σε, ὡς τροφὸν καὶ μητέρα τοῦ Οἰδίποδος„.

3 Ἐπειδὴ ὁ χορὸς ἐν τοῖς ἔμπροσθεν ἀρνεῖται τὴν ὕπαρξιν τῆς μαντικῆς (ἐν στίχ. 500, ἀνδρῶν δ' ὅτι μάντις πλέον ἢ 'γὼ φέρεται, κρίσις οὐκ ἔστιν ἀληθής· σοφίᾳ δ' ἂν σοφίαν παραμείψειεν ἀνήρ), ἤθελέ τις ἴσως ἀπορήσει, ὅτι αὐτὸς οὗτος ὀνομάζει ἑαυτὸν μάντιν. Ἀλλ' οὗτος ἐννοεῖ ἐνταῦθα τὸν μάντιν κατὰ τὴν ἀνθρωπίνην σοφίαν, ὡς ἀναπτύσσει εὐθὺς διὰ τῆς ἑπομένης προτάσεως. Ἀλλαχοῦ ἡ μαντικὴ διαστέλλεται ἀπὸ τῆς ἀνθρωπίνης γνώμης, ἐν στίχ. 398 "γνώμῃ κυρήσας οὐδ' ἀπ' οἰωνῶν μαθὼν„ καὶ ἐν Οἰδίποδ. ἐπὶ Κολων. 403 "κἄνευ θεοῦ τις τοῦτό γ' ἂν γνώμῃ μάθοι„.

4 Ὁ Σχολιαστὴς ἑρμηνεύει· "Ἔμπειρος κατὰ τὴν γνώμην, ὅ ἐστι συνετός„. Ἐπὶ ὅρκου ἐνίοτε τίθεται τὸ οὐ ἄνευ τοῦ μά, ὡς στίχ. 660 καὶ ἐν Ἀντιγ. 758.

5 Ἡ σύνταξις ἔχει ὡς ἑξῆς· οὐκ ἀπείρων ἔσει, μὴ οὐχ ἡμᾶς σε αὔξειν, καί σε χορεύεσθαι. Ἀντὶ τῆς λέξεως αὔριον ὁ Nauck ἔγραψεν

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

πανσέληνον, μὴ οὐ σέ γε καὶ πατριώταν[1] *Οἰδίπου* 1090
καὶ τροφὸν καὶ ματέρ'[2] *αὔξειν,*
καὶ χορεύεσθαι[3] *πρὸς ἡμῶν, ὡς ἐπίηρα φέροντα*
τοῖς ἐμοῖς τυράννοις. 1095
ἰήιε Φοῖβε[4]*, σοὶ δὲ ταῦτ' ἀρέστ' εἴη.*

αὖρι, ὅπερ εὑρισκόμενον ἐν ἀποσπάσμασι 412 τοῦ Αἰσχύλου σημαίνει ταχέως. Ὁ δὲ Dindorf γράφει τὰν ἑτέραν πανσέληνον, ὅπερ φαίνεται τολμηρόν. Λοιπὸν ὁ χορὸς προσδοκᾷ, ὅτι τὴν ἑπομένην ἡμέραν θέλει ἀνακαλυφθῇ τὸ γένος τοῦ Οἰδίποδος. Γεννᾶται ὅμως τὸ ζήτημα, διὰ τί πρέπει νὰ ἦναι πανσέληνος. Ὁ Wolff εἰκάζει οὐχὶ ἀπιθάνως, ὅτι τοῦτο ἦτο προωρισμένον διὰ τοὺς ἐν Ἀθήναις θεατάς· διότι ἐνταῦθα ἐτέλουν τὰ Πάνδια, ὧν ἡ ἔναρξις ἐγίνετο εὐθὺς μετὰ τὴν ἑορτὴν τῶν μεγάλων Διονυσίων. Τὰ δὲ Πάνδια ἐτελοῦντο κατὰ τὴν πανσέληνον τοῦ μηνὸς Ἐλαφηβολιῶνος. Ἡμεῖς δυνάμεθα νὰ προσθέσωμεν καὶ ἄλλον λόγον· διὰ τοῦ πανσελήνου ἠθέλησε νὰ ὑποδηλώσῃ ὁ ποιητής, ὅτι τὸ πρᾶγμα ἔσται ἀριδήλως φανερόν. Καὶ ἡμεῖς λέγομεν, θὰ γείνῃ καὶ θὰ ἦναι μεσημέρι.

1 Τοῦτο λέγεται καὶ συμπατριώτης παρά τισιν ἀρχαίοις. Συνήθως οὗτοι ὠνόμαζον πατριώτας τοὺς δούλους, ὡς λέγει ὁ Φώτιος· "Πατριῶται οἱ δοῦλοι Ἑλλήνων, πολῖται δὲ οἱ ἐλεύθεροι„. "Ορα σημείωσίν μου εἰς Ἀπολογ. Πλάτ. ἐν σελ. 95.

2 Ὁ ποιητὴς διὰ τῶν τριῶν ὀνομάτων σχηματίζει σχῆμα κλιμακωτόν. Τὸ ὑποκείμενον τοῦ αὔξειν εἶναι ἡμᾶς, κατὰ δὲ τὸν Σχολιαστὴν σημαίνει μεγαλύνειν, λέγειν.

3 Ἐπειδὴ τὸ χορεύειν ἁπαντᾷ καὶ ὡς ἐνεργητικὸν μεταβατικόν, σχηματίζεται ἐκ τούτου καὶ παθητικὸς τύπος, ὡς Σοφοκλ. ἐν Ἀντιγόν. 1152 "σὲ χορεύουσι τὸν ταμίαν Ἴακχον„, Εὐριπίδ. ἐν Ἴων 1080 "χορεύει σελάνα ματέρα σεμνὰν„ καὶ Πίνδαρ. ἐν Ἰσθμ. 1, 7 "τὸν ἀκειρεκόμαν Φοῖβον χορεύων„. Καὶ ἡμεῖς λέγομεν, χορεύω τὸν καλαματιανόν. Ἡ φράσις ἐπίηρα φέροντα συνήθως εὑρηται παρὰ τοῖς ἐπικοῖς καὶ παρά τισι μεταγενεστέροις λυρικοῖς. Ὁ Σχολιαστὴς ἑρμηνεύει· "ὡς ἐπέραστα φέροντα τοῖς ἐμοῦ βασιλεῦσιν„.

4 Ὁ χορὸς εὔχεται, ἵνα ἡ μαντικὴ αὐτοῦ ἀρέσῃ τῷ Ἀπόλλωνι, ὅστις διάφορα ἐμαντεύσατο, ὡς τοὐλάχιστον ἐξήγησεν ὁ Τειρεσίας. Ὁ Σχολιαστὴς παρατηρεῖ· "Ἀναγκαίως πρὸς τὸν Ἀπόλλωνα ἀποτείνει διὰ τὸ ἄρξαι τῶν χρησμῶν„. Ἐξήγησις· Ἐὰν βέβαια ἐγὼ εἶμαι μάντις καὶ κατὰ γνώμην ἔμπειρος, μὰ τὸν "Ολυμπον, ὦ Κιθαιρών, θέλεις δοκιμάσει κατὰ τὴν πανσέληνον τῆς αὔριον, ὅτι μεγαλύνομεν βέβαια σὲ τὸν συμπατριώτην τοῦ Οἰδίποδος καὶ τροφὸν καὶ μητέρα καὶ τιμῶμεν, διότι φέρεις εὐχάριστα εἰς τοὺς βασιλεῖς μου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀντιστροφή.

τίς σε, τέκνον, τίς σ' ἔτικτε[1]
τῶν μακραιώνων[2] *ἄρα Πανὸς ὀρεσσιβάτα πατρὸς*
πελασθεῖσ'[3]
ἢ σέ γ' εὐνάτειρά[4] *τις*
Λοξίου[5]*; τῷ γὰρ πλάκες*[6] *ἀγρόνομοι πᾶσαι φίλαι·*
εἴθ'[7] *ὁ Κυλλάνας ἀνάσσων,*

Εἰς σὲ δέ, ἰήιε Ἄπολλον, εὔχομαι ταῦτα νὰ ἀρέσωσιν.

1 *Τὸ τίκτειν οἱ ἀρχαῖοι μεταχειρίζονται πλειστάκις κατὰ παρατατικόν, ἐν ᾧ ἠδύναντο νὰ μεταχειρισθῶσι καὶ*[1] *ἀόριστον, ὡς ἐν Οἰδίποδ. ἐπὶ Κολων.* 982 "ἔτικτε γὰρ μ' ἔτικτεν, ὤμοι μοι κακῶν„.

2 *Ἐπειδὴ ὁ Οἰδίπους εὑρέθη ἐν τοῖς ὄρυμοῖς τοῦ Κιθαιρῶνος, ὁ χορὸς εἰκάζει, ὅ τι οὗτος εἶναι τέκνον νύμφης τινὸς καὶ θεοῦ ἐξ ἐκείνων, οἵτινες διαιτῶνται ἐν τοῖς ὄρεσι. Τὸ μακραίων σημαίνει, ὅ τι καὶ τὸ ἀθάνατος, ὡς ἐν Ἀντιγόν.*" 987 "Μοῖραι μακραίωνες„, εἰ καὶ ὑπό τινων ἀρχαίων ἐλέχθη, ὅτι αἱ νύμφαι δὲν εἶναι ἀθάνατοι, ἀλλὰ μακρόβιοι, ὡς δὴ αἱ Δρυάδες συνθνήσκουσι μετὰ τῶν δένδρων, *Πίνδαρ. ἐν ἀποσπάσμ.* 142 "ἰσοδένδρου τέκμαρ αἰῶνος λαχοῖσαι„. *Τὸ ἄρα δηλοῖ, ὅτι τὰ ἐνταῦθα λεγόμενα εἶναι συνέπεια τῶν ἡγουμένων. Οὐχὶ δ' ἀσυνήθως τίθεται τοῦτο μετὰ πολλὰς λέξεις, ὡς ἐν Αἴαντ.* 925 *καὶ ἐν Οἰδίποδ. ἐπὶ Κολων.* 1697. *Ἡ γενικὴ ὀρεσσιβάτα εὕρηται καὶ ἐν Ἀντιγόν.* 350. *Τὸν Πᾶνα ὀνομάζει ὁ χορὸς πατέρα μετὰ οἰκειότητος.*

3 *Συνετάχθη πρὸς γενικὴν τὸ πελάζεσθαι, ὡς καὶ τὸ θιγεῖν, ἅψασθαι καὶ τὰ τοιαῦτα, ὡς ἐν Τραχιν.* 17, "πρὶν τῆσδε κοίτης ἐμπελασθῆναί ποτε„.

4 *Δηλοῖ τὴν σύνευνον.*

5 *Καὶ ὁ Ἀπόλλων ἐν τοῖς ὄρεσι διαιτώμενος νόμιος ἐκαλεῖτο. Οὕτως ἔνεμε τὰς βοῦς τοῦ Λαομέδοντος ἐν Τροίᾳ, Ἰλιάδ. Φ,* 448 *καὶ τὰ ποίμνια τοῦ Ἀδμήτου ἐν Φεραῖς Ἀπολλόδωρ.* 1, 9, 15.

6 *Ὁ Σχολιαστὴς ἑρμηνεύει· "Αἱ ἐξοχαί, αἱ ἀνατάσεις τῶν ὀρῶν. Ἀγρόνομοι δέ, ἔνθα τὰ ἄγρια νέμεται, τὰ μὴ ἥμερα θηρία„. Τὸ ἀγρόνομοι ἔχει παθητικὴν σημασίαν, ὡς λέγεται τὸ ὄρος νέμω καὶ "τὸ ὄρος νέμεται αἰξί„ Ξενοφ. ἐν Κύρ. Ἀναβάσ.* IV, 6, 17.

7 *Ὁ Ἑρμῆς διατρίβων ἐπὶ τοῦ ὑψίστου ὄρους τῆς Ἀρκαδίας, τῆς Κυλλήνης, ἠγάπα τὰς νύμφας καὶ ἦτο ὁ προστάτης πάντων τῶν ποιμένων. Διὰ τοῦτο εἶχε καὶ τὰ ἐπίθετα νόμιος, ἐπιμήλιος, μηλοσσόος, κριοφόρος, ὄρειος.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἶθ' ὁ Βακχεῖος[1] θεὸς ναίων ἐπ' ἄκρων ὀρέων σ'
εὕρημα[2] δέξατ' ἔκ του 1105
νυμφᾶν Ἑλικωνιάδων[3], αἷς πλεῖστα συμπαίζει.

ΟΙΔΙΠΟΥΣ

εἰ χρή τι κἀμέ[4], μὴ συναλλάξαντά πω, 1110
πρέσβεις, σταθμᾶσθαι, τὸν βοτῆρ' ὁρᾶν δοκῶ,
ὅνπερ πάλαι ζητοῦμεν. ἔν τε γὰρ μακρῷ

1 Ἀπαντᾷ Βάκχειος καὶ Βακχεῖος, δηλ. ὁ Διόνυσος, ὅστις ἐτέρπετο ἐν τοῖς ὄρεσι μετὰ τῶν νυμφῶν, Ἀριστοφάν. ἐν Θεσμοφ. 991 "Βρόμιε, χοροῖς τερπόμενος κατ' ὄρεα Νυμφᾶν ἐρατοῖς ἐν ὕμνοις, ἀμφὶ δέ σοι κτυπεῖται Κιθαιρώνιος ἠχώ„. Πρὸς τιμὴν δὲ τούτου αἱ μὲν Ἀθίδες καὶ αἱ Βοιωτικαὶ καὶ Φωκικαὶ γυναῖκες ἑώρταζον ἐπὶ τοῦ Παρνασσοῦ, αἱ δὲ Σπαρτιάτιδες ἐπὶ τοῦ Ταϋγέτου. Ὁ Τρικλίνιος παρατηρεῖ· "Λέγει δὲ τὸν Διόνυσον ναίειν ἐπ' ἄκρων ὀρέων, ἢ διότι αἱ Βάκχαι αὐτοῦ, ὡς μαινόμεναι, τὰ ὄρη περιήρχοντο, ἢ ὅτι ἐν τῷ Κιθαιρῶνι τὸ ἱερὸν ἦν αὐτοῦ„.

2 Εὕρημα σημαίνει εὐφρόσυνον κέρδος· ἐκ δὲ τῆς σειρᾶς τοῦ λόγου γίνεται δῆλον, ὅτι τὸ βρέφος δὲν ἦτο ἔρμαιον, ἀλλὰ τέκνον αὐτοῦ τοῦ Διονύσου μετά τινος νύμφης, ὡς μαρτυρεῖ καὶ τὸ συμπαίζει. Διὰ τὴν δυσκολίαν ταύτην ὁ μὲν Wolff ἔγραψέ σε θρέμμα, ὁ δὲ Gleditsch δώρημα.

3 Ἀντὶ τοῦ Ἑλικωνιάδων ὁ Porson γράφει Ἑλικωνίδων, ὅπερ δέχεται καὶ ὁ Dindorf. Τὸ αὐτὸ λέγει καὶ ὁ Ἀνακρέων 2 "Ὦναξ (Διόνυσος), ᾧ δαμάλης Ἔρως καὶ Νύμφαι κυανώπιδες πορφυρέη τ' Ἀφροδίτη συμπαίζουσιν· ἐπιστρέφεαι δ' ὑψηλὰς κορυφὰς ὀρέων„. Τίς λοιπόν σε, τέκνον, τίς σ' ἐγέννησε τῶν ἀθανάτων νυμφῶν συνευρεθεῖσα μετὰ τοῦ ὀρεσιβίου πατρὸς Πανὸς ἢ σύνευνός τις τοῦ Ἀπόλλωνος; διότι εἰς τοῦτον πᾶσαι αἱ φάραγγες, ἐφ' ὧν βόσκουσι κτήνη, εἶναι προσφιλεῖς· εἴτε ὁ τιμώμενος ἐπὶ τῆς Κυλλήνης, εἴτε ὁ θεὸς Διόνυσος ὁ κατοικῶν ἐπὶ τῶν κορυφῶν τῶν ὀρέων ἐδέχθη σε μετὰ χαρᾶς ὡς τέκνον παρά τινος τῶν Ἑλικωνιάδων νυμφῶν, μετὰ τῶν ὁποίων πλειστάκις συμπαίζει.

4 Τοῦτο λέγει ἐν ἀντιθέσει πρὸς τὸ ἑπόμενον σὺ ἐν στίχ. 1115· ἂν πρέπῃ καὶ ἐγώ, ἂν καὶ δὲν συνήντησα μέχρι τοῦδε τὸν ποιμένα, γέροντες, νὰ εἰκάσω, νομίζω, ὅτι βλέπω τοῦτον. Ἐπειδὴ ὁ Οἰδίπους μετὰ μεγίστης ἀγωνίας περιέμενε τὸν ποιμένα, πρῶτος παρατηρεῖ τοῦτον ἐρχόμενον Ὁ Σχολιαστὴς παρατηρεῖ· "Θεασάμενος δὲ ὁ Οἰδίπους τὸν προσβύτην ἐρχόμενον, ὃν μετεπέμψατο, στοχάζεται μὲν εἶναι αὐτὸν ἐκ τοῦ γήρως καὶ τῶν ἀγόντων οἰκετῶν, τὴν δὲ ἐπιστήμην καὶ τὴν ἀκριβῆ γνῶ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γήρᾳ[1] ξυνᾴδει τῷδε τἀνδρὶ σύμμετρος[2],
ἄλλως τε[3] τοὺς ἄγοντας ὥσπερ οἰκέτας
ἔγνωκ' ἐμαυτοῦ, τῇ δ' ἐπιστήμῃ σύ[4] μου
προύχοις τάχ' ἄν που, τὸν βοτῆρ' ἰδὼν πάρος[5].

ΧΟΡΟΣ

ἔγνωκα γάρ[6], σάφ' ἴσθι· Λαΐου γὰρ ἦν,
εἴπερ τις ἄλλος[7], πιστὸς ὡς νομεὺς ἀνήρ.

ΟΙΔΙΠΟΥΣ

σὲ πρῶτ' ἐρωτῶ τὸν Κορίνθιον ξένον,
ἦ τόνδε φράζεις;

ΑΓΓΕΛΟΣ

τοῦτον, ὃνπερ εἰσορᾷς.

σιν τῷ χορῷ ἀνατίθησιν„. Τὸ συναλλάξαντα ἰσοδυναμεῖ τῷ ὁμιλήσαντα.

1 Εἶναι δοτικὴ ὀργανική, ὡς ἐν στίχ. 80.

2 Ὁ Σχολιαστὴς ἑρμηνεύει "Τῷ Κορινθίῳ ὁμῆλιξ καὶ ἴσος ἐστὶ κατὰ τὴν ἡλικίαν„.

3 Σημαίνει ἐξ ἄλλου μέρους, δι' ἄλλην αἰτίαν, ὡς Εὐριπίδ. ἐν Ἴων. 618 "ἄλλως τε τὴν σὴν ἄλοχον οἰκτείρω ἄπαιδα γηράσκουσαν„. Τὸ ὥσπερ θεωρεῖται ὑπὸ τῶν κριτικῶν ὕποπτον προελθὸν ἐκ κακῆς συμπληρώσεως. Ὁ Nauck εἰκάζει, ὅτι ἐξέπεσε τοῦ κειμένου ἡ μετοχὴ ὄντας, ἥτις κακῶς ἀνεπληρώθη διὰ τοῦ ὥσπερ καὶ τοῦτο θεωρεῖ ἀναγκαῖον· "Εἰκότως εἶπε τὸ ὥσπερ· οὐ γὰρ ἀκριβῶς εἶδεν, ἀλλ' εἰκάζων ἦν„. Ὁπωσδήποτε πρέπει νὰ ἐννοήσωμεν τὴν μετοχὴν ὄντας, ὡς καὶ ἐν Οἰδίποδ. ἐπὶ Κολων. 783.

4 "Ορα, ὅτι ἐπὶ τοῦ χοροῦ μεταχειρίζεται τὸν ἑνικὸν ἀριθμόν, εἰ καὶ πρὸ ὀλίγου εἶπε πρέσβεις.

5 Κατὰ τὸν Σχολιαστήν· "τῇ γνώσει ὑπερβάλλοις, ὡς καὶ πρὶν αὐτὸν θεασάμενος„.

6 Αἰτιολογεῖ τὴν ἐννοουμένην φράσιν, προὔχοιμι ἄν σου τῇ ἐπιστήμῃ.

7 Ἡ ὑποθετικὴ αὕτη πρότασις δίδει τῷ ἐπιθέτῳ πιστὸς σημασίαν ὑπερθετικοῦ. Τὸ ὡς ὅμως περιορίζει πως τὴν πίστιν τοῦ ποιμένος, διότι σημαίνει πιστός, ὅσον εἶναι δυνατὸν νὰ ὑπάρξῃ ποιμήν. Ὁ δοῦλος ἦτο μὲν πιστός, ἀλλὰ τὸ γένος τῶν ποιμένων δὲν εἶναι εἰς ἄκρον πιστόν. Παραπλήσιον εἶναι τὸ ἐν Οἰδίποδ. ἐπὶ Κολων. 20 "μακρὰν γὰρ ὡς γέροντι προὐστάλης ὁδόν„.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΙΔΙΠΟΥΣ

οὗτος σύ, πρέσβυ, δεῦρό μοι φώνει βλέπων[1],
ὅσ' ἄν σ' ἐρωτῶ. Λαΐου ποτ' ἦσθα σύ;

ΘΕΡΑΠΩΝ

ἦ[2] *δοῦλος, οὐκ ὠνητός, ἀλλ' οἴκοι τραφείς.*

ΟΙΔΙΠΟΥΣ

ἔργον μεριμνῶν ποῖον ἢ βίον τίνα;

ΘΕΡΑΠΩΝ

ποίμναις τὰ πλεῖστα τοῦ βίου συνειπόμην[3]. *1125*

ΟΙΔΙΠΟΥΣ

χώροις μάλιστα[4] *πρὸς τίσιν ξύναυλος ὤν;*

ΘΕΡΑΠΩΝ

ἦν μὲν Κιθαιρών, ἦν δὲ πρόσχωρος τόπος[5].

ΟΙΔΙΠΟΥΣ

τὸν ἄνδρα[6] *τόνδ' οὖν οἶσθα, τῇδέ που μαθών;*

ΘΕΡΑΠΩΝ

τί χρῆμα δρῶντα; ποῖον ἄνδρα καὶ λέγεις[7]*;*

1 Ὁ Οἰδίπους ἀπαιτεῖ, ἵνα ὁ βλέπῃ κατὰ πρόσωπον, ὅπως τῶν γραμμῶν αὐτοῦ καὶ ἐκ τοῦ ματος ἀνεύρῃ τὴν ἀλήθειαν. Ἀττικὸς σχηματισμὸς ἐκ τοῦ εἶναι παρατατικὸς τοῦ εἰμί. οἱ τραφεὶς σημαίνει, ὅτι καὶ οὐ τροφῆς, οἰκότριψ, καὶ οἰκογενής. Τοῦτο εἶ τὴν πίστιν τοῦ θεράποντος ται μεθ' ὑπερηφανείας. Ὁ Σχολιαστὴς ἑρμηνεύει· τὰ πλεῖστα μέρη τῆς ζωῆς μναις ἠκολούθουν„.

4 Ἐπιθυμεῖ ὁ Οἰδίπους, ἵνα ὁ ποιμὴν ὁρίσῃ ἀκριβῶς, ἐν τίσι τόποις ηὐλίζετο.

5 Κατὰ τὸν Σχολιαστήν· „Ἦν μὲν Κιθαιρών, ἔνθα ηὐλιζόμην, ἦν δὲ πλησιόχωρος τῷ Κιθαιρῶνι τόπος„. Ἀντὶ τοῦ πρόσχωρος ὁ M. Schmidt ἔγραψε σύγχορτος.

6 Ἐννοεῖ τὸν Κορίνθιον ἄγγελον.

7 Ἡ δευτέρα ἐρώτησις εἶναι γενικωτέρα τῆς πρώτης. Ἡ ἀκριβὴς τοῦ Οἰδίποδος ἐξέτασις ἤγειρεν ὑπονοίας ἐν τῇ διανοίᾳ τοῦ θεράποντος,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΙΔΙΠΟΥΣ

τόνδ', ὃς πάρεστιν· ἢ ξυναλλάξας[1] τί πως;

ΘΕΡΑΠΩΝ

οὐχ ὥστε γ' εἰπεῖν ἐν τάχει μνήμης ἄπο[2].

ΑΓΓΕΛΟΣ

κοὐδέν γε θαῦμα[3], δέσποτ'. ἀλλ' ἐγὼ σαφῶς
ἀγνῶτ'[4] ἀναμνήσω νιν. εὖ γὰρ οἶδ', ὅτι
κάτοιδεν, ἦμος[5] τὸν Κιθαιρῶνος τόπον
ὁ μὲν[6] διπλοῖσι ποιμνίοις, ἐγὼ δ' ἑνὶ
ἐπλησίαζον[7] τῷδε τἀνδρὶ τρεῖς ὅλους
ἐξ ἦρος εἰς ἀρκτοῦρον[8] ἑκμήνους χρόνους·

ὅστις διὰ τῶν γενικῶν ἀποκρίσεων ἐπιδεικνύει πλήρη ἀθῳότητα

1 Ἐν τῇ ἡγουμένῃ ἐρωτήσει τοῦ Οἰδίποδος ὑπάρχει τὸ οἶσθα, ἐξ οὗ ἐξαρτᾶται ἡ μετοχή. Ὁ Σχολιαστὴς ἑρμηνεύει "συντυχὼν κατά τι".

2 Ἡ ὑπὸ μετὰ γενικῆς ἐνταῦθα δηλοῖ τὸ ἀναγκαστικὸν αἴτιον.

3 Καὶ δὲν εἶναι βέβαια παράδοξον, διότι παρῆλθε πολὺς χρόνος.

4 Ἐνταῦθα σημαίνει ἐπιλαθόμενον.

5 Περιέμενέ τις ἴσως ὅ τι, ὅπερ ὁ ποιητὴς δὲν ἠδύνατο νὰ μεταχειρισθῇ διὰ τὸ προηγούμενον. Ἄλλως μετὰ τὰ μνήμης σημαντικὰ ῥήματα ἕπεται χρονικὸν ἐπίρρημα, ὡς ἐν Αἴαντ. 1273 "οὐ μνημονεύεις οὐκέτ' οὐδέν, ἡνίκα ἑρκέων ποθ' ἡμᾶς οὗτος ἐγκεκλημένους". Διὰ τῆς λέξεως τόπον ἐννοεῖ, ὅτι εἶπεν ἐν στίχ. 1127.

6 Οἱ κριτικοὶ ἐποίησαν ἐν τῷδε τῷ στίχῳ ποικίλας διορθώσεις ἄνευ πολλῆς ἀνάγκης· ὁ μὲν Heimsoeth ἀντὶ τοῦ ὁ μὲν γράφει νέμων, ὁ δὲ Brunck ἐπλησίαζεν ἀντὶ ἐπλησίαζον καὶ οὕτως ἡ φράσις ἐγὼ δ' ἑνὶ γίνεται παρένθεσις, ὅπερ δὲν εἶναι ἀτυχές.

7 Ὁ ποιητὴς ἠδύνατο νὰ εἴπῃ ἐπλησιάζομεν. Διὰ τῆς φράσεως τῷδε τἀνδρὶ δηλοῖ τὸν Θηβαῖον ποιμένα.

8 Ὅταν οἱ ἀρχαῖοι λέγωσι περὶ τῆς ἐπιτολῆς τῶν ἀστέρων, ἐννοοῦσι πάντοτε τὴν πρωϊνὴν ἐπιτολὴν αὐτῶν, δηλ. τὴν ἡμέραν, καθ' ἣν τὸ πρῶτον γίνονται ὁρατοὶ τὴν πρωΐαν ἐπιτέλλοντες. Ὁ ἀρκτοῦρος ἐπιτέλλει κατὰ τὸν Σεπτέμβριον καὶ δὴ τῷ 430 ἡ ἐπιτολὴ αὐτοῦ ἐγένετο ἐν Ἀθήναις τῇ 18 Σεπτεμβρίου τοῦ Ἰουλιανοῦ ἡμερολογίου κατὰ τοὺς ὑπολογισμοὺς τοῦ διευθυντοῦ τοῦ ἐν Βερολίνῳ ἀστεροσκοπείου Foerster. Ἀπὸ τῆς ἐπιτολῆς τοῦ ἀρκτούρου

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χειμῶνι δ' ἤδη τἀμά[1] *τ' εἰς ἔπαυλ' ἐγὼ*
ἤλαυνον, οὗτός τ' εἰς τὰ Λαΐου σταθμά[2]*.*
λέγω τι τούτων ἢ οὔ[3] *λέγω πεπραγμένον;* 1140

ΘΕΡΑΠΩΝ

λέγεις ἀληθῆ, καίπερ ἐκ μακροῦ[4] *χρόνου.*

ΑΓΓΕΛΟΣ

φέρ' εἰπὲ νῦν, τότ'[5] *οἶσθα παῖδά μοί τινα*
δούς, ὡς ἐμαυτῷ[6] *θρέμμα θρεψαίμην ἐγώ;*

ΘΑΡΑΠΩΝ

τί δ' ἔστι; πρὸς τί τοῦτο τοὔπος ἱστορεῖς[7]*;*

ΑΓΓΕΛΟΣ

ὅδ' ἐστίν, ὦ τᾶν[8]*, κεῖνος, ὃς τότ' ἦν νέος.* 1145

ἄρχεται τὸ φθινόπωρον, ὡς παρατηρεῖ καὶ ὁ Σχολιαστής· "Ἐκ τοῦ τέλους τοῦ ἔαρος εἰς τὴν ἑῴαν ἐπιτολὴν τοῦ ἀρκτούρου, ἤτοι τὴν ὥραν τοῦ θέρους. Ὁ γὰρ ἀρκτοῦρος κατὰ τὴν ἀρχὴν ἐπιτέλλει τοῦ μετοπώρου„. Περὶ τούτου λέγει καὶ ὁ Ἡσίοδος ἐν Ἔργ. 566 "Εὖτ' ἂν δ' ἑξήκοντα μετὰ τροπὰς ἠελίοιο χειμέρι' ἐκτελέσῃ Ζεὺς ὄμβρους, δὴ ῥα τότ' ἀστὴρ ἀρκτοῦρος προλιπὼν ἱερὸν ῥόον Ὠκεανοῖο πρῶτον παμφαίνων ἐπιτέλλεται ἀκρονέφαιος„. Ἔκμηνος δὲ σημαίνει τὴν ἑξαμηνίαν, ὡς παρὰ Πολυβ. IV, σελ. 367 "Στρατοκλέους πρυτανεύοντος τὴν δευτέραν ἔκμηνον„. Μέχρι τῶν καθ' ἡμᾶς χρόνων οἱ ποιμένες ἀριθμοῦσι καὶ συνάπτουσι τὰ συμβόλαια αὐτῶν καθ' ἑξαμηνίας, ἀπὸ τοῦ ἁγίου Γεωργίου μέχρι τοῦ ἁγίου Δημητρίου.

1 Δυνάμεθα ἢ νὰ συνάψωμεν μετὰ τοῦ ἔπαυλα ἢ νὰ θεωρήσωμεν ὡς τὸ ἀντικείμενον τοῦ ἤλαυνον καὶ νὰ ἐννοήσωμεν καὶ εἰς τὸ οὗτος τὸ τὰ ἑαυτοῦ.

2 Ὁ Εὐστάθιος παρατηρεῖ ἐν σελ. 257, 7· "Σταθμὸς δὲ νῦν μὲν ἀγροτικὴ κατοικία, ὅ ἐστιν ἔπαυλις· ἦν ὁ Σοφοκλῆς μεταπλάσας σταθμὰ λέγει„.

3 Τὸ ἢ οὐ πρέπει νὰ ἀπαγγελθῇ μονοσυλλάβως.

4 Ἀπὸ τοῦ χρόνου, καθ' ὃν ταῦτα ἐγένοντο, παρῆλθε πολὺς χρόνος.

5 Ἐνθυμεῖσαι, ὅτι τότε ἔδωκάς μοι παῖδα;

6 Ὁ Σχολιαστὴς ἑρμηνεύει· "Ἵνα ἀναθρεψαίμην ἐγώ, αὐτὸν δηλονότι, θρέμμα ἐμαυτῷ, ἤγουν δι' ἐμαυτόν„.

7 Περιπίπτει εἰς τὴν σημασίαν τοῦ ζητεῖς, ἐρωτᾷς.

8 Ὦ φίλε· ἡ φράσις ἐλήφθη ἐκ τοῦ καθ' ἡμέραν βίου εὑρισκομένη καὶ ἐν Φιλοκτήτ. 1387 καὶ ἴσως ἐν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΘΕΡΑΠΩΝ

οὐκ εἰς ὄλεθρον[1]*; οὐ σιωπήσας ἔσει;*

ΟΙΔΙΠΟΥΣ

ἆ[2]*, μὴ κόλαζε, πρέσβυ, τόνδ', ἐπεὶ τὰ σὰ*
δεῖται κολαστοῦ μᾶλλον ἢ τὰ τοῦδ' ἔπη.

ΘΕΡΑΠΩΝ

τί δ', ὦ φέριστε[3] *δεσποτῶν, ἁμαρτάνω;*

ΟΙΔΙΠΟΥΣ

οὐκ[4] *ἐννέπων τὸν παῖδ', ὃν οὗτος ἱστορεῖ.*

ΘΕΡΑΠΩΝ

λέγει[5] *γὰρ εἰδὼς οὐδέν, ἀλλ' ἄλλως πονεῖ.*

ΟΙΔΙΠΟΥΣ

σὺ πρὸς χάριν μὲν οὐκ ἐρεῖς, κλαίων δ' ἐρεῖς.

ΘΕΡΑΠΩΝ

μὴ δῆτα, πρὸς θεῶν, τὸν γέροντα[6] *μ' αἰκίσῃ.*

Ἠλέκτρ. 1220. *Ἀντὶ τοῦ νέος ὁ* Wecklein *ἔγραψε βρέφος· ὅπερ ἤθελεν εἶναι ἀκριβέστερον, ἂν ἔγραφεν ὁ ποιητής.*

1 *Ἐννοεῖται τὸ ἀποφθερεῖ ἢ ἄπει, ὡς Ἀριστοφάν. ἐν Ἱππ.* 820 *"οὐκ εἰς κόρακας ἀποφθερεῖ;" Ὁ θεράπων, ὅστις ἐνόμιζεν, ὅτι ἵσταται πρὸ τοῦ φονέως τοῦ Λαΐου, νῦν μανθάνει τὸ ὅλον μυστήριον.*

2 *Ἐπιφώνημα ἐφεκτικόν. Τὸ κολάζειν λεγόμενον περὶ δούλου ἔχει εἰρωνείαν τινά· διότι οἱ δοῦλοι κολάζονται καὶ δὲν κολάζουσιν.*

3 *Τὸ ὁμηρικὸν τοῦτο ὑπερθετικὸν ἐκ τῶν τραγικῶν ἁπαντᾷ μόνον παρ' Αἰσχύλ. ἐν Ἑπτὰ ἐπὶ Θήβ.* 39.

4 *Ἁμαρτάνεις, διότι δὲν ἀποκρίνεσαι περὶ τοῦ παιδός, περὶ τοῦ ὁποίου οὗτος ἐρωτᾷ.*

5 *Δὲν ἀποκρίνομαι, διότι λέγει χωρὶς τὰ γνωρίζῃ τίποτε, ἀλλὰ ματαίως κοπιάζει. Τὸ μάταιον κεῖται ἐν τούτῳ, ὅτι ὁ Κορίνθιος ἀποτυγχάνει τοῦ σκοποῦ αὐτοῦ, δηλ. ὅτι δὲν λέγει πρὸς χάριν τοῦ Οἰδίποδος, ὡς τοῦτο ἐξάγεται ἐκ τοῦ ἑπομένου στίχου.*

6 *Ὁ θεράπων οὗτος ἦτο φύσει δειλὸς καὶ ἄνευ τῆς δειλίας τούτου ὁ ποιητὴς δὲν ἠδύνατο νὰ πλέξῃ τὸν μῦθον· διότι οὗτος ἔφυγε καὶ φυγὼν διέσπειρε τὴν φήμην, ὅτι ὁ Λάϊος ἐφονεύθη ὑπὸ λῃστῶν.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΙΔΙΠΟΥΣ

οὐχ ὡς τάχος τις τοῦδ' ἀποστρέψει[1] χέρας;

ΘΕΡΑΠΩΝ

δύσιηνος· ἀντὶ τοῦ; τί προσχρῄζων[2] μαθεῖν; 1155

ΟΙΔΙΠΟΥΣ

τὸν παῖδ' ἔδωκας τῷδ'[3], ὃν οὗτος ἱστορεῖ;

ΘΕΡΑΠΩΝ

ἔδωκ'· ὀλέσθαι δ' ὤφελον τῇδ' ἡμέρᾳ[4].

ΟΙΔΙΠΟΥΣ

ἀλλ' εἰς τόδ'[5] ἥξεις, μὴ λέγων γε τοὔνδικον.

ΘΕΡΑΠΩΝ

πολλῷ γε μᾶλλον, ἢν φράσω, διόλλυμαι.

ΟΙΔΙΠΟΥΣ

ἀνὴρ ὅδ', ὡς ἔοικεν, ἐς τριβὰς[6] ἑλᾷ. 1160

ΘΕΡΑΠΩΝ

οὐ δῆτ' ἔγωγ', ἀλλ' εἶπον, ὡς δοίην, πάλαι[7].

1 Ἡ τιμωρία αὕτη ἦτο συνήθης ἐν Ἀθήναις, Ἀριστοφάν. ἐν Λυσιστράτ. 455 "ἀποστρέφετε τὰς χεῖρας αὐτῶν, ὦ Σκύθαι„.

2 Ἐκ τοῦ ἡγουμένου στίχου ἐννοεῖται ἡ φράσις, κελεύεις ἀποστρέψαι χέρας.

3 Ἐπειδὴ ἡ ἀντωνυμία τῷδε καὶ οὗτος ἀναφέρονται εἰς τὸ αὐτὸ πρόσωπον, ὁ Schmidt ἔτρεψεν εἰς τόνδ' εἶ δέδωκας παῖδ', ὃν...

4 Δὲν ἐννοεῖ τὴν σήμερον ἡμέραν, ἀλλὰ τὴν ἡμέραν. καθ' ἣν ἔδιδε τὸν παῖδα.

5 Δηλαδὴ τὸ ὀλέσθαι· ἀλλ' εἰς τὸν ὄλεθρον θὰ φθάσῃς, ἂν βέβαια δὲν λέγῃς τὴν ἀλήθειαν.

6 Ὁ Σχολιαστὴς ἑρμηνεύει· "Εἰς βραδυτῆτα καὶ διατριβὰς καὶ ἀναβολάς„, ὡς ἐν Ἀντιγόν. 577. "Μὴ τριβὰς ἔτ', ἀλλά νιν κομίζετε εἴσω„.

7 Τοῦτο μόλις εἶπεν ἐν στίχ. 1157, ὁ δὲ Εὐστάθιος παρατηρεῖ εἰς Ἰλιάδ. Θ, 102, "πάλαι οὐκ ἀεὶ μακρὸν χρόνον σημαῖνον, ἀλλ' ἔστιν οὗ καὶ πρόσφατον Ἀττικῶς,.. παρὰ Σοφοκλεῖ ἀλλαχοῦ τε καὶ ἐν τῷ θανόντ' Ὀρέστην νῦν τε καὶ πάλαι λέγω (Ἠλέκτρ. 676)„. Παρατηροῦμεν ὅμως, ὅτι ἐνταῦθα ὁ θεράπων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΙΔΙΠΟΥΣ

πόθεν λαβών; οἰκεῖον ἢ 'ξ ἄλλου τινός[1];

ΘΕΡΑΠΩΝ

ἐμὸν μὲν οὐκ ἔγωγ'[2], ἐδεξάμην δέ του.

ΟΙΔΙΠΟΥΣ

τίνος[3] πολιτῶν τῶνδε κἀκ ποίας στέγης;

ΘΕΡΑΠΩΝ

μή, πρὸς θεῶν, μή, δέσποθ', ἱστόρει πλέον.

ΟΙΔΙΠΟΥΣ

ὄλωλας[4], εἴ σε ταῦτ' ἐρήσομαι πάλιν.

ΘΕΡΑΠΩΝ

τῶν Λαΐου τοίνυν[5] τις ἦν γεννημάτων.

ΟΙΔΙΠΟΥΣ

ἢ δοῦλος[6] ἢ κείνου τις ἐγγενὴς γεγώς;

εἶχε συμφέρον νὰ εἰκονίσῃ τὸ πρᾶγμα ὡς πρὸ πολλοῦ γενόμενον. Τὸ πάλαι προσδιορίζει τὸ εἶπον.

1 Ἐννοεῖται ἡ μετοχὴ ὄντα.

2 Κατὰ τὸν Σχολιαστήν· "ἐμὸν μὲν οὐδαμῶς ὄντα ἔδωκα„. Ἐν τῇ ἑπομένῃ προτάσει λείπει ἡ παρά, παρά του, ὡς ἐν στίχ. 580 "ἐμοῦ κομίζεται„.

3 Καὶ ἐνταῦθα ἐννοεῖται ἡ παρά.

4 Μετεχειρίσθη παρακείμενον ἀντὶ μέλλοντος, ὅπως ποιήσῃ τὴν ἔννοιαν ἰσχυροτέραν, ὡς ἐν Φιλοκτήτ. 75 "ὥστ' εἴ με τόξων ἐγκρατής, αἰσθήσεται, ὄλωλα„. Ὀρθῶς δ' ὁ Σχολιαστὴς λέγει· "Φυσικὸς δὲ ὁ λόγος οὗτος, τὸ τὰ ἀπαραιτήτως γενησόμενα, καὶ ὁμολογουμένην ἔχοντα τὴν ἀπόβασιν, λέγειν ὡς ἤδη γεγονότα„.

5 Λοιπὸν ἐπειδὴ δὲν δύναμαι νὰ βραδύνω. Τὴν ἀόριστον ἀντωνυμίαν μετεχειρίσθη κατ' ἀρσενικὸν γένος καὶ οὐχὶ κατ' οὐδέτερον πρὸς τὸ σημαινόμενον, ὡς Εὐριπίδ. ἐν Ἱκέτισ. 12 "θανόντων ἑπτὰ γενναίων τέκνων, οὓς ποτ' Ἀργείων ἄναξ Ἄδραστος ἦγαγε„ καὶ ἐν Ἀνδρομάχ. 570 "τέκνον τε τοῦδ', ὃν οὐδὲν αἴτιον μέλλουσι κτανεῖν„. Ἡ λέξις γεννημάτων φαίνεται ὕποπτος τοῖς κριτικοῖς· διότι ἂν ὁ θεράπων ἔλεγε ταύτην, ἡ ἑπομένη ἐρώτησις ἦτο περιττή. Ἴσως οὐχὶ ἀφυῶς ὁ Schmidt εἰκάζει ἐκ δωμάτων.

6 Ἐπειδὴ ἡ λέξις γέννημα ἔχει γενικωτέραν σημασίαν, ὁ Οἰδίπους ποιεῖ τὴν τελευταίαν εἰκασίαν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΘΕΡΑΠΩΝ

οἴμοι, πρὸς αὐτῷ γ' εἰμὶ τῷ δεινῷ λέγειν.

ΟΙΔΙΠΟΥΣ

κἄγωγ' ἀκούειν· ἀλλ' ὅμως ἀκουστέον. 1170

ΘΕΡΑΠΩΝ

κείνου γέ τοι δὴ παῖς ἐκλήζεθ'· ἡ δ' ἔσω
κάλλιστ' ἂν εἴποι, σὴ γυνή,[1] τάδ' ὡς ἔχει.

ΟΙΔΙΠΟΥΣ

ἦ γὰρ δίδωσιν ἥδε[2] σοι;

ΘΕΡΑΠΩΝ

μάλιστ', ἄναξ.

ΟΙΔΙΠΟΥΣ

ὡς πρὸς τί χρείας[3];

ΘΕΡΑΠΩΝ

ὡς ἀναλώσαιμί[4] νιν.

ΟΙΔΙΠΟΥΣ

τεκοῦσα τλήμων[5];

ΘΕΡΑΠΩΝ

θεσφάτων γ' ὄκνῳ κακῶν. 1175

Ἡ μετοχὴ γεγὼς ἀνήκει καὶ εἰς τὸ δοῦλος.

1 Καθ' ὁμηρικὸν τρόπον εἶναι παράθεσις εἰς τὸ ἡ ἔσω.

2 Λέγει ἥδε οὐχὶ διότι ἡ Ἰοκάστη εἶναι παροῦσα, ἀλλὰ διότι εἶπε περὶ αὐτῆς ὁ θεράπων.

3 Ἰσοδυναμεῖ πρὸς τὴν φράσιν, πρὸς τίνα χρείαν; πρὸς ποῖον σκοπὸν ἔδωκέ σοι τὸ βρέφος;

4 Ὁ Σχολιαστὴς ἑρμηνεύει· ἀπολέσαιμι.

5 Κατὰ τὸν Wolff ἰσοδυναμεῖ πρὸς τὸ τοιαῦτα τολμῶσα, ὡς καὶ ἐν Ἠλέκτρ. 275 "ἦδ' ὧδε τλήμων, ὥστε τῷ μιάστορι ξύνεστ'„ καὶ 439 "εἰ μὴ τλημονεστάτη γυνὴ πασῶν ἔβλαστε, τάσδε δυσμενεῖς χοὰς οὐκ ἂν ποθ' ὃν γ' ἔκτεινε τῷδ' ἐπέστεφε„. Δύναται ὅμως νὰ ἐξηγηθῇ ἡ ταλαίπωρος, ἡ ἀθλία.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΙΔΙΠΟΥΣ

ποίων;

ΘΕΡΑΠΩΝ

κτενεῖν νιν τους τεκόντας[1] *ἦν λόγος.*

ΟΙΔΙΠΟΥΣ

πῶς δῆτ' ἀφῆκας τῷ γέροντι[2] *τῷδε σύ;*

ΘΕΡΑΠΩΝ

κατοικτίσας, ὦ δέσποθ', ὡς[3] *ἄλλην χθόνα*
δοκῶν ἀποίσειν, αὐτὸς ἔνθεν ἦν· ὁ δὲ
κάκ' εἰς μέγιστ' ἔσωσεν. εἰ γὰρ οὗτος[4] *εἶ,*
ὃν φησὶν οὗτος, ἴσθι δύσποτμος γεγώς[5].

ΟΙΔΙΠΟΥΣ

ἰοὺ ἰού, τὰ πάντ' ἂν ἐξήκοι[6] *σαφῆ.*
ὦ φῶς, τελευταῖόν σε προσβλέψαιμι[7] *νῦν,*
ὅστις πέφασμαι φύς τ' ἀφ' ὧν οὐ χρῆν, ξὺν οἷς[8] *τ'*

1 *Τὸ βρέφος κατὰ τὸν χρησμὸν ἔμελλε νὰ φονεύσῃ μόνον τὸν πατέρα, οὐχὶ δὲ καὶ τὴν μητέρα, ἀλλὰ τὸ τοιοῦτον ὀνομάζεται σύλληψις, ὡς παρατηρεῖ ὁ Σχολιαστής· "Σύλληψις ὁ τρόπος· οὐ γὰρ καὶ τὴν μητέρα ἐφόνευσεν".*

2 *Ὀνομάζει τὸν Κορίνθιον ποιμένα γέροντα ἀποβλέπων εἰς τὴν παροῦσαν αὐτοῦ ἡλικίαν.*

3 *Τὸ ὡς πρέπει νὰ συντάξωμεν οὐχὶ μετὰ τῆς ἑπομένης αἰτιατικῆς, ἀλλὰ μετὰ τῆς μετοχῆς δοκῶν, ὡς καὶ παρ' Εὐριπίδ. ἐν Ἡρακλ. μαινομ. 984 "ἄλλῳ δ' ἐπεῖχε τόξ', ὃς ἀμφιβώμιον ἔπτηξε κρηπῖδ', ὡς λεληθέναι δοκῶν".*

4 *Τὰ δύο οὗτος παρέχουσι πράγματα τοῖς κριτικοῖς, ἐξ ὧν ὁ μὲν* Heimsoeth *εἰκάζει εἰ γὰρ αὐτὸς εἶ, ὁ δὲ* Weidner *εἰ γὰρ ὢν κυρεῖς.*

5 *Μετὰ πολλὰς εἰκασίας καὶ ὑπεκφυγάς, ἃς ἐξεῦρε ἡ τοῦ ποιητοῦ μεγαλοφυΐα, ἐνταῦθα ἡ ἀναγνώρισις γίνεται πλήρης.*

6 *Ἀντὶ τοῦ ἂν ἐξήκοι ὁ* Nauck *ἔγραψε ἄρ' ἐξήκει, ὅπερ δὲν εἶναι ἀτυχές.*

7 *Ὁ Οἰδίπους εὔχεται νὰ ἀποθάνῃ, ἀλλ' ἡ εὐχὴ ἐκτελεῖται μόνον κατὰ γράμμα. Ὁ δὲ Σχολιαστὴς παρατηρεῖ· "Εὖ πεπλαγίασται ὁ λόγος, ὡς τὴν πήρωσιν αἰνιττομένου. Ἀλλ' ἐπὶ τὸν θάνατον αὐτῷ ὁ λόγος· ἀπορήσας γὰρ ξίφους ἑαυτὸν ἐτύφλωσεν".*

8 *Μεταχειρίζεται πληθυντικοὺς ἀριθμοὺς ἀντὶ ἑνικῶν, ὡς ἐν στίχ.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐ χρῆν ὁμιλῶν[1], οὕς τέ μ' οὐκ ἔδει κτανών. 1185

ΧΟΡΟΣ

Στροφὴ α'.

ἰὼ γενεαὶ βροτῶν[2],
ὡς ὑμᾶς ἴσα καὶ[3] τὸ μηδὲν ζώσας ἐναριθμῶ.
τίς γάρ, τίς ἀνὴρ πλέον
τᾶς εὐδαιμονίας φέρει 1190
ἢ τοσοῦτον, ὅσον δοκεῖν[4]
καὶ δόξαντ'[5] ἀποκλῖναι;
τὸ σόν τοι παράδειγμ' ἔχων,
τὸν σὸν δαίμονα[6], τὸν σόν, ὦ τλᾶμον Οἰδιπόδα, βροτῶν

203. *Κατὰ τὸν Σχολιαστήν·* "Ὅστις δέδειγμαι γεννηθεὶς ἀφ' ὧν οὐ πρέπον ἦν, γεννηθῆναί με δηλονότι, καὶ ὁμιλῶν καὶ συνευναζόμενος σὺν οἷς οὐ πρέπον ἦς ὁμιλεῖν με, ἤγουν τῇ μητρί, καὶ κτανὼν ὃν οὐκ ἔδει κτανεῖν με„.

1 *Τῷ αὐτῷ ῥήματι τοῦ Τειρεσίου ἐχρήσατο, ὅπως ὑποδηλώσῃ τὴν πλήρωσιν τοῦ λόγου αὐτοῦ.* Ὁ μὲν Οἰδίπους εἰσέρχεται εἰς τὰ ἀνάκτορα διὰ τῆς μέσης θύρας, ὁ δὲ ἄγγελος ἐξέρχεται πρὸς τὰ ἀριστερά, ἵνα ἐπανέλθῃ εἰς τὴν Κόρινθον, καὶ ὁ Θηβαῖος πρὸς τὰ δεξιά, ὅπως πορευθῇ εἰς τοὺς ἀγρούς.

2 *Τῆς σκηνῆς κενῆς οὔσης ὁ χορὸς οἰκτείρει τὸ εὐμετάβλητον τῆς ἀνθρωπίνης τύχης.*

3 *Συχνάκις μετὰ τὰ ἔχοντα ὁπωσδήποτε τὴν σημασίαν τῆς ὁμοιότητος ἕπεται ὁ καὶ ἀντὶ δοτικῆς, ὡς Πλάτ. ἐν Ἴων.* 531 D "οὐχ ὁμοίως πεποιήκασι καὶ Ὅμηρος„, Ἡρόδοτ. I, 35 "Ἔστι δὲ παραπλησίη ἡ κάθαρσις τοῖσι Λυδοῖσι καὶ τοῖσι Ἕλλησι„; Ἡ αἰτιατικὴ ἴσα ἐξαρτᾶται ἐκ τοῦ ζώσας. Ἡ ματαιότης τῶν ἀνθρωπίνων συχνάκις ὑπὸ τῶν ποιητῶν ἐξαίρεται, ὡς παρὰ Πινδάρ. ἐν *Πυθ.* VIII, 95 "τί δέ τις; τί δ' οὔτις; σκιᾶς ὄναρ ἄνθρωποι„ καὶ Σοφοκλ. ἐν *Αἴαντ.* 125 "ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν εἴδωλ', ὅσοι περ ζῶμεν, ἢ κούφην σκιάν„.

4 *Ἐννοεῖται τὸ ἀπαρέμφατον εὐδαιμονεῖν ἢ φέρειν εὐδαιμονίαν.*

5 *Μετεχειρίσθη τὸ αὐτὸ ῥῆμα, ὅπως δηλώσῃ τὴν ταχεῖαν μετάπτωσιν τῆς τύχης, δηλ. μόλις ἐφάνη, ὅτι εὐδαιμονεῖ καὶ παρευθὺς κατέπεσεν. Ἀντὶ τῆς αἰτιατικῆς περιέμενέ τις ὀνομαστικήν, διότι εἶναι ταὐτοπροσωπία. Τὸ δὲ ἀποκλῖναι σημαίνει ἐκπεσεῖν, ἀποτραπῆναι. Ἀντὶ τοῦ ἀποκλῖναι ὁ* Gleditsch *ἔγραψεν ἀποδοῦναι.*

6 *Τὴν σὴν ἀτυχίαν. Πλὴν τῆς κλητικῆς Οἰδίπους μεταχειρίζον-*

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

οὐδένα[1] μακαρίζω·

Ἀντιστροφὴ α΄.

ὅστις[2] καθ' ὑπερβολὰν
τοξεύσας ἐκράτησας τοῦ παντ'[3] εὐδαίμονος ὄλβου,
ὦ Ζεῦ[4], κατὰ μὲν φθίσας
τὰν γαμψώνυχα[5] παρθένον
χρησμῳδόν[6], θανάτων δ' ἐμᾷ

ται οἱ τραγικοὶ καὶ τὴν Οἰδιπόδα ἐν τοῖς μελικοῖς μέρεσιν.

1 Τὸ ἀρσενικὸν γένος ὁ Hermann ἔτρεψεν εἰς οὐδέτερον, ὅπερ ὄντως εἶναι ἐντονώτερον. Ἡ ἐξήγησις τῆς ὅλης στροφῆς· Φεῦ γενεαὶ τῶν θνητῶν, πόσον σᾶς θεωρῶ, ὅτι ζῆτε ἐξ ἴσου μὲ τὸ τίποτε· διότι ποῖος, ποῖος ἄνθρωπος εὐδαιμονεῖ περισσότερον παρὰ τόσον μόνον, ὥστε νὰ φαίνηται, ὅτι εὐδαιμονεῖ καί, ἀφ' οὗ φανῇ, νὰ δυστυχήσῃ; Τὸν βίον σου βέβαια μεταχειριζόμενος ὡς παράδειγμα, τὴν σὴν δυστυχίαν, τὴν σήν, ὦ ταλαίπωρε Οἰδίπους, κανένα ἐκ τῶν θνητῶν δὲν καλοτυχίζω.

2 Ἐν τῇ πρώτῃ ἀντιστροφῇ ὁ χορὸς ἀναπτύσσει τὴν μεγάλην εὐδαιμονίαν τοῦ Οἰδίποδος, ἥτις ἀνετράπη διὰ τῆς ἀναγνωρίσεως. Ὁ Οἰδίπους παραβάλλεται πρὸς τοξότην, ὅστις ἐπιτυγχάνει τοῦ σκοποῦ, ὡς Εὐριπίδ. ἐν Τρῳάδ 643 "ἐγὼ τοξεύσασα τῆς εὐδοξίας, τῆς τύχης ἡμάρτανον„ καὶ Αἰσχύλ. ἐν Ἀγαμέμν. 628 "κῦρσαι ὥστε τοξότην ἄκρον σκοποῦ„. Ὁ Σχολιαστὴς ἑρμηνεύει· "ὑπερβολικῶς εὐτυχήσας„. Ἀντὶ τοῦ ἐκράτησας ὁ Heimsoeth γράφει ἐκύρησε, ἀλλ' ἡ διόρθωσις δὲν εἶναι ἀναγκαία.

3 Τοῦ κατὰ πάντα εὐδαίμονος, ὡς ἐν στίχ. 1429 "πάντ' ἐφεύρημαι κακός„. Ὅρα, ὅτι ἐξαίρεται ἡ εὐτυχία τοῦ Οἰδίποδος, ὅπως αὕτη ποιήσῃ ἀντίθεσιν πρὸς τὴν μεγίστην αὐτοῦ δυστυχίαν.

4 Ἄξιον σημειώσεως, ὅτι ἡ κλητικὴ δὲν ἀναφέρεται εἰς τὸ δεύτερον πρόσωπον τοῦ ῥήματος ἐκράτησας, ἀλλὰ παρενεβλήθη, ὡς καὶ ἐν Φιλοκτήτ. 1233 "ὦ Ζεῦ, τί λέξεις; οὔτι που δοῦναι νοεῖς (δηλ. ὁ Νεοπτόλεμος);„ Ἡ δὲ τμῆσις εἶναι συνήθης, ὡς ἐν Ἀντιγόν. 979 "κατὰ δὲ τακόμενοι μέλεοι μελέαν πάθαν„.

5 Γαμψῶνυξ λέγεται ὁ ἔχων γαμψούς, ἤτοι καμπύλους ὄνυχας· εἶναι δ' ἐπίθετον τῶν σαρκοφάγων. Ὁ δὲ Τρικλίνιος λέγει "Ἤτοι τὴν Σφίγγα. Ἰστέον δέ, ὅτι ἡ Σφὶγξ εἶχε πρόσωπον καὶ κεφαλὴν κόρης, σῶμα κυνός, πτερὰ ὄρνιθος, φωνὴν ἀνθρώπου, ὄνυχας λέοντος„.

6 Ἡ Σφὶγξ ὀνομάζεται χρησμῳδός, διότι τὸ αἴνιγμα αὐτῆς ἦτο ἀσαφές, καὶ ἐν ἑξαμέτρῳ, ὡς οἱ χρησμοί, καὶ διότι ἡ λύσις μαντείας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χώρα πύργος[1] *ἀνέστας.* *1200*
ἐξ οὗ καὶ βασιλεὺς καλεῖ
ἐμός, καὶ τὰ μέγιστ'[2] *ἐτιμάθης, ταῖς μεγάλαισιν ἐν*
Θήβαισιν ἀνάσσων.

Στροφὴ β'.

τὰ νῦν δ' ἀκούειν[3] *τίς ἀθλιώτερος;*
τίς ἄταις[4] *ἀγρίαις, τίς ἐν πόνοις* *1205*
ξύνοικος[5] *ἀλλαγᾷ βίου;*
ἰὼ κλεινὸν Οἰδίπου κάρα[6],

ἔδει· ὅρα στίχ. 394. Ἀλλ' ὁ Herwerden ἔτρεψεν εἰς ῥαψῳδόν.

1 Πολλαὶ λέξεις ἔχουσαι ὁπωσδήποτε τὴν σημασίαν τῆς ἀμύνης συντάσσονται πρὸς ἁπλῆν γενικὴν ἀπαβάλλουσαι τὴν κατὰ πρόθεσιν, ὡς καλύπτρη νιφετοῦ, Καλλίμαχ. ἐν ἀποσπάσμ. 142 πρόβλημα κακῶν. Ἀριστοφ. ἐν Σφηξ. 613. Ἀντὶ τοῦ ἀνέστας περιεμένομεν ἀναστάς, ὡς κεῖται καὶ τὸ κατὰ μὲν φθίσας, ἀλλ' ἔτρεψε τὴν μετοχὴν εἰς ῥῆμα, ὡς καὶ ἐν στίχ. 452.

2 Δηλαδὴ τὰς μεγίστας τιμὰς ἐτιμήθης, ὡς Ξενοφ. ἐν Κύρ. Ἀναβάσ. VII, 3, 19 "ἄξιον οὖν σοι μεγαλοπρεπέστατα τιμῆσαι Σεύθην„. Ἐξήγησις· "Οστις ὑπερβολικὰ εὐτυχήσας ἔγεινες ἐγκρατὴς κατὰ πάντα εὐτυχοῦς μακαριότητος, ὦ Ζεῦ, καταστρέψας τὴν γαμψοὺς ὄνυχας ἔχουσαν παρθένον τὴν αἰνιγματώδον καὶ κατὰ τῶν θανάτων χάριν τῆς πατρίδος μου ὡς φρούριον ἐγερθεῖς. Διὰ τοῦτο καὶ βασιλεὺς ὀνομάζεσαι ἐμὸς καὶ τὰς μεγίστας τιμὰς ἔλαβες, εἰς τὰς μεγάλας Θήβας βασιλεύων.

3 Τὸ ἀπαρέμφατον ἐξαρτᾶται ἐκ τοῦ ἀθλιώτερος καὶ ἀναφέρεται εἰς τὰς πρὸ ὀλίγου γοερὰς φωνὰς τοῦ Οἰδίποδος, ἐν στίχ. 1182-85. Ὁ Tournier εἰκάζει ἀκούει. Ἡ εἰκασία δὲν στερεῖται εὐφυΐας, ἀλλὰ δὲν παρέχει κρείττονα ἔννοιαν τῆς γραφῆς τῶν χειρογράφων.

4 Ἡ πρόθεσις ἐκ τῶν ἑπομένων πρέπει νὰ νοηθῇ καὶ ἐν ταύτῃ τῇ δοτικῇ, ὡς καὶ ἐν στίχ. 734. Τὸ ἀγρίαις ὁ Σχολιαστὴς ἑρμηνεύει "ἀκατασχέτοις, ἀκαταπονήτοις„. Ἐπειδὴ ὑπάρχει ἡ πρόθεσις σὺν ἐν τῷ ξύνοικος, ἦτο περιττὴ ἡ ἐν, ἀλλ' ὑπάρχουσι παραπλήσια παραδείγματα, ὡς ἐν τοῖς ἔμπροσθεν 1126 "πρὸς τίσιν ξύναυλος ὤν;„ καὶ ἐν ἀποσπάσμ. 865 "τῶν σοφῶν, ἐν οἷς ὁ νοῦς ξύνεστιν„.

5 Ἐκ τοῦ συγκριτικοῦ ἀθλιώτερος πρέπει νὰ ἐννοήσωμεν τὸ μᾶλλον. Ἡ ἑπομένη δοτικὴ εἶναι ὀργανική.

6 Ἀντὶ νὰ εἴπῃ, κλεινοῦ Οἰδίποδος κάρα, ὡς ἐν Ἀντιγόν. 1 "Ω

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ᾧ μέγας λιμὴν [1]
αὐτὸς ἤρκεσεν
παιδὶ [2] καὶ πατρὶ
θαλαμηπόλῳ [3] πεσεῖν,
πῶς ποτε, πῶς ποθ' αἱ πατρῷαί σ' ἄλοκες [4]
φέρειν, τάλας,
σῖγ' ἐδυνάσθησαν [5] ἐς τοσόνδε;

κοινὸν αὐτάδελφον Ἰσμήνης κάρα„ καὶ παρ' Εὐριπίδ. ἐν Ὀρέστ. 470 "ὦ χαῖρε πρέσβυ, Ζηνὸς ὁμόλεκτρον κάρα„. Εἶναι ἐναλλαγὴ ἐπιθέτου.

1 Ἡ γυνὴ παραβάλλεται πρὸς λιμένα, ὡς ἐν στίχ. 423 "ὃν δόμοις ἄνορμον εἰσέπλευσας εὐπλοίας τυχών;„ Ὀνομάζει δὲ τὸν λιμένα „μέγαν, ὅπως ὑποδηλώσῃ, ὅτι οὗτος δὲν ἠδύνατο νὰ ἔχῃ θέσιν καὶ τῷ υἱῷ. Ἀλλ' ὁ Heimsoeth προσκρούσας ἔτρεψεν εἰς πῶς γάμου λιμήν, ὅπερ ἐδέξατο καὶ ὁ Nauck. Ἡ διόρθωσις ποιεῖ τὸν λόγον σαφέστερον.

2 Ἐπειδὴ προηγεῖται ἡ δοτικὴ ᾧ, ἴσως ἤθελέ τις εἰκάσει, ὅτι περιττεύει τὸ παιδί· ἔθηκεν ὅμως ταύτην τὴν δοτικήν, ὅπως ποιήσῃ ἐναργεστέραν τὴν σχέσιν. Ὁ Blaydes ἔγραψε παιδὶ καὶ πόσει, ἀλλ' ἡ διόρθωσις δὲν εἶναι πιθανή· διότι ἡ τῶν χειρογράφων γραφὴ δεικνύει ἐντονώτερον τὸ ἔγκλημα.

3 Ἡ δοτικὴ αὕτη ληπτέα κατηγορηματικῶς, δηλ. νὰ πέσῃ ὡς σύζυγος. Ἐπὶ τοιαύτης σχέσεως μεταχειρίζονται οἱ ἀρχαῖοι τὸ πίπτειν, ὡς Εὐριπίδ. ἐν Ἑλέν. 1093 "ὦ πότνι', ἢ Δίοισιν ἐν λέκτροις πίτνεις„ καὶ οἱ νεώτεροι ὡσαύτως.

4 Ὡς τὸ σπείρειν καὶ ἀροῦν λέγεται ἐπὶ συνουσίας, οὕτω καὶ τὸ ἄλοκες σημαίνει τὴν κοίτην, ὡς Αἰσχ. ἐν Ἑπτὰ 753 "Οἰδιπόδαν, ὅστις μὴ πρὸς ἀγνὰν σπείρας ἄρουραν, ἵν' ἐτράφη, ῥίζαν αἱματόεσσαν ἔτλα„.

5 Οἱ μὲν ἀττικοὶ ἔχουσι τὸν τύπον ἐδυνήθην, ὁ δ' "Ομηρος καὶ ὁ Ἡρόδοτος μεταχειρίζονται τὸν ἐδυνάσθην, ὃν ἔχει ἐνταῦθα ὁ ποιητὴς καὶ ὁ Εὐριπίδ. ἐν Ἴων. 867. Σημειωτέον δ', ὅτι καὶ ὁ Ξενοφῶν μεταχειρίζεται τοῦτον συχνάκις. Εἰς τὴν ἑπομένην φράσιν ἐννοεῖται ἡ γενικὴ χρόνου. Ὁ Σχολιαστὴς παρατηρεῖ "Πῶς (φησὶ) φωνὴν οὐκ ἔρρηξαν„. Ἐξήγησις· Τώρα ποῖος εἶναι ἀθλιώτερος κατὰ τὸ ἀκούειν σε; Τίς καταχθεται ὑπὸ περισσοτέρων συμφορῶν καὶ πόνων διὰ τῆς ἀλλαγῆς τοῦ βίου; Φεῦ, ἔνδοξε Οἰδίπους, εἰς τὸν ὁποῖον ὁ αὐτὸς μέγας λιμὴν ἤρκεσεν εἰς τὸν παῖδα καὶ εἰς τὸν πατέρα, ὥστε νὰ συνευρεθῇ ὡς σύζυγος, πῶς τέλος πάντων, αἱ πατρικαὶ κοῖται ἠδυνήθησαν σιωπηλῶς, ταλαίπωρε, νὰ ὑπομένωσι τοσοῦτον χρόνον;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀντιστροφὴ β'.

ἐφεῦρέ σ' ἄκονθ' ὁ πανθ' ὁρῶν χρόνος [1],
δικάζει [2] τὸν ἄγαμον γάμον πάλαι
τεκνοῦντα καὶ τεκνούμενον [3]. 1215
ἰὼ Λαΐήιον [4] τέκνον,
εἴθε σ', εἴθε σε
μήποτ' εἰδόμαν·
δύρομαι γὰρ ὡς
περίαλλ' [5] ἰαχέων
ἐκ στομάτων. τὸ δ' ὀρθὸν εἰπεῖν [6], ἀνέπνευσά
τ' ἐκ σέθεν 1220

1 *Λέγει, ὅτι ὁ χρόνος τὰ πάντα ὁρᾷ, διότι ἀνακαλύπτει πάντα, Σοφοκλ. ἐν Αἴαντ.* 646 "Ἅπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος φύει τ' ἄδηλα καὶ φανέντα κρύπτεται„ καὶ ἐν *ἀποσπάσμ.* 280 "ὁ πάνθ' ὁρῶν καὶ πάντ' ἀκούων πάντ' ἀναπτύσσει χρόνος„.

2 *Δικάζει σημαίνει καταδικάζει. Ἄγαμος δ' εἶναι ὁ κακόγαμος, ὡς παρατηρεῖ ὁ Τρικλίνιος· "Τὸ ἄγαμον διὰ τὸν Οἰδίποδα νοητέον, οὕτω δικάζει ὁ χρόνος τὸν κακόγαμον γάμον τοῦ Οἰδίποδος πρὸς Ἰοκάστην, τεκνοποιοῦντα ἐξ αὐτῆς καὶ γεννώμενον αὐτὸν ἐξ αὐτῆς„.*

3 *Ἔπρεπε νὰ εἴπῃ τεκνοῦντος καὶ τεκνουμένου, ἀλλ' ὁ ποιητὴς ἀπέδωκε τῷ γάμῳ, ὅτι κυρίως ἀνήκει τῷ Οἰδίποδι. Παραπλήσιον εἶναι τὸ ἐν Οἰδίποδ. ἐπὶ Κολων.* 267 "τὰ ἔργα μου πεπονθότ' ἐστὶ μᾶλλον ἢ δεδρακότα„. *Ὁ* Gleditsch *ἔτρεψεν εἰς κτανόντα καὶ τεκνούμενον, ἀλλ' ἡ διόρθωσις εἶναι ἀτυχής· διότι ἐνταῦθα μόνον περὶ τοῦ βδελυροῦ γάμου λέγει καὶ οὐχὶ περὶ φόνου.*

4 *Ἀντὶ τοῦ Λαΐειον ὁ* Bothe *ἔγραψε Λαΐήιον, ὡς Φοιβήιον. Εὐριπίδ. ἐν Ἰφιγεν. ἐν Αὐλ.* 756 *καὶ βασιλήιον, Εὐριπίδ. ἐν Ἡλέκτρ.* 186, *ὅπερ δέχονται οἱ πλεῖστοι τῶν ἐκδοτῶν. Τὰ δὲ πολλὰ φωνήεντα εἰκονίζουσι τὴν οἰμωγήν.*

5 *Ὁ Σχολιαστὴς ἑρμηνεύει ὑπερβολικῶς. Τὸ ἰαχέων ὁ μὲν* Erfundt *διορθοῖ εἰς ἰακχίων, ὁ δὲ* Burgess *εἰς ἰὰν χέων, ὅπερ δέχεται καὶ ὁ* Wolff, *διότι εὕρηνται παράλληλα, Αἰσχύλ. ἐν Πέρσ.* 917 "κακοφάτιδα βοάν, κακομέλετον ἰὰν πέμψω„ *Ὀδυσσ. Τ,* 521 "ἀηδών, ἥ τε θάμα τρωπῶσα χέει πολυηχέα φωνήν„.

6 *Ὁ χορὸς οἰκτείρει μὲν τὴν δυστυχίαν τοῦ Οἰδίποδος, ὅμως μετ' εὐγνωμοσύνης ὁμολογεῖ, ὅτι παρὰ τούτου ἐσώθη. Τὴν ἑπομένην φράσιν*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ κατεκοίμασα τοὖμὸν ὄμμα[1].

ΕΞΑΓΓΕΛΟΣ[2]

ὦ γῆς μέγιστα τῆσδ' ἀεὶ τιμώμενοι,
οἷ' ἔργ' ἀκούσεσθ', οἷα δ' εἰσόψεσθ', ὅσον δ'
ἀρεῖσθε πένθος, εἴπερ ἐγγενῶς[3] ἔτι
τῶν Λαβδακείων ἐντρέπεσθε[4] δωμάτων.
οἶμαι γὰρ οὔτ' ἂν Ἴστρον οὔτε Φᾶσιν[5] ἂν
νίψαι καθαρμῷ τήνδε τὴν στέγην, ὅσα
κεύθει, τὰ δ'[6] αὐτίκ' εἰς τὸ φῶς φανεῖ, κακὰ

ὁ Σχολιαστὴς ἑρμηνεύει· "Ἀναψυχὴν ἔσχον ἐκ σοῦ„.

1 Ἐξήγησις· Εὗρέ σε χωρὶς νὰ θέλῃς ὁ τὰ πάντα βλέπων χρόνος, καταδικάζει τὸν ἄγαμον γάμον, δι' οὗ πρὸ πολλοῦ ἐγέννησας καὶ ἐγεννήθης. Φεῦ τέκνον τοῦ Λαΐου, εἴθε, εἴθε νὰ μὴ σ' ἔβλεπόν ποτε· διότι θρηνῶ ὑπερβολικὰ ἐκπέμπων φωνὴν ἐκ τῶν στομάτων. Διὰ νὰ εἰπω ὅμως τὴν ἀλήθειαν, ἀπὸ σὲ ἔλαβον ἀναπνοὴν καὶ κλείσας τοὺς ὀφθαλμοὺς ἐκοιμήθην.

2 Ἐπειδὴ ἡ ἀγγελία γίνεται ἐκ τῶν ἔνδον τῶν ἀνακτόρων εἰς τὰ ἔξω, ὁ ἀγγέλλων ὀνομάζεται ἐξάγγελος· εἶναι δ' ὁ αὐτὸς ὑποκριτής, ὅστις εἶχε τὸ πρόσωπον τοῦ ποιμένος. Ὁ Σχολιαστὴς παρατηρεῖ· "Ἐξάγγελος ἔρχεται ἀπαγγέλλων, ὅτι ἀγχόνῃ ἐτελεύτησεν ἡ Ἰοκάστη καὶ ὁ Οἰδίπους ἑαυτὸν ἐτύφλωσεν„.

3 Ὁ μὲν Σχολιαστὴς ἑρμηνεύει γνησίως, ὁ δὲ Wolff, πιθανώτερον, κατὰ τὸν τρόπον συγγενοῦς (ὅρα στίχ. 452). Τὸ ἔτι ὑποδεικνύει, ὅτι πιθανῶς τὰ ἀποκαλυφθέντα ἐμείωσαν τὴν ἀγάπην τῶν ἀρχόντων πρὸς τὸν οἶκον τοῦ Λαβδάκου. Σημειωτέον, ὅτι ὁ μὲν Hartung τρέπει εἰς εὐγενῶς, ὁ δ' Hirzel εἰς ἐμπέδως.

4 Ἐπειδὴ τὸ ἐντρέπεσθαι σημαίνει φροντίζειν, συνετάχθη πρὸς γενικήν, ὡς ἐν στίχ. 724.

5 Ὡς τὸ ὕδωρ καθαρίζει τὸν ῥύπον τοῦ σώματος, οὕτως οἱ ἀρχαῖοι ἔλεγον, ὅτι ἀπαιτεῖται πολὺ ὕδωρ πρὸς καθαρμὸν ἠθικῆς ἀκαθαρσίας. Ὀνομάζει δὲ τὸν Ἴστρον καὶ τὸν Φᾶσιν ὡς τοὺς μεγίστους ποταμοὺς τῆς Ἀσίας καὶ Εὐρώπης, ὡς παρ' Αἰσχύλ. ἐν Χοηφόρ. 63 "πόροι πάντες ἐκ μιᾶς ὁδοῦ βαίνοντες τὸν χερομυσῆ φόνον καθαίροντες λούσειαν μάτην„. Πιστεύω δέ, ὅτι πολλαὶ χῶραι τῆς Ἑλλάδος ἔτι καὶ νῦν ἔχουσι τοιαύτας φράσεις· τοὐλάχιστον ἡμεῖς οἱ ἐν Τριπόλει γεννηθέντες λέγομεν· νὰ κάμω τὸν δεῖνα, ποῦ νὰ μὴ τὸν ξεπλύνῃ τῆς Νταβιᾶς τὸ ποτάμι.

6 Τὴν ἀναφορικὴν πρότασιν προάγει δεικτικῶς· ἔπρεπεν ὅμως νὰ προηγῆται ὁ μέν, ἀλλ' οὕτως παρελείφθη, ὡς ἐν Ἀντιγόν. 201 "ἠθέλησε δ' αἵματος πάσασθαι, τοὺς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑκόντα κοὐκ ἄκοντα[1]*. τῶν δὲ πημονῶν* 1230
μάλιστα λυποῦσ' αἳ[2] *φανῶσ' αὐθαίρετοι.*

ΧΟΡΟΣ

λείπει[3] *μὲν οὐδ' ἃ πρόσθεν ἤδειμεν, τὸ μὴ οὐ*
βαρύστον' εἶναι· πρὸς δ' ἐκείνοισιν τί φῄς;

ΕΞΑΓΓΕΛΟΣ

ὁ μὲν τάχιστος τῶν λόγων εἰπεῖν τε καὶ
μαθεῖν[4]*, τέθνηκε θεῖον Ἰοκάστης κάρα.* 1235

ΧΟΡΟΣ

ὦ δυστάλαινα· πρὸς τίνος ποτ' αἰτίας;

ΕΞΑΓΓΕΛΟΣ

αὐτὴ πρὸς αὑτῆς. τῶν δὲ πραχθέντων τὰ μὲν
ἄλγιστ' ἄπεστιν[5]*. ἡ γὰρ ὄψις οὐ πάρα.*

δὲ δουλώσας ἄγειν„· δηλ. ὅσα κρύπτει μέν, ἀλλὰ παρευθὺς εἰς τὸ φῶς θὰ φανερώσῃ.

1 *Κεῖνται παθητικῶς, ὡς καὶ τὸ ἑκούσια καὶ ἀκούσια, ἐν Φιλοκτήτ.* 1318 "ὅσοι δ' ἑκουσίοισιν ἔγκεινται βλάβαις„. *Ὁ Σχολιαστὴς παρατηρεῖ* "Ἑκουσίως γὰρ ἑαυτὸν καὶ ὁ Οἰδίπους ἐτύφλωσε καὶ ἡ Ἰοκάστη ἀπήγξατο. *Μάλιστα* (φησὶ) *τῶν κακῶν λυπεῖ τὰ μὴ ἐκ τύχης συμβάντα, ἀλλ' ὥσπερ ἐπίσπαστα καὶ αὐτάγρετα γινόμενα„.

2 *Ἡ ἀναφορικὴ ἀντωνυμία ἄνευ τοῦ ἂν φέρεται πρὸς ὑποτακτικήν, ὡς ἐν Αἴαντ.* 761 "ὅστις ἀνθρώπου φύσιν βλαστών ἔπειτα μὴ κατ' ἄνθρωπον φρονῇ„. *Τοιαῦτα χωρία ὑπάρχουσι πολλά.*

3 *Ὡς τὸ κωλύειν συντάσσεται πρὸς ἀπαρέμφατον, οὕτω καὶ τὸ λείπειν καὶ ἀπολείπειν. Ἰσοκρ.* VII, 17 "μικρὸν ἀπέλιπον τοῦ μὴ ταῖς ἐσχάταις συμφοραῖς περιπεσεῖν„· καὶ ὅσα πρότερον ἐγινώσκομεν δὲν λείπουσιν ἀπὸ τοῦ νὰ προξενῶσι βαρεῖς στεναγμούς.

4 *Ἐννοεῖται τὸ ἐστὶν ὅδε.*

5 *Κατὰ τὸν* Wolff *εἰς μὲν τὸ ἄπεστιν πρέπει νὰ ἐννοήσωμεν τὸ ὑμῶν, εἰς δὲ τὸ πάρα (= πάρεστι) τὸ ὑμῖν. Νομίζομεν ὅμως, ὅτι ἡ ἀντωνυμία ἐννοεῖται κατὰ πρῶτον πρόσωπον, διότι καὶ ὁ ἐξάγγελος δὲν εἶδε τὸν θάνατον τῆς Ἰοκάστης, ὡς αὐτὸς διαρρήδην ὁμολογεῖ ἐν στίχ.* 1251. *Τρόπον τινὰ ὁ ἐξάγγελος λέγει· ἡ ἰδία ἀπέθανεν, ἤτοι ηὐτοκτόνησεν. Ὅμως τὰ λυπηρότατα τῶν πραχθέντων δὲν γνωρίζω, διότι δὲν εἶδον αὐτά. Κατὰ τὸν Σχολιαστήν· "ἤγουν ἡ πρᾶξις τοῦ θανάτου ἄπεστιν, ἤγουν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅμως δ', ὅσον γε κἀν ἐμοὶ μνήμης ἔνι[1],
πεύσει τὰ κείνης ἀθλίας παθήματα.
ὅπως γὰρ ὀργῇ χρωμένη[2] παρῆλθ' ἔσω
θυρῶνος[3], ἵετ' εὐθὺ πρὸς τὰ νυμφικὰ
λέχη[4], κόμην σπῶσ' ἀμφιδεξίοις ἀκμαῖς.
πύλας δ' ὅπως εἰσῆλθ' ἐπιρράξασ'[5] ἔσω
κάλει[6] τὸν ἤδη Λάϊον πάλαι νεκρόν,
μνήμην παλαιῶν σπερμάτων[7] ἔχουσ', ὑφ' ὧν

οὐκ ἔχομεν διηγεῖσθαι αὐτήν. Ἡ γὰρ θέα οὐ παρῆν, ἤγουν οὐ γὰρ ἐθεασάμεθα„. Ὁ Nauck ὅμως ἀναφέρει τὸ πρᾶγμα εἰς τὸν Οἰδίποδα, ὅστις δὲν ἐγένετο αὐτόπτης.

1 Ἐπαναλήψεις τῶν προθέσεων ἀπαντῶσι καὶ παρ' Ὁμήρῳ καὶ παρὰ τοῖς λυρικοῖς καὶ δραματικοῖς ποιηταῖς.

2 Ἰσοδυναμεῖ πρὸς τὸ ὀργιζομένη.

3 Θυρὼν σημαίνει ὅτι καὶ πυλῶν καὶ προπυλών. Κατὰ τὸν Σχολιαστήν· "Θυρών, ὁ περιέχων τόπος τὰς θύρας„.

4 Ἡ Ἰοκάστη αὐτοκτονεῖ παρὰ τῇ κοίτῃ, διότι διὰ ταύτην ἀπώλετο. Ἐπειδὴ ἐνταῦθα ἀκμαὶ σημαίνουσι τὰ ἄκρα τῶν χειρῶν, ἡ φράσις ἀμφιδεξίοις ἀκμαῖς δηλοῖ ἀμφοῖν χεροῖν, ὡς Αἰσχύλ. ἐν ἀποσπάσμ. 236 "ἀμφιδεξίοις χερσίν„. Τοῦτο ὑποδηλοῖ τὴν στερεὰν ἀπόφασιν τῆς Ἰοκάστης.

5 Τὸ ἐπιρράττειν σημαίνει κλείειν, ὡς Πλάτ. ἐν Πρωταγόρ. 314, D. "Καὶ ἅμα ἀμφοῖν τοῖν χεροῖν τὴν θύραν πάνυ προθύμως ὡς οἷός τ' ἦν ἐπήραξε Καὶ ἡμεῖς πάλιν ἐκρούομεν καὶ ὃς ἐγκεκλημένης τῆς θύρας„ καὶ Ἰλιάδ. Ω, 454, "θύρην δ' ἔχε μοῦνος ἐπιβλὴς εἰλάτινος, τὸν τρεῖς μὲν ἐπιρρήσσεσκον Ἀχαιοί, τρεῖς δ' ἀναοίγεσκον„. Ἡ ἐν ἀρχῇ τοῦ στίχου αἰτιατικὴ ἀνήκει εἰς τὸ ἐπιρράξασα. Τὸ ἔσω ὁ μὲν Σχολιαστὴς συντάσσει μετὰ τοῦ εἰσῆλθεν, ὁ δὲ Musgrave μετὰ τοῦ ἐπιρράξασα, ὁ δὲ Wolff μετὰ τοῦ κάλει. Ἡμεῖς νομίζομεν, ὅτι ὁ Σχολιαστὴς ἑρμηνεύει ὀρθότερον.

6 Ὁ Erfurdt τὸ κάλει ἔτρεψεν εἰς καλεῖ, ἀλλ' ἡ αὔξησις ἐν ταῖς ἐπικαῖς διηγήσεσι λείπει, ὡς βοᾶτο ἐν στίχ. 1249, ἐν Οἰδίποδ. ἐπὶ Κολων. 1606 καὶ ἀλλαχοῦ.

7 Ἐνθυμουμένη τοὺς παλαιοὺς γάμους μετὰ τοῦ Λαΐου. Αὕτη εἶναι ἡ συνήθης ἑρμηνεία, ἀλλ' ὁ Nauck παρατηρεῖ, ὅτι ὁ Λάϊος ἐφονεύθη οὐχὶ ὑπὸ τῶν γάμων, ἀλλ' ὑπὸ τοῦ υἱοῦ. Δὲν δύναται ὅμως νὰ ἐξηγήσῃ οὕτω· διότι κωλύει τὸ παλαιῶν. Διὰ τοῦτο τὴν λέξιν σπερμάτων λέγει ὕποπτον. Οὐχὶ δ' ἀφυῶς εἰκάζει θεσφάτων. Ἡμεῖς νομίζομεν, ὅτι ἐμμέσως ὑπὸ τῶν γάμων ἐφονεύθη.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θάνοι μὲν αὐτός, τὴν δὲ τίκτουσαν[1] *λίποι*
τοῖς οἴσιν αὐτοῦ δύστεκνον παιδουργίαν[2]·
γοᾶτο δ' εὐνάς, ἔνθα δύστηνος διπλοῦς[3]
ἐξ ἀνδρὸς ἄνδρα καὶ τέκν' ἐκ τέκνων[4] *τέκοι.* 1250
χὤπως μὲν ἐκ τῶνδ'[5] *οὐκέτ' οἶδ' ἀπόλλυται.*
βοῶν γὰρ εἰσέπαισεν[6] *Οἰδίπους, ὑφ' οὗ*
οὐκ ἦν τὸ κείνης ἐκθεάσασθαι[7] *κακόν·*
ἀλλ' εἰς ἐκεῖνον περιπολοῦντ'[8] *ἐλεύσσομεν.*
φοιτᾷ γὰρ ἡμᾶς ἔγχος[9] *ἐξαιτῶν πορεῖν,* 1255
γυναῖκά[10] *τ', οὐ γυναῖκα, μητρῴαν δ' ὅπου*
κίχοι διπλῆν[11] *ἄρουραν οὗ τε καὶ τέκνων.*
λυσσῶντι δ' αὐτῷ δαιμόνων[12] *δείκνυσί τις,*
οὐδεὶς γὰρ ἀνδρῶν, οἳ παρῆμεν ἐγγύθεν.

1 Κατὰ τὸν Nauck ἐνταῦθα δύναται νὰ σημαίνῃ μόνον τὴν μητέρα οὐχὶ δὲ τὴν γυναῖκα, ἣν ἀπαιτεῖ ἡ τοῦ λόγου συνέχεια.

2 Τὸ ἀφῃρημένον ἀντὶ τοῦ συγκεκριμένου, δηλ. παιδουργὸν ἢ παιδοποιόν, ὡς καὶ τὸ ὁμηλικίη ἀντὶ ὁμήλιξ ἐν Ὀδυσσ. Ζ, 23. Ὁ Σχολιαστὴς λέγει· "Τὴν δὲ γυναῖκα λίποι τὴν ἑαυτοῦ. Τουτέστι τῷ υἱῷ γυναῖκα παιδοποιόν„.

3 Εἶναι αἰτιατικῆς πληθυντικῆς κατὰ τὸ γένος τοῦ ἄνδρα. Ὁ ποιητὴς ἠδύνατο νὰ εἴπῃ διπλοῦν κακὸν τέκοι· παραπλήσιον εἶναι τὸ παρ' Ἡρακλ. μαιν. 950 "διπλοῦς δ' ὀπαδοῖς ἦν γέλως φόβος θ' ὁμοῦ„.

4 Μετεχειρίσθη τὸν πληθυντικὸν ἀριθμὸν ἀντὶ τοῦ ἑνικοῦ.

5 Καὶ δὲν γνωρίζω πλέον κατὰ ποῖον τρόπον μετὰ ταῦτα ἀπωλέσθη.

6 Εἰσεπήδησε, μετὰ βίας εἰσώρμησεν. Ἡ παρουσία τοῦ εἰσπηδήσαντος Οἰδίποδος ἐκώλυσε τοὺς παρόντας νὰ προσέχωσιν εἰς τὴν Ἰοκάστην.

7 Ἐπειδὴ ἡ θύρα ἦτο κεκλεισμένη, νὰ θεῶνται οἱ παρόντες δὲν ἠδύναντο.

8 Ὁ Σχολιαστὴς ἑρμηνεύει· "Περιερχόμενον ὥσπερ ἐμμανῆ„.

9 Παρὰ τοῖς τραγικοῖς σημαίνει καὶ τὸ ξίφος.

10 Ἐκ τοῦ ἐξαιτῶν πρέπει νὰ ἐννοήσωμεν τὸ ζητῶν, ἢ ἐρευνῶν. Τὸ γυναῖκα, οὐ γυναῖκα, εἶναι σχῆμα ὀξύμωρον, ὡς τὸ ἄδωρα δῶρα.

11 Ὁ Σχολιαστὴς λέγει· "ὅτι ἐξ ἐκείνης ἐσπάρη, καὶ εἰς ἐκείνην ἔσπειρεν„. Πλάτ. ἐν Νόμ. VII, 839 "ἀπεχομένους δὲ ἀρούρας θηλείας πάσης ἐν ᾗ μὴ βούλοιτο ἄν σοι φύεσθαι τὸ σπαρέν„.

12 Ἐπειδὴ οὐδεὶς ἐκ τῶν παρόντων ἔδειξε, ποῦ εἶναι ἡ γυνή, ὁ ἐξάγγελος εἰκάζει, ὅτι δαίμων τις

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δεινὸν δ' ἀΰσας, ὡς ὑφηγητοῦ τινός[1],
πύλαις διπλαῖς ἐνήλατ', ἐκ δὲ πυθμένων
ἔκλινε[2] κοῖλα κλῆθρα κἀμπίπτει στέγῃ,
οὗ δὴ κρεμαστὴν τὴν γυναῖκ' ἐσείδομεν,
πλεκταῖς ἑώραις[3] ἐμπεπλεγμένην. ὁ δέ,
ὅπως δρᾷ νιν, δεινὰ βρυχηθεὶς[4] τάλας
χαλᾷ κρεμαστὴν ἀρτάνην[5]. ἐπεὶ δὲ γῇ
ἔκειτο τλήμων, δεινὰ δ'[6] ἦν τἀνθένδ' ὁρᾶν.
ἀποσπάσας γὰρ εἱμάτων χρυσηλάτους
περόνας ἀπ' αὐτῆς, αἷσιν ἐξεστέλλετο[7],
ἄρας ἔπαισεν ἄρθρα[8] τῶν αὑτοῦ κύκλων,

τοῦτο ἔπραξεν, ὡς Αἰσχύλ. ἐν Ἀγαμέμν. 663 "ἐξέκλεψεν ἢ ἐξῃτήσατο θεός τις, οὐκ ἄνθρωπος„, Σοφοκλ. ἐν Αἴαντ. 243 "ῥήμαθ', ἃ δαίμων κοὐδεὶς ἀνδρῶν ἐδίδαξεν„.

1 Ὡσεὶ ὁδηγός τις ἔδειξε τὴν ὁδόν. Τῷ Nauck φαίνεται ἀνάρμοστον τὸ τινός, ἀνθ' οὗ εἰκάζει θεοῦ.

2 Κατὰ τὸν Σχολιαστήν· "Ἀνέτρεψε τὰς θύρας, καὶ κατέβαλεν ἐκ τῶν πυθμένων„ Κλῆθρον δὲ εἶναι ὅ ἔν τισι χώραις τῆς Ἑλλάδος καλούμενος μάνδαλος. Παρέχει ὅμως δυσκολίας τοῖς ἑρμηνευταῖς, διὰ τί τὰ κλῆθρα ὀνομάζονται κοῖλα. Νομίζομεν, ὅτι τὸ ἐπίθετον πρέπει νὰ ληφθῇ κατηγορηματικῶς, δηλ. ἀνέτρεψε κάτωθεν τὰ κλῆθρα, ὥστε νὰ γείνωσι κοῖλα. Οὕτω δὲ ἠδυνήθη νὰ εἰσχωρήσῃ.

3 Ἡ λέξις ἑώρα δὲν ἀπαντᾷ μὲν ἀλλαχοῦ, ἀλλὰ γινώσκει ταύτην ὁ Εὐστάθιος εἰς Ἰλιάδ. Γ, 389· "ὅτι δὲ ἡ ῥηθεῖσα αἰώρα καὶ διὰ τοῦ ε ψιλοῦ ἔχει τὴν ἄρχουσαν, ὡς δηλοῖ οὐ μόνον τὸ πλεκταῖς ἑώραις ἐμπεπλεγμένην, ἀλλὰ καὶ τὸ μετέωροι, ἕτεροι ἀγωνιζέσθωσαν„. Καὶ ὁ Σχολιαστὴς παρατηρεῖ· "ἑώρα, διὰ τοῦ ε, ὅθεν καὶ μετέωρον, κρεμάθρα, δι' οὗ κρεμᾷ τίς τι„.

4 Μεταφορὰ ἐκ τοῦ λέοντος· ὡς ὁ Σχολιαστὴς λέγει· "Βρυχησάμενος, ἀπὸ τῆς φωνῆς τῶν λεόντων, ἀντὶ τοῦ ἀνομώξας„.

5 Ἀρτάνη (ἐκ τοῦ ἀρτάω) σημαίνει σχοινίον ἢ ἄλλο τι, δι' οὗ τις ἀρτᾶται, ὡς Σοφοκλ. ἐν Ἀντιγόν. 54 "πλεκταῖσιν ἀρτάναισι λωβᾶται βίον„.

6 Ὁ δὲ ἐνταῦθα περιττεύει, ἀλλ' εὕρηται καὶ παρὰ τοῖς ἐπικοῖς καὶ τοῖς ἀττικοῖς, μάλιστα δὲ ἐν ταῖς χρονικαῖς προτάσεσιν, ὡς ἐν Ἰλιάδ. Ε, 438 "ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος, δεινὰ δ' ὁμοκλήσας προσέφη ἑκάεργος Ἀπόλλων„, Ξενοφ. ἐν Κύρ. Ἀναβάσ. 1, 3, 5 "ἐπεὶ δὲ ὑμεῖς οὐ βούλεσθε συμπορεύεσθαι, ἀνάγκη δέ μοι„.

7 Δι' ὧν ἐκοσμεῖτο.

8 Κατὰ τὸν Wolff εἶναι ἀντι-

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

αὐδῶν τοιαῦθ'· ὀθούνεκ'[1] οὐκ ὄψοιντό νιν,
οὔθ' οἷ' ἔπασχεν[2] οὔθ' ὁποῖ' ἔδρα κακά,
ἀλλ' ἐν σκότῳ τὸ λοιπὸν οὓς μὲν οὐκ ἔδει[3]
ὄψοιαθ'[4], οὓς δ' ἔχρῃζεν οὐ γνωσοίατο[5].
τοιαῦτ' ἐφυμνῶν[6], πολλάκις τε κοὐχ ἅπαξ 1275
ἤρασσ'[7] ἐπαίρων βλέφαρα[7]. φοίνιαι δ' ὁμοῦ[8]
γλῆναι[9] γένει' ἔτεγγον, οὐδ' ἀνίεσαν

κείμενον τοῦ ἄρας, ὡς καὶ ἐν στίχ. 1376. Ὁ Nauck ὅμως λαμβάνει ὡς ἀντικείμενον τοῦ ἄρας τὰς περόνας. Κατὰ τὸν Σχολιαστήν· "ἐκέντησε τὰ μέρη τῶν ἑαυτοῦ ὀφθαλμῶν, ἔνθα ἁρμόζεται τὰ βλέφαρα, τουτέστι τὰς κόρας„. Εὐριπίδ. ἐν Φοινίσσ. 61 "εἰς ὄμμαθ' αὑτοῦ δεινὸν ἐμβάλλει φόνον χρυσηλάτοις πόρπαισιν αἱμάξας κόρας„.

1 Ἰσοδυναμεῖ πρὸς τὸ ὅτι, ὡς καὶ ἐν στίχ. 572. Τὸ ὑποκείμενον νον εἶναι οἱ κύκλοι, ἤτοι οἱ ὀφθαλμοί. Ἀντὶ τοῦ ὄψοιντο ὁ Hermann ἔγραψεν ὄψαιντο, ἀλλ' ὁ τοιοῦτος ἀόριστος δικαίως ἀμφισβητεῖται. Πρὸς τούτοις ὁ ἀόριστος ἤθελε παρέχει ἔννοιαν ἀνάρμοστον, δηλ. ὁ Οἰδίπους ἐτύφλωσεν ἑαυτόν, διότι δὲν εἶδε τὰ παρελθόντα κακὰ καὶ ἐγκλήματα. Αἰτία ὅμως δὲν εἶναι οἱ ὀφθαλμοί, ἀλλ' ἡ διάνοια τοῦ Οἰδίποδος. Οὗτος ἐτύφλωσεν ἑαυτόν, ὅπως μὴ βλέπῃ τὰ αἴσχη αὐτοῦ, καὶ τοῦτο οὐ μόνον ἐν τῷδε τῷ κόσμῳ, ἀλλὰ καὶ ἐν Ἅιδου. Ὁ Σχολιαστὴς ἑρμηνεύει· "Οὐκ ὄψονται αὐτὸν οὔτε οἷα ἔπασχεν, οὔτε ὁποῖα ἔδρα„.

2 Διὰ μὲν τοῦ ἔπασχεν ἐννοεῖ τὸν γάμον μετὰ τῆς μητρός, διὰ δὲ τοῦ ἔδρα τὸν φόνον τοῦ Λαΐου.

3 Ἐννοεῖται τὸ ἀπαρέμφατον ἰδεῖν· δηλοῖ δὲ τοὺς παῖδας.

4 Ὁ ποιητὴς ἐν τῇ φράσει ἐν σκότῳ ὄψοιατο μετεχειρίσθη τὴν αὐτὴν εἰρωνείαν, ἣν καὶ ἐν στίχ. 419 "βλέποντα νῦν μὲν ὄρθ', ἔπειτα δὲ σκότον„.

5 Ἐπειδὴ ἐνταῦθα πρόκειται περὶ τῶν τεκόντων, προδήλως ὁ Οἰδίπους δὲν θέλει νὰ γνωρίσῃ ἐν Ἅιδου αὐτούς.

6 Ὁ Σχολιαστὴς ἑρμηνεύει ἀνομιμώζων, Ἀντιγόν. ἐν στίχ. 1304 "κακὰς πράξεις ἐφυμνήσασα τῷ παιδοκτόνῳ„. Ὀρθῶς παρατηρεῖ ὁ Wunder, ὅτι τὴν φράσιν πολλάκις τε κοὐχ ἅπαξ δὲν πρέπει νὰ συντάξωμεν μετὰ τοῦ ἐφυμνῶν, ἀλλὰ μετὰ τοῦ ἤρασσε· διότι ἦτο ἱκανὸν νὰ εἴπῃ ἅπαξ τοὺς λόγους.

7 Εἶναι ἀντικείμενον τοῦ ἤρασσε καὶ τοῦ ἐπαίρων. Ὁ Σχολιαστὴς ἑρμηνεύει· "Ἀναπετάσας τοὺς ὀφθαλμοὺς ἔπαιεν„.

8 Τὸ ὁμοῦ δηλοῖ, ὅτι τὸ αἷμα ἐξεχέετο ἅμα τῷ παίειν. Ὀρθῶς δ' ὁ Σχολιαστὴς λέγει· "Ἅμα δὲ τῷ παίειν αἱ αἱματηραὶ τῶν ὀμμάτων κόραι ἔβρεχον τὰ γένεια„.

9 Ἀντὶ τοῦ γλῆναι ὁ Wake-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φόνου[1] μυδώσας σταγόνας, ἀλλ' ὁμοῦ μέλας
ὄμβρος χαλάζης[2] αἱματοῦς ἐτέγγετο,
τάδ' ἐκ δυοῖν ἔρρωγεν οὐ μόνου κάτα[3],
ἀλλ' ἀνδρὶ καὶ γυναικὶ συμμιγῆ κακά.
ὁ πρὶν παλαιὸς[4] δ' ὄλβος ἦν πάροιθε μὲν
ὄλβος δικαίως· νῦν δὲ τῇδε θἠμέρᾳ
στεναγμός, ἄτη, θάνατος, αἰσχύνη[5], κακῶν
ὅσ' ἔστι πάντων ὀνόματ', οὐδέν ἐστ' ἀπόν[6],

field ἔγραψε κρῆναι, ὅπερ δὲν εἶναι ἄτοπον.

1 *Φόνος* λέγεται οὐ μόνον τὸ γυνόμενον αἷμα ἐκ τοῦ φονευθέντος, ἀλλὰ καὶ ἐκ τοῦ ὀπωσδήποτε τρωθέντος, ὡς παρὰ Πινδ. ἐν Ἰσθμ. 7, 50 "αἵμαξε Τηλέφου μαίλανι ῥαίνων φόνῳ πεδίον„. Οὐδὲ ἐξέχεον ὑγρὰς σταγόνας αἵματος

2 *Αἱ δύο* λέξεις ἀποτελοῦσι μίαν ἔννοιαν. Ὁ ποιητὴς θέλει νὰ δηλώσῃ, ὅτι αἱ ἐκχεόμεναι σταγόνες δὲν ἦσαν ὑγραί, ὡς ἐξέρχονται ἐκ τῶν ἄλλων μελῶν τοῦ σώματος, ἀλλ' ὅτι ἦσαν οἱονεὶ πηκταὶ ὡς χάλαζα καὶ τὸ σχῆμα ταύτης ἔχουσαι. Τὰ χειρόγραφα ἔχουσιν αἵματος, ἀλλ' ὁ Heath διώρθωσεν οὐχὶ ἀπιθάνως εἰς αἱματοῦς. Ἡ δὲ συναίρεσις ἐγένετο ὡς κερασοῦσσ' ἔλαφος ἐν ἀποσπάσμ. 87 κνώδαλα πτεροῦντα. Αἰσχύλ. ἐν Ἱκέτισ. 969, αἰθαλοῦσσα φλόξ, ἐν Προμηθ. 996.

3 *Τὸν στίχον* τοῦτον μετὰ τοῦ ἑπομένου ὅλως ἐξαλείφει ὁ Dindorf νομίζων, ὅτι οὗτοι ἐποιήθησαν ὑπό τινος γραμματικοῦ, θέλοντος νὰ πληρώσῃ κενὸν τοῦ κειμένου. Ὁ Schneidewin τρέπει τὸ μόνου εἰς μόνῳ, ὁ δὲ Lachmann γράφει οὐ μόνου μόνῳ, ὅπερ δὲν ἤθελεν εἶναι ἀπίθανον. Ἐν τέλει ὁ Otto τὸ κακὰ τρέπει εἰς κάτα, ὅπερ δέχεται καὶ ὁ Wolff, ὅστις ἐξηγεῖ οὕτωσί· τὰ δὲ κακὰ ἔρρωγεν ἐξ Ἰοκάστης (1075) καὶ Οἰδίπου, οὐ κατ' Οἰδίπου μόνου, ἀλλὰ συμμιγῆ ἀμφοῖν

4 *Πλήρεις* φράσεις, τόνον εἰς τὸν λόγον δίδουσαι, ἀπαντῶσι πολλαχοῦ παρὰ τοῖς ἀρχαίοις, ὡς Σοφοκλ. ἐν Τραχιν. 555 "ἦν μοι παλαιὸν δῶρον ἀρχαίου ποτὲ θηρός„, ἐν Αἴαντ. 414 "πολὺν δαρόν τε χρόνον„, Λυσίας 6, 51 "κατὰ τὸ νόμιμον τὸ παλαιὸν καὶ ἀρχαῖον„.

5 *Ἀντὶ* τοῦ αἰσχύνη ὁ Naber εἰκάζει ἀγχόνη, ὅπερ δὲν εἶναι ἀπίθανον. Διότι τὴν ἔννοιαν ταύτην ἐδήλωσε διὰ τῆς λέξεως θάνατος. Ἡ ὁμιλία τοῦ Οἰδίποδος πρὸς τὴν μητέρα φέρει αἰσχύνην· καὶ ἄρα ἡ λέξις δὲν εἶναι ἀνεξήγητος.

6 *Ὁ ποιητὴς* συγκεντροῖ πάντα τὰ κακά, ὡς καὶ ἐν Ἀντιγόν. 4 "οὐδὲν γὰρ οὔτ' ἀλγεινὸν οὔτ' ἄτης ἄτερ, οὔτ' αἰσχρὸν οὔτ' ἄτιμον ἔσθ', ὁποῖον οὐ τῶν σῶν τε κἀμῶν οὐκ ὄπωπ' ἐγὼ κακῶν„.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΧΟΡΟΣ

νῦν δ' ἔσθ' ὁ τλήμων ἐν τίνι σχολῇ[1] κακοῦ;

ΕΞΑΓΓΕΛΟΣ

βοᾷ[2] διοίγειν κλῆθρα, καὶ δηλοῦν τινα
τοῖς πᾶσι Καδμείοισι τὸν πατροκτόνον,
τὸν μητρὸς[3]— αὐδῶν ἀνόσι' οὐδὲ ῥητά μοι,
ὡς ἐκ χθονὸς ῥίψων[4] ἑαυτὸν οὐδ' ἔτι 1290
μενῶν δόμοις ἀραῖος[5], ὡς ἠράσατο.
ῥώμης[6] γε μέντοι καὶ προηγητοῦ τινος
δεῖται· τὸ γὰρ νόσημα μεῖζον ἢ φέρειν[7].
δείξει[8] δὲ καὶ σοί· κλῆθρα γὰρ πυλῶν τάδε

1 *Τώρα δὲ ὁ ταλαίπωρος ἐν ποίᾳ παύσει τοῦ κακοῦ εὑρίσκεται; Ὁ χορὸς θέλει νὰ μάθῃ, ποῦ ἐσταμάτησε τὸ κακόν.*

2 *Μετὰ βοᾷς κελεύει, ὡς Ξενοφ. ἐν Κύρου Ἀναβάσ. I, 8, 2 "τῷ Κλεάρχῳ ἐβόα ἄγειν τὸ στράτευμα„ καὶ § 19 "ἐβόων δὲ ἀλλήλοις μὴ θεῖν δρόμῳ„. Ὁ Οἰδίπους θέλει νὰ δείξῃ ἑαυτὸν τοῖς Θηβαίοις, ὅπως γείνῃ ἐπισήμως γνωστὸν τῇ πόλει, ὅτι ὁ φονεὺς τοῦ Λαΐου ἀνεκαλύφθη. Ὁ Σχολιαστὴς παρατηρεῖ· "Πιθανὴ ἡ αἰτία τοῦ ἐξιέναι αὐτόν, ἵνα (φησὶ) δείξῃ τοῖς πολίταις, ὅτι ἀξίως ἑαυτὸν ἐτιμωρήσατο ἐπὶ ἀκουσίοις παθήμασι, καὶ ὡς μέλλων ἑκοντὶ ἐξιέναι τῆς πόλεως διὰ τὰς ἀράς, ἃς ἔφθασεν ἐπαρασάμενος„.*

3 *Ὁ Οἰδίπους εἶπεν αἰσχρὰν λέξιν, ἀλλ' ὁ ἐξάγγελος αἰσχύνεται νὰ ἐπαναλάβῃ αὐτήν, ἴσως πόσιν, ἢ μιάστορα ἢ τοιοῦτό τι. Τὸ σχῆμα εἶναι ἀποσιώπησις. Ὀρθῶς δ' ὁ Σχολιαστὴς λέγει· "ἔμελλε λέγειν τὸν μητρὸς μιάστορα· σιγᾷ δὲ τοῦτο διὰ τὸ αἰσχρόν, καί φησιν ἀνόσιον, ἄρρητον εἶναι„. Ἡ ἀποσιώπησις ἐπ' αἰσχροῖς εἶναι συνήθης τοῖς ἀρχαίοις, ὡς παρ' Ἀριστοφάν. ἐν Σφηξ. 1178 καὶ ἐν τῇ Παλατ. Ἀνθολογ. V, 34.*

4 *Ἡ μετοχὴ ἀποδίδοται εἰς τὸ βοᾷ. Ὁ Οἰδίπους θέλει νὰ ῥίψῃ ἑαυτὸν ἐκτὸς τῆς χώρας κατὰ τὸ κήρυγμα.*

5 *Δηλαδὴ ἀραῖς ὑποκείμενος, ἃς ἠράσατο.*

6 *Τὸ πλῆρες ἤθελεν εἶναι, τινὸς ἄλλου ἔχει ἀνάγκην ἰσχυρᾶς βοηθείας.*

7 *Ὁ Σχολιαστὴς ἑρμηνεύει· "Βαρὺ πλέον ἢ ὥστε δύνασθαι φέρειν τινά„.*

8 *Δύναται μὲν νὰ ἐξηγηθῇ καὶ ἀπροσώπως, ὡς καὶ ἐν τῷ πεζῷ λόγῳ ὑπάρχουσιν αἱ φράσεις, δείξει δὴ τάχα, αὐτὸ δείξει, ἀλλὰ πιθανώτερον ἔχει ὑποκείμενον τὸν Οἰδίποδα, ὡς ἐν Αἴαντ. 66 "δείξω δὲ καὶ σοὶ τήνδε περιφανῆ νόσον„.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διοίγεται. θέαμα δ' εἰσόψει τάχα
τοιοῦτον, οἷον καὶ στυγοῦντ'[1] ἐποικτίσαι.

ΧΟΡΟΣ

ὦ δεινὸν[2] ἰδεῖν πάθος ἀνθρώποις,
ὦ δεινότατον πάντων, ὅσ' ἐγὼ
προσέκυρσ'[3] ἤδη. τίς σ', ὦ τλήμων,
προσέβη μανία; τίς ὁ πηδήσας
μείζονα[4] δαίμων τῶν μακίστων
πρὸς σῇ δυσδαίμονι μοίρᾳ;
φεῦ[5] φεῦ, δύστην'. ἀλλ' οὐδ' ἐσιδεῖν
δύναμαί σε, θέλων[6] πόλλ' ἀνερέσθαι,
πολλὰ[7] πυθέσθαι, πολλὰ δ' ἀθρῆσαι·
τοίαν φρίκην παρέχεις μοι.

[9]) *Ἐν τοῖς χειρογράφοις ἀναγινώσκεται σφῶϊν γ' ἄν, ἀνθ' οὗ ὁ* Elmsley *ἔγραψε τὸ ἐν τῷ κειμένῳ, ὅπερ ἐδέξαντο οἱ ἐκδόται. Ὅρα, ὅτι τίθεται τὸ σφὼ μετὰ τὸ ὑμεῖς.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πατρὸς τελῶνται, καί τις ὑμὶν ἐς δόμους
νόστος γένηται, μή μ'[1] ἀτιμάσητέ γε,
ἀλλ' ἐν τάφοισι θέσθε[2] κἀν κτερίσμασιν·
καὶ[3] σφῷν ὁ νῦν ἔπαινος, ὃν κομίζετον
τοῦδ' ἀνδρὸς[4] οἷς πονεῖτον, οὐκ ἐλάσσονα
ἔτ' ἄλλον[5] οἴσει τῆς ἐμῆς ὑπουργίας[6].

ΑΝΤΙΓΟΝΗ.

Πολύνεικες, ἱκετεύω σε πεισθῆναί τί μοι.

ΠΟΛΥΝΕΙΚΗΣ.

ὦ φιλτάτη, τὸ ποῖον, Ἀντιγόνη; λέγε.

ΑΝΤΙΓΟΝΗ.

στρέψαι[7] στράτευμ' ἐς Ἄργος ὡς τάχιστά γε,

[1]) Ἐπαναλαμβάνεται ἡ ἀντωνυμία, ὡς καὶ ἐν στίχ. 1279.

[2]) Ὁ γέρων τραγικὸς ἐνταῦθα ποιεῖ ὑπαινιγμὸν εἰς τὴν Ἀντιγόνην, ἐν ᾗ ἡ φερώνυμος ἡρωῒς θάπτει τὸν ἀδελφόν. Τὸ ἐν κτερίσμασιν ἐτέθη κατ' ἀφομοίωσιν πρὸς τὸ ἐν τάφοισι, διότι ἄλλως ἤθελεν εἰπεῖ τιμᾶτε κτερίσμασιν, φέρετε κτερίσματα.

[3]) Ὁ καὶ ἐτέθη, ὡς μετὰ τὰς προστακτικάς, π. χ. ἐν τῇ φράσει φράζε καὶ πεπράξεται. Ἀντὶ τοῦ ἐνεργητικοῦ κομίζετον περιεμένομεν τὸ μέσον, ὡς καὶ ἐν ταῖς φράσεσι χάριν, καρπὸν κομίζεσθαι. Ἀλλ' ὁ Σοφοκλῆς συχνάκις μεταχειρίζεται τὸ ἐνεργητικὸν ἀντὶ τοῦ μέσου.

[4]) Κατὰ τὸν Nauck καὶ τὸν Wecklein λείπει ἡ πρόθεσις παρά, ὡς ἐν Οἰδίποδ. τυράνν. 580 "ἃν ᾗ θέλουσα, πάντ' ἐμοῦ κομίζεται". Νομίζομεν, ὅτι ἡ ἑρμηνεία αὕτη δὲν εἶναι ὀρθή· διότι αἱ θυγατέρες τοῦ Οἰδίποδος λαμβάνουσιν ἔπαινον οὐχὶ παρὰ τοῦ πατρὸς αὐτῶν, ἀλλὰ παρὰ τῶν ἄλλων ἀνθρώπων διὰ τὸν ὑπὲρ τοῦ πατρὸς πόνον. Κατὰ τὸν Bellermann τὸ ἔπαινον κομίζειν συνετάχθη πρὸς γενικὴν κατ' ἀναλογίαν τῶν θαυμάζειν, ἐπαινεῖν τινά τινος. Ὁ αὐτὸς ἑρμηνευτὴς παρατηρεῖ, ὅτι ἡ γενικὴ τοῦδ' ἀνδρὸς ἀπὸ κοινοῦ συντάσσεται καὶ πρὸς τὸ ἔπαινον κομίζετον κατ' ἀναλογίαν τῶν κήδεσθαι, φροντίζειν τινός.

[5]) Ἐξυπακούεται τὸ ἔπαινον. Κατὰ τὸν Nauck περιεμένομεν τὴν φράσιν οὕτωσίν· ἡ ἐμὴ ὑπουργία σφῷν ἔπαινος ἔσται οὐκ ἐλάσσονα τοῦ νῦν ἐπαίνου.

[6]) Εἶναι γενικὴ ὡς ἐξ ἀντικειμένου εἰς τὸν νοούμενον ἔπαινον.

[7]) Ἡ Σοφόκλειος Ἀντιγόνη ἔχει οὐ μόνον φλογερὰν ἀγάπην πρὸς τὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ μὴ σέ τ' αὐτὸν καὶ πόλιν διεργάσῃ[1].

ΠΟΛΥΝΕΙΚΗΣ.

ἀλλ' οὐχ οἷόν τε· πῶς γὰρ αὖθις ἂν[2] πάλιν
στράτευμ' ἄγοιμι ταὐτόν[3], εἰς ἅπαξ τρέσας;

ΑΝΤΙΓΟΝΗ.

τί δ' αὖθις[4], ὦ παῖ, δεῖ σε θυμοῦσθαι; τί σοι 1420
πάτραν κατασκάψαντι κέρδος ἔρχεται;

ΠΟΛΥΝΕΙΚΗΣ.

αἰσχρὸν τὸ φεύγειν καὶ τὸ πρεσβεύοντ'[5] ἐμὲ
οὕτω[6] γελᾶσθαι τοῦ κασιγνήτου πάρα.

πατέρα καὶ τὸν ἀδελφόν, ἀλλὰ καὶ φιλοπατρίαν.

[1]) *Διεργάζεσθαι* σημαίνει ἀπολλύναι, ἀφανίζειν, καταστρέφειν, ὡς παρ' Εὐριπίδ. ἐν Ἱππ. 613 "Ὦ παῖ, τί δράσεις; σοὺς φίλους διεργάσει;„

[2]) Τὰ χειρόγραφα ἔχουσιν αὖθις αὖ πάλιν, ὅπερ καὶ ἀλλαχοῦ ἀπαντᾷ, ἐν Φιλοκτήτ. 952 "αὖθις αὖ πάλιν εἶσειμι πρὸς σὲ„ καὶ παρ' Ἀριστοφάν. ἐν Νεφέλ. 975. Ἀλλ' ὁ Wauvilliers τὸ αὖ τρέπει εἰς ἂν διὰ τὴν ἑπομένην εὐκτικήν, ὅπερ καὶ ἄλλοι ἐδέξαντο.

[3]) Ὁ Nauck τρέψας εἰς ἄγοιμ' εὔτακτον νομίζει, ὅτι ἐξεῦρε τὸ ὀρθόν. Λαμβάνει δὲ τὸ ἐπίθετον ἐν στρατιωτικῇ σημασίᾳ, ὡς παρὰ Θουκυδίδ. II, 89 "ὑμεῖς δ' εὔτακτοι παρὰ ταῖς ναυσὶ μένοντες τά τε παραγγελλόμενα δέχεσθε„. Αἰσχύλ. ἐν Πέρσ. 399 "τὸ δεξιὸν μὲν πρῶτον εὐτάκτῳ κέρας ἡγεῖτο κόσμῳ„. Νομίζομεν, ὅτι ἡ διόρθωσις ποιεῖ τὴν ἔννοιαν ἀσθενεστέραν. Διότι ὁ Πολυνείκης ἐννοεῖ, ὅτι ἂν ἅπαξ φοβηθῇ, δὲν θέλει δυνηθῇ νὰ ἀγάγῃ τὸν αὐτὸν στρατὸν πάλιν, οὔτε εὔτακτον, οὔτε ἄτακτον. Ὁ Πολυνείκης ἀποκρίνεται, ὡσεὶ ἡ Ἀντιγόνη συνεβούλευεν αὐτῷ, ὅπως ἐν τῷ παρόντι διαλύσῃ τὸν στρατόν, ἐν ᾧ αὕτη ἐνόει τελείαν ἀποχὴν ἀπὸ τοῦ ἀγῶνος πρὸς τοὺς Θηβαίους.

[4]) Τῷ Nauck φαίνεται ἡμαρτημένον τὸ αὖθις· διότι ἡ Ἀντιγόνη δὲν δύναται νὰ διισχυρίζηται, ὅτι ὁ Πολυνείκης ἐκ νέου θέλει ὀργισθῆ, ἀλλὰ μόνον, ὅτι τὴν ἀρχαίαν ὀργὴν θέλει διατηρήσει καὶ δὲν θέλει καταπραΰνει. Ἡ παρατήρησις αὕτη τοῦ ἑρμηνευτοῦ δὲν εἶναι ὀρθή, διότι νῦν, ἂν ὁ Πολυνείκης διαλύσῃ τὸν στρατόν, θέλει καταλίπει τὴν ὀργήν. Ἆρα δὲν εἶναι ἄτοπον, ὅτι λέγει, ὅτι αὖθις θέλει ὀργισθῆ. Τὸ θυμοῦσθαι κεῖται βραχυλογικῶς ἀντὶ θυμωθέντα ἄγειν.

[5]) Ἰσοδυναμεῖ τῷ πρεσβύτερον ὄντα.

[6]) Δηλαδὴ ὡς ἤθελε συμβῆ, ἂν ὑπεχώρουν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΑΝΤΙΓΟΝΗ.

ὁρᾷς[1] τὰ τοῦδ' οὖν ὡς ἐς ὀρθὸν ἐκφέρει[2]
μαντεύμαθ', ὃς σφῷν θάνατον ἐξ ἀμφοῖν[3] θροεῖ; 1425

ΠΟΛΥΝΕΙΚΗΣ.

χρῄζει[4] γάρ· ἡμῖν δ' οὐχὶ συγχωρητέα[5].

ΑΝΤΙΓΟΝΗ

οἴμοι τάλαινα· τίς δὲ[6] τολμήσει κλύων
τὰ τοῦδ' ἔπεσθαι τἀνδρός, οἳ' ἐθέσπισεν;

ΠΟΛΥΝΕΙΚΗΣ.

οὐδ'[7] ἀγγελοῦμεν φλαῦρ'· ἐπεὶ στρατηλάτου
χρηστοῦ τὰ κρείσσω μηδὲ τἀνδεᾶ[8] λέγειν. 1430

[1]) Ἐν τῇ ἄγαν φιλοτιμίᾳ τοῦ Πολυνείκους ἡ Ἀντιγόνη ἐνορᾷ τὴν αἰτίαν, δι' ἣν θέλουσιν ἐκτελεσθῆ τὰ μαντεύματα τοῦ πατρός.

[2]) Τὸ ἐκφέρειν κυρίως σημαίνει ἄγειν ἐκ κεκλεισμένου εἰς ἀνοικτὸν τόπον, ὡς παρὰ Πλάτων. ἐν Φαίδων. 66 *B* "κινδυνεύει τοι ὥσπερ ἀτραπός τις ἐκφέρειν ἡμᾶς μετὰ τοῦ λόγου ἐν τῇ σκέψει„ καὶ Σοφοκλ. ἐν Αἴαντ. 7 "εὖ δέ σ' ἐκφέρει κυνὸς Λακαίνης ὥς τις εὔρινος βάσις„. Ὁ Tyrwhitt γράφει ἐκφέρεις, ὅπερ δὲν εἶναι ἄστοχον.

[3]) Εἶναι παράδοξον τὸ ἐξ ἀμφοῖν, ἀνθ' οὗ περιεμένομεν ἐξ ἀλλήλοιν ἢ ἐκ σφῷν αὐτοῖν. Ὁ Braydes εἰκάζει ἐξ αὑτοῖν.

[4]) Ὁ Σχολιαστὴς ἐξηγεῖ διὰ τοῦ χρῄσιμον δεῖ, ὅπερ δέχονται καί τινες τῶν νεωτέρων. Ἄλλοι ὅμως ἐξηγοῦσι διὰ τοῦ εὔχεται, ἐπιθυμεῖ, ὅπερ δὲν φαίνεται ἡμῖν πιθανόν· διότι ἐκ τῆς πρώτης ἑρμηνείας ἐξάγεται κρειττων ἔννοια· προφητεύει μέν, ὅμως δὲν δύναμαι νὰ ὑποχωρήσω. Οὕτω καὶ ὁ Ἀχιλλεὺς γινώσκει μὲν τὸ πεπρωμένον, ἀλλὰ προβαίνει εἰς τὴν ἐκδίκησιν καὶ τὸν θάνατον. Ὁ σύνδεσμος αἰτιολογεῖ τὸ ἐννοούμενον ῥῆμα ὁρῶ.

[5]) Κεῖται ὁ πληθυντικὸς ἀριθμὸς ἀντὶ τοῦ ἑνικοῦ, ὡς ἐν Ἀντιγόν. 677· "Οὕτως ἀμυντέ' ἐστὶ τοῖς κοσμουμένοις„.

[6]) Δηλοῖ ἀντίθεσιν· ἐν πρώτοις ἡ Ἀντιγόνη οἰκτείρει ἑαυτήν, ὅτι ὁ ἀδελφὸς πορεύεται πρὸς τὸν θάνατον. Ὅμως ἀντλεῖ παρηγορίαν, ὡς νομίζομεν, ὅτι οὐδεὶς θέλει ἀκολουθήσει τῷ Πολυνείκει, ὅταν ἀκούσῃ τὰ μαντεύματα τοῦ Οἰδίποδος.

[7]) Ὁ Πολυνείκης ὁμολογεῖ μέν, ὅτι οὐδεὶς θέλει ἀκολουθήσει αὐτῷ, ἀλλὰ παρατηρεῖ, ὅτι οὐδὲ θέλει ἀναγγείλει τὰ κακά.

[8]) Ἐνταῦθα δηλοῖ χείρω.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ΑΝΤΙΓΟΝΗ.

οὕτως[1] ἀρ', ὦ παῖ, ταῦτά σοι δεδογμένα;

ΠΟΛΥΝΕΙΚΗΣ.

καὶ[2] μή μ' ἐπίσχῃς γ'· ἀλλ' ἐμοὶ μὲν ἥδ' ὁδὸς
ἔσται μέλουσα[3], δύσποτμός τε καὶ κακὴ
πρὸς τοῦδε πατρὸς τῶν τε τοῦδ' Ἐρινύων.
σφῷν δ' εὐοδοίη[4] Ζεύς, τάδ' εἰ τελεῖτέ μοι 1435
θανόντ'[5], ἐπεὶ οὐ μοι ζῶντί γ' αὖθις ἔξετον.

[1]) *Τοῦτο λέγει ἡ Ἀντιγόνη μετὰ ψυχικοῦ πόνου.*

[2]) *Προστίθησι τὴν πρότασιν τήνδε εἰς τὴν οἰωπηθεῖσαν, ἥτις ἐξάγεται ἐκ τῆς προηγουμένης ἐρωτήσεως.*

[3]) *Ἐγὼ θέλω φροντίσει περὶ τῆς στρατείας, τοῦτο εἶναι ἐμὴ ὑπόθεσις, ὡς ἐν Ἰλιάδ. Ζ, 492 "πόλεμος δ' ἄνδρεσσι μελήσει πᾶσιν".*

[4]) *Εὐοδοῦν σημαίνει διευθύνειν τινὰ εἰς καλὴν ὁδόν, εἰς καλὸν δρόμον. Τινὲς τὸ σφῷν τῶν χειρογράφων ἔτρεψαν εἰς σφώ, ὅπερ δὲν εἶναι ἀναγκαῖον· διότι ἡ δοτικὴ ἐτέθη, ὡς καὶ ἐν τῷ ἐπιθέτῳ εὔοδος παρὰ Ξενοφῶντ. ἐν Κύρ. Ἀναβάσ. IV, 2, 9 "εὐοδωτάτη ἦν τοῖς ὑποζυγίοις ἡ ὁδός". Ὁ Burgess ἔγραψε σφῷν δ' εὖ διδοίη, ὅπερ καὶ ἄλλοι ἐδέξαντο. Ἡ διόρθωσις ὅμως αὕτη καθαιρεῖ τὴν καλὴν ἀντίθεσιν τοῦ εὐοδοίη πρὸς τὸ ἥδε ὁδὸς δύσποτμός τε καὶ κακή.*

[5]) *Ἐκδόται τινὲς τὸν στίχον τοῦτον θέτουσιν ἐν ἀγκύλαις, ἀλλὰ δὲν εἶναι δυνατὸν νὰ ἀθετήσωμεν τοῦτον· διότι ἡ προηγουμένη φράσις τάδ' εἰ τελεῖτέ μοι ἦθελε μείνει ἀτελὴς καὶ δυσνόητος. Οὔτ' ἦττον ὁ στίχος παρέχει δύο σπουδαίας δυσκολίας. Πρῶτον ἐκθλίβεται τὸ ι τῆς δοτικῆς, ὅπερ εἶναι ἀσύνηθες τοῖς Ἀττικοῖς. Παρ' Ὁμήρῳ ἡ ἔκθλιψις αὕτη ἀπαντᾷ οὐχὶ σπανίως, ὡς ἐν Ἰλιάδ. Ε, 6 "ἀστέρ' ὀπωρινῷ ἐναλίγκιον". Σπανίως δ' εὑρηται καὶ παρὰ τοῖς Ἀττικοῖς, ὡς παρ' Αἰσχύλ. ἐν Πέρσ. 852 "ὑπαντιάζειν παιδ' ἐμῷ πειράσομ'". ἐν Πέρσ. 891 "λέλυται γὰρ ἐμῶν γυίων ῥώμη τήν δ' ἡλικίαν ἐσιδόντ' ἀστῶν" Σοφοκλ. ἐν Τραχιν. 675 "ἀργῆτ' οἰὸς εὑρέου πόκῳ" καὶ παρ' Εὐριπίδ. ἐν Ἀλκήστ. 1118 "καὶ δὴ προτείνω, Γοργόν' ὡς καρατόμῳ". Δευτέρα δυσκολία εἶναι, ὅτι τό μοι ζῶντι ἔπρεπε νὰ ἦναι παράλληλον τοῦ θανόντι μοι καὶ νὰ ἐξαρτᾶται ἐκ τοῦ τελεῖτε, ὅπερ ὅμως δὲν συμβαίνει· διότι ὑπάρχει τὸ ἔξετον. Ἐπειδὴ δ' οὕτως ἔχει, πρέπει νὰ ἐννοήσωμεν τὸ τελεῖν καὶ τοῦτο ἐξαρτήσωμεν ἐκ τοῦ εἰρημένου ῥήματος· διότι δὲν θὰ δυνηθῆτε νὰ ἐκτελέσητε ταῦτα εἰς ἐμέ, ἐφ' ὅσον τοὐλάχιστον ζῶ. Ἀλλ' οὕτως ἐξάγεται ἄτοπος ἔννοια· διότι διὰ τοῦ τάδε, ὅπερ εἶναι ἀντικείμενον τοῦ τελεῖν, νοοῦνται τὰ τῆς ταφῆς, ἅπερ ὁ Πολυνείκης ἤτησε στίχ. 1410.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μέθεσθε[1] *δ' ἤδη χαίρετόν τ'· οὐ γάρ μ' ἔτι*
βλέποντ'[2] *ἐσόψεσθ' αὖθις.*

ΑΝΤΙΓΟΝΗ.

ὦ τάλαιν' ἐγώ.

ΠΟΛΥΝΕΙΚΗΣ.

μή τοί μ' ὀδύρου.

ΑΝΤΙΓΟΝΗ.

καὶ τίς ἄν σ' ὁρμώμενον
εἰς προῦπτον[3] *Ἅιδην οὐ καταστένοι, κάσι;* 1440

ΠΟΛΥΝΕΙΚΗΣ.

εἰ χρή[4]*, θανοῦμαι.*

ΑΝΤΙΓΟΝΗ.

μὴ σύ γ', ἀλλ' ἐμοὶ πιθοῦ.

ΠΟΛΥΝΕΙΚΗΣ.

μὴ πεῖθ' ἃ μὴ δεῖ.

ΑΝΤΙΓΟΝΗ.

δυστάλαινά τἄρ' ἐγώ,
εἰ σοῦ στερηθῶ[5].

Ἀλλὰ ζῶν δὲν δύναται νὰ τύχῃ τούτων. Διὰ ταῦτα κατὰ τὸν Bellermann *ἐκ τῆς προηγουμένης φράσεως πρέπει νὰ ἐννοήσωμεν τελεῖν τι (ἢ οὐδέν). Ἂν μὴ οὕτως ἑρμηνεύσωμεν τὸ χωρίον, δέον νὰ τρέψωμεν εἰς μεζῶντα, ὡς ἐποίησεν ὁ* Elmsley *Τὸ ἐπεὶ αἰτιολογεῖ τὸ θανόντι· λέγω θανόντι, διότι πλέον εἶναι τὸ μόνον, ὅπερ δύνασθε νὰ κάμητε.*

[1]) *Ταῦτα λέγων ὁ Πολυνείκης ἀπαλλάσσεται τῶν ἀδελφῶν, αἵτινες περιπτύσσονται αὐτὸν πειρώμεναι νὰ κωλύσωσιν αὐτόν, ὡς ὑπεδήλωσεν ὁ Σχολιαστής· "καὶ ἐκ τούτου δῆλον, ὅτι ἐν τῇ παρακλήσει ἅμα τοὺς λογους λέγουσα τούτους εἶχετο αὐτοῦ ἡ ἀδελφή".*

[2]) *Δηλαδὴ ζῶντα.*

[3]) *Εἰς πρόδηλον, φανερὸν θάνατον, ὡς παρ' Εὐριπίδ. ἐν Ἱππ.* 1366 *"προῦπτον εἰς Ἅιδην στείχω κατὰ γῆς" καὶ παρ' Ἡροδότ. Θ', 17 "ἡμέας οὗτοι οἱ ἄνθρωποι μέλλουσι προόπτῳ θανάτῳ δώσειν".*

[4]) *Ἐκ τοῦ ἑπομένου ῥήματος ἐννοεῖται τὸ ἀπαρέμφατον θνήσκειν.*

[5]) *Τὸ εἰ φέρεται εἰς ὑποτακτικὴν ἄνευ τοῦ ἄν, ὡς ἐν Ἰλιάδ. Α,* 1 *"εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΟΛΥΝΕΙΚΗΣ.

ταῦτα δ' ἐν τῷ δαίμονι [1]
καὶ τῇδε φῦναι χἀτέρᾳ. σφῷ [2] δ' οὖν ἐγὼ
θεοῖς ἀρῶμαι μή ποτ' ἀντῆσαι κακῶν· 1445
ἀνάξιαι γὰρ πᾶσίν [3] ἐστε δυστυχεῖν.

ΧΟΡΟΣ.

Στροφὴ α'.

νέα [4] τάδε νεόθεν ἦλθέ μοι
βαρύποτμα κακὰ παρ' ἀλαοῦ [5] ξένου,

καταπέψῃ, ἀλλά τε καὶ μετόπισθεν ἔχει κότον, ὅφρα τελέσσῃ „.

[1]) *Ταῦτα ἐξαρτῶνται ἐκ τοῦ θεοῦ* νὰ γείνωσιν οὕτω καὶ ἄλλως. Ὑπόκειται ἡ ἔννοια τοῦ πολυθρυλήτου, *θεῶν ἐν γούνασι κεῖται*. Ὁ Πολυνείκης γινώσκει, ὅτι ἡ ἀρὰ τοῦ πατρὸς *θέλει τελεσθῆ*, ἀλλὰ λέγει ταῦτα, πρὸς παραμυθίαν *τῶν ἀδελφῶν*.

[2]) Ἐν τοῖς χειρογράφοις ἀναγινώσκεται *σφῶν*, ἀλλ' ὁ Elmsley ἔτρεψεν εἰς *σφώ*, ὅπερ ἐδέξαντο οἱ ἐκδόται.

[3]) *Κατὰ τὴν γνώμην πάντων*, ὡς ἐν Ἀντιγόν. 904. "*Καίτοι δ' ἐγὼ ἐτίμησα τοῖς φρονοῦσιν εὖ* „ καὶ ἐν Οἰδίποδ. τυράνν. 40, "*ὦ κράτιστον πᾶσιν Οἰδίπου κάρα* „. Ὁ Πολυνείκης ἀπέρχεται πρὸς τὰ ἀριστερά, ὅθεν ἦλθεν.

[4]) *Διαφωνοῦσιν οἱ ἑρμηνευταί, τίνα εἶναι τὰ νέα· κατά τινας νέα κακὰ εἶναι ἐκεῖνα, ἅπερ ὁ Οἰδίπους προεφήτευσεν εἰς τοὺς υἱοὺς αὐτοῦ (Κατὰ τούτους οἱ κεραυνοὶ ἄρχονται ἐν στίχ. 1456)· κατὰ δὲ τὸν* Bellermann *οἱ κεραυνοὶ πίπτουσιν εὐθὺς ἐν ἀρχῇ καὶ οὗτοι εἶναι τὰ νέα. Ὁ ἑρμηνευτὴς οὗτος δὲν δέχεται τὴν πρώτην ἑρμηνείαν διότι ταῦτα τὰ κακὰ δὲν ἦλθον εἰς τὸν χορόν (μοι), ἀλλ' εἰς τοὺς υἱοὺς τοῦ Οἰδίποδος. Πρὸς δὲ παρατηρεῖ, ὅτι κατὰ τὴν πρώτην ἑρμηνείαν ἡ φράσις εἴτι μοῖρα μὴ κιγχάνει σημαίνει, ἂν ἡ μοῖρα δὲν ἐμποδίσῃ. Ἀλλὰ κατὰ τὴν ἑρμηνείαν ταύτην ἔπρεπε νὰ εἴπῃ κιχήσεται. Καὶ αἱ δύο ἑρμηνεῖαι ἔχουσιν ὑπὲρ ἑαυτῶν λόγους, ἀλλὰ νομίζομεν, ὅτι ἡ πρώτη εἶναι πιθανωτέρα· διότι μόλις εἶναι πιστευτόν, ὅτι ὁ χορὸς οὐδὲν ἤθελεν εἰπεῖ, ἀφ' οὗ ἤκουσε τὰ φοβερὰ κακά, ἅπερ ὁ Οἰδίπους προεμάντευσεν εἰς τοὺς υἱοὺς αὐτοῦ. Ἡ δὲ ἀντίρρησις τοῦ* Bellermann, *ὅτι τὰ κακὰ δὲν ἦλθον εἰς τὸν χορόν, δὲν εἶναι ἰσχυρά διότι τὴν δοτικὴν δυνάμεθα νὰ λάβωμεν ὡς ἠθικήν. Τὸ νεόθεν ἐπιτείνει τὴν σημασίαν τοῦ νέα, ὡς τὰ Ὁμηρικὰ αἰνόθεν αἰνῶς, οἰόθεν οἷος, μέγας μεγαλωστί.*

[5]) *Νομίζομεν, ὅτι καὶ ὁ προσδιορισμὸς οὗτος παρέχει ἀπόδειξιν ὑπὲρ τῆς πρώτης ἑρμηνείας· διότι δηλοῖ κακὰ δοθέντα διὰ τῆς ἀρᾶς ὑπὸ τοῦ τυφλοῦ γέροντος. Ἂν δὲ νέα*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἴ τι μοῖρα μὴ κιγχάνει [1]. 1450
μάτην [2] γὰρ οὐδὲν ἄξιωμα δαιμόνων ἔχω φράσαι.
ὁρᾷ [3] ὁρᾷ ταῦτ' ἀεὶ χρόνος, ἐπέχων [4] μὲν ἕτερα,
τὰ δὲ παρ' ἦμαρ [5] αὖθις αὖξων ἄνω. 1455
ἔκτυπεν [6] αἰθήρ, ὦ Ζεῦ.

κακὰ ἦσαν οἱ κεραυνοί, ἔπρεπεν ὁ ποιητὴς νὰ εἴπῃ ἐξ ἀλαοῦ γέροντος.

[1]) Κατὰ πολλοὺς τρόπους ἐξηγεῖται ἡ φράσις αὕτη, π. χ. ὁ Hermann ἐξηγεῖ· ἐὰν μὴ πεπρωμένον τι συμπέσῃ, συμβῇ, ὁ δὲ Wecklein, ἐὰν μὴ τυχὸν τὸ πεπρωμένον καταλάβῃ αὐτὰ (τὰ κακὰ). Κατὰ τὴν ἑρμηνείαν τοῦ Bellermann, περὶ ἧς εἴρηται, ἡ φράσις ἔχει ὅλως διάφορον σημασίαν· ἐὰν τυχὸν δὲν ἦναι ἡ μοῖρα τοῦ θανάτου, ἥτις νῦν μετὰ τοῦ κεραυνοῦ καταλαμβάνει αὐτόν. Οὕτως κατὰ τὸν χρησμὸν ἔμελλε νὰ συμβῇ τοιοῦτο σημεῖον ἐν τῷ θανάτῳ τοῦ Οἰδίποδος (ἢ σεισμὸν ἢ βροντήν τιν' ἢ Διὸς σέλας ἐν στίχ. 95). Ἀλλ' ὁ χορὸς δὲν ἤκουσε τὸν χρησμὸν τοῦτον καὶ διὰ τοῦτο κατὰ τὸν Bellermann εὐθὺς ἐν ἀρχῇ δὲν ἐνόησε τὴν σημασίαν τοῦ κεραυνοῦ, ταχέως ὅμως ἀναμιμνήσκεται, ὅτι ὁ Οἰδίπους πάντοτε περὶ τοῦ ἐπικειμένου θανάτου ἔλεγε, καὶ διὰ τοῦτο λέγει τὴν φράσιν ταύτην.

[2]) Ἀντὶ τοῦ μάτην ὁ Blaydes ἔγραψε ματᾶν (ἀποτυγχάνειν, ἐπιδέχεσθαι ἀναβολήν). Ἄξίωμα εἶναι ἡ θέλησις.

[3]) Τὸ ὁρᾶν ἐνταῦθα σημαίνει πρόνοιαν ποιεῖσθαι, φροντίζειν, ὡς ἐν Φιλοκτήτ. 853 "ἀλλά, τέκνον, τάδε μὲν θεὸς ὄψεται". Εἶναι ἀμφίβολον, ποῦ ἀναφέρεται τὸ ταῦτα κατὰ μὲν τὸν Bellermann εἰς τὰ ἀξιώματα θεῶν, κατὰ δὲ τὸν Wecklein ταῦτα εἶναι αἱ προφητεῖαι τῶν ἀνθρώπων, δηλ. ὁ χορὸς μόνον εἰς τὰ θεῖα μαντεύματα ἀπόλυτον κῦρος ἀναγνωρίζει, ἐν ᾧ τὴν βεβαίωσιν τῶν ἀνθρωπίνων προφητειῶν καταλείπει εἰς τὸν χρόνον. Τοιοῦτό τι λέγεται ἐν Οἰδίποδ. τυράνν. 497 καὶ παρ' Εὐριπίδ. ἐν Ἠλέκτρ. 399 "Λοξίου γὰρ ἔμπεδοι χρησμοί, βροτῶν δὲ μαντικὴν χαίρειν ἐῶ". Ἡ ἑρμηνεία αὕτη συμφωνεῖ πρὸς τὴν ἐν ἀρχῇ. Ὁ δὲ Dindorf τὸ ταῦτ' τρέπει εἰς πάντ', ὡς ἐν Οἰδίποδ. τυράνν. 1213 "ἐφηῦρέ σ' ἄκοντ' ὁ πάνθ' ὁρῶν χρόνος".

[4]) Ἐπέχω σημαίνει ἐμποδίζω, δὲν ἀφίνω τι νὰ ἐκτελεσθῇ. Τὸ ἐπέχων ὁ Hartung ἔτρεψεν εἰς στρέφων, ὅπερ ἐδέξατο καὶ ὁ Nauck, ὡς παρ' Εὐριπίδ. ἐν ἀποσπάσμ. 540 "φεῦ τὰ τῶν εὐδαιμονούντων ὡς ταχὺ στρέφει θεός".

[5]) Καθ' ἑκάστην ἡμέραν, ὡς Δημοσθέν. 23, 182 "παρ' ἡμέραν ἔξεσιν αὐτῷ βαδίζειν ἐπὶ χερρόνησον".

[6]) Ὁ ἀττικὸς τύπος εἶναι ἐκτύπησεν, ἀνθ' οὗ μετεχειρίσθη τὸν Ὁμηρικόν. Κατὰ τὸν Σχολιαστήν· "Τὸ συνεκτικώτατον τοῦ δράματος ἐν τούτῳ, καθάπερ προεῖπεν ὁ Οἰδί-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΙΔΙΠΟΥΣ.

ὦ τέκνα τέκνα, πῶς ἄν, εἴ τις ἔντοπος, [1]
τὸν πάντ' ἄριστον δεῦρο Θησέα πόροι; [2]

ΑΝΤΙΓΟΝΗ.

πάτερ, τί δ' ἐστὶ τἀξίωμ' [3] *ἐφ' ᾧ καλεῖς;*

ΟΙΔΙΠΟΥΣ.

Διὸς πτερωτὸς [4] *ἥδε μ' αὐτίκ' ἄξεται* 1460
βροντὴ πρὸς Ἅιδην· ἀλλὰ πέμψαθ' ὡς τάχος.

ΧΟΡΟΣ.

Ἀντιστροφὴ α'.

κτύπος, ἴδε, μέγας ἐρείπεται [5]
ἄφατος ὅδε διόβολος [6]· *ἐς δ' ἄκραν*

που (στίχ. 95)· σημεῖα δ' ἤξειν τῶνδέ μοι παρηγγύα, ἢ σεισμὸν ἢ βροντήν τιν' ἢ Διὸς σέλας. Μεταξὺ οὖν τῶν τοῦ χοροῦ λόγων γίνεται τοῦτο, ἐφ' ᾧ ὁ χορὸς ἀναβοᾷ, ὅπερ ἦν σύμβολον τοῦ τὸν Οἰδίποδα τεθνάναι. Ὅπερ γνωρίσας ὁ Οἰδίπους ἀξιοῖ τὸν Θησέα ἐν τάχει παραγενέσθαι„. Ἐξήγησις τῆς α' στροφῆς· Ὅλως νέα ταῦτα δὰ τὰ λυπηρὰ δυστυχήματα ἦλθον μοι ἀπὸ τὸν τυφλὸν γέροντα, ἂν μὴ τυχὸν ἐμποδίσῃ ταῦτα ἡ μοῖρα. Διότι δύναμαι νὰ εἴπω, ὅτι οὐδεμία θέλησις τῶν θεῶν ματαιοῦται· περὶ δὲ τῶν ἀνθρωπίνων μαντευμάτων προνοεῖ πάντοτε ὁ χρόνος, ἄλλα μὲν ἐμποδίζων νὰ γίνωνται, ἄλλα δὲ καθ' ἑκάστην πάλιν μεγαλύνων πρὸς τὰ ἄνω. Ἐβρόντησεν ὁ οὐρανός, βοήθεια, ὦ Ζεῦ.

[1]) *Ἰσοδυναμεῖ τῷ, ἐν τούτῳ τῷ τόπῳ πάρεστιν, ὡς ἐν Φιλοκτήτ.* 211 "ὡς οὐκ ἔξεδρος, ἀλλ' ἔντοπος ἀνήρ„, *ὅπερ ὁ Σχολιαστὴς ἐξηγεῖ· "Οὐ μακράν, ἀλλ' ἐγγύς, καὶ ἐπὶ τόπου„.*

[2]) *Ἡ εὐκτικὴ ἐν ἐρωτήσει ἐνταῦθα δηλοῖ εὐχήν, ὡς ἐν στίχ.* 1100. *Τὸ πόροι κεῖται ἐν τῇ σημασίᾳ τοῦ πορίσειε ἢ πορεύσειε, ὅπερ μεταχειρίζεται μετ' ὀλίγον ἐν στίχ.* 1476.

[3]) *Ἀξίωμα κατὰ τὸν Σχολιαστὴν εἶναι τὸ βούλημα.*

[4]) *Περιεμένομεν πτερωτὴ βροντή, ἀλλ' ἐνίοτε παρὰ τοῖς ποιηταῖς τὰ εἰς τὸς ἐπίθετα λαμβάνονται ὡς δικατάληκτα, ὡς ἐν Οἰδίπ. τυράνν.* 383 "εἰ τῆσδε γ' ἀρχῆς οὔνεχ', ἣν ἐμοὶ πόλις δωρητόν, οὐκ αἰτητὸν εἰσεχείρισεν„. *Τὴν βροντὴν λέγει πτερωτὴν διὰ τὴν ταχύτητα.*

[5]) *Κρημνίζεται, καταπίπτει μέγας κεραυνός.*

[6]) *Διόβολος εἶναι ὁ ὑπὸ τοῦ Διὸς σφενδονιζόμενος.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δεῖμ' ὑπῆλθε κρατὸς φόβαν[1]. 1465
ἔπτηξα[2] θυμόν· οὐρανία[3] γὰρ ἀστραπὴ φλέγει πάλιν.
τί μὰν ἀφήσει[4] τέλος; δέδια τόδ'· οὐ γὰρ ἄλιον
ἀφορμᾷ[5] ποτ', οὐκ ἄνευ ξυμφορᾶς. 1470
ὦ μέγας αἰθήρ, ὦ Ζεῦ.

ΟΙΔΙΠΟΥΣ.

ὦ παῖδες, ἥκει τῷδ'[6] ἐπ' ἀνδρὶ θέσφατος[7]
βίου τελευτή, κοὐκέτ' ἔστ' ἀποστροφή[8].

ΑΝΤΙΓΟΝΗ.

πῶς οἶσθα;[9] τῷ δὲ τοῦτο συμβαλὼν[10] ἔχεις;

1) Ἡ σύνταξις ἔχει οὕτωσί· δεῖμα ὑπῆλθε ἐς ἄκραν φόβαν κρατός.

2) Ἔθηκεν ἀόριστον ἀντὶ ἐνεστῶτος, ὡς ἐν Αἴαντ. 693 "Ἔφριξ' ἔρωτι „ καὶ ἐν Αἴαντ. 1307 "ἀνέπταν φόβῳ „. Τὸ θυμὸν εἶναι αἰτιατικὴ τοῦ κατά τι, ὡς ἐν Ἰλιάδ. Ξ, 40 "πτῆξε δὲ θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν. „

3) Ἡ λέξις αὕτη φαίνεται ὕποπτος τοῖς κριτικοῖς· διότι τὸ μέτρον ἐνταῦθα δὲν ἀνέχεται τὸν ἀνάπαιστον ἀντὶ τοῦ ἰάμβου. Ὁ μὲν Bellermann νομίζει, ὅτι τὸ -ια διὰ συνιζήσεως δύναται νὰ ληφθῇ ὡς μία συλλαβή, ἀλλ' ἄλλοι καταφεύγουσιν εἰς διορθώσεις καὶ ὁ μὲν Elmsley εἰκάζει ο ὐ ρ ί α, ὁ δὲ Bergk ὀ μ β ρ ί α καὶ ὁ Meineke α ἰ θ ρ ί α.

4) Ὑποκείμενον τοῦ ῥήματος εἶναι ἡ ἀστραπή. Ποῖον τέλος θὰ ῥίψῃ; ποῖον τέλος προσημαίνει;

5) Καὶ τοῦ ῥήματος τούτου ὑποκείμενον εἶναι ἡ ἀστραπή. Κατὰ τὸν Σχολιαστήν· "Τοῦτό φησιν· οὐ μάτην γίνεται τὸ κατὰ τὴν διοσημίαν, ἀλλ' ἐπί τινι μεγάλῃ συμφορᾷ· νῦν δὲ συμφοράν φησι τὸ μέσον ὄνομα τῆς συντυχίας· οἷον, ἐπί τινι γίνεται ἡ διοσημεία „. Ἐξήγησις τῆς α' ἀντιστροφῆς· Μέγας κεραυνός, ἴδε, καταπίπτει παμμέγιστος, οὗτος δὰ ὑπὸ τοῦ Διὸς ἐκσφενδονιζόμενος· εἰς δὲ τὴν ἄκραν κόμην τῆς κεφαλῆς ὑπεισῆλθεν ὁ φόβος. Ἐξεπλάγην κατὰ τὴν ψυχήν, διότι οὐρανία ἀστραπὴ φωτίζει πάλιν. Ποῖον τέλος ὄντως προσημαίνει; φοβοῦμαι τοῦτο δά· διότι οὐδέποτε ἐξορμᾷ ματαίως, οὐδέποτε ἄνευ συμφορᾶς. Ὦ μεγάλε οὐρανέ, βοήθεια, ὦ Ζεῦ.

6) Ἡ δεικτικὴ ἀντωνυμία κεῖται ἀντὶ τῆς προσωπικῆς ἐμοί.

7) Ὁ Σχολιαστὴς ἐξηγεῖ· "Ἡ θεσπισθεῖσα τελευτή „.

8) Εἶναι ἡ ἀποφυγὴ κατὰ τὸν Σχολιαστήν.

9) Οἱ πλεῖστοι τῶν ἐκδοτῶν τὸν στίχον τοῦτον ἀποδίδουσι τῇ Ἀντιγόνῃ, ἀλλ' ὁ Muff καὶ ὁ Nauck τῷ χορῷ, ὅπερ δὲν φαίνεται πιθανόν.

10) Εἶναι ἀνάλογον πρὸς τὸ συνιέναι καὶ τὸ conjicere. Κατὰ τὸν Σχολιαστὴν σημαίνει στοχασάμενος

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΙΔΙΠΟΥΣ.

καλῶς κάτοιδ'· ἀλλ' ὡς τάχιστά μοι μολὼν ἄνακτα χώρας τῆσδέ τις πορευσάτω.

ΧΟΡΟΣ.

Στροφὴ β'.

ἔα[1] ἔα, ἰδοὺ μάλ' αὖθις ἀμφίσταται[2]
διαπρύσιος[3] ὀτοβος.
ἴλαος[4], ὦ δαίμων, ἴλαος, εἴ τι γᾷ
ματέρι[5] τυγχάνεις ἀφεγγὲς φέρων.
ἐναισίου[6] δὲ σοῦ τύχοιμι, μηδ' ἅλαστον[7] ἄνδρ' ἰδὼν
ἀκερδῆ[8] χάριν μετάσχοιμί πως.

Ὁ μὲν Dindorf τρέπει εἰς τῷ δὲ συμβαλὼν ἔχεις, πάτερ; Ὁ δὲ Schmidt τῷ δὲ τόδε σὺ συμβαλὼν λέγεις;

1) Ἐπιφώνημα δηλοῦν ἔκπληξιν.

2) Περιβάλλει πανταχόθεν, ὡς ἐν Ἀντιγόν. 1209 "ἄσημα περιβαίνει βοῆς„ ἐν Ὀδυσσ. Ζ, 122 "ὥστε με κουράων ἀμφήλυθε θῆλυς ἀϋτή„ καὶ ἐν Ἰλιάδ. Κ, 535 "ἵππων μ' ὠκυπόδων ἀμφὶ κτύπος οὔατα βάλλει„.

3) Κατά τινας μὲν παράγεται ἐκ τοῦ διαπεράω, κατὰ δὲ τὸν Nauck ἐκ τῆς διαπρό, ὡς πρύτανις ἐκ τῆς πρό. Σημαίνει δὲ τὸν μακρὰν ἐκτεινόμενον, τὸν περιβόητον. Ὁ Σχολιαστὴς ἑρμηνεύει· "Περίισταται ἡμῖν μέγας ψόφος„.

4) Ἐννοεῖται τὸ φέρε ἐκ τοῦ ἑπομένου τυγχάνεις φέρων. Ὁ Σχολιαστὴς παρατηρεῖ· "Εὐσεβέστατα ὁ χορὸς εὔχεται πρὸς τὸν θεόν, εἴ ἐπί τινι χαλεπῷ ταῦτα πράττει, ἵλεων αὐτὸν γενέσθαι„.

5) Γῆ μήτηρ εἶναι ἡ πατρίς, ἡ Ἀττική, ὡς παρ' Αἰσχύλ. ἐν Ἑπτὰ ἐπὶ Θήβ. 16 "τέκνοις τε γῇ τε μητρί, φιλτάτῃ τροφῷ„. Εὕρηται καὶ ἡ γραφὴ ἀφθεγγές, ὅπερ ὁ Σχολιαστὴς ἐξηγεῖ διὰ τοῦ χαλεπόν. Τὸ ἀφεγγὲς ἐλήφθη κατὰ μεταφορὰν ἐκ τῆς παρούσης μαύρης κακοκαιρίας.

6) Σημαίνει ὅ τι καὶ τὸ ἐναίσιμον τὸ ὑπὸ τῆς μοίρας εὐνοϊκόν, εὐμενές. Κεῖται δὲ κατηγορηματικῶς, ὡς ἐν στίχ. 1486 "ἐμψύχου, τέκνα, κιχήσεταί μου„. Πίνδαρ. ἐν Ἰσθμ. Δ', 43 "προφρόνων μοισᾶν τύχοιμεν„ Ξενοφ. ἐν Κύρ. Ἀναβάσ. Ϋ, 5, 15 "ἐρωτᾶτε αὐτούς, ὅ' ὁποίων τινῶν ἡμῶν ἔτυχον„. Ἐν τοῖς χειρογράφοις ἀναγινώσκεται συντύχοιμι, ἀνθ' οὗ ὁ Cobet εἴκασε σοῦ τύχοιμι. Τοῦτο ἐδέξαντο πλεῖστοι ἐκδόται.

7) Ἐνταῦθα δὲν σημαίνει τὸν ἀνεπίληστον, ἀλλὰ τὸν κατηραμένον.

8) Δηλαδὴ βλαβερὰν ἀμοιβήν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ζεῦ ἄνα, σοὶ φωνῶ. 1485

ΟΙΔΙΠΟΥΣ.

ἆρ' ἐγγὺς ἀνήρ;[1] ἆρ' ἔτ' ἐμψύχου, τέκνα,
κιχήσεταί[2] μου καὶ κατορθοῦντος φρένα;

ΑΝΤΙΓΟΝΗ.

τί δ' ἂν θέλοις τὸ πιστὸν[3] ἐμφῦναι φρενί;

ΟΙΔΙΠΟΥΣ.

ἀνθ' ὧν ἔπασχον εὖ, τελεσφόρον[4] χάριν
δοῦναί[5] σφιν, ἥνπερ τυγχάνων[6] ὑπεσχόμην. 1490

ΧΟΡΟΣ.

Ἀντιστροφὴ β'.

ἰὼ ἰώ, παῖ, βᾶθι βᾶθ', εἴτ' ἀγροῖς κυρεῖς[7]

τῆς εὐεργεσίας μου. Τὸ μετέχειν συνετάχθη πρὸς αἰτιατικήν, ὡς παρ' Ἀριστοφάν. ἐν Πλούτ. 1144 "οὐ γὰρ μετεῖχες τὰς ἴσας πληγὰς ἐμοί". Ἐξήγησις τῆς β' στροφῆς· Ἔα ἔα, ἰδοὺ πάλιν σφοδρῶς περιβάλλει μέγας κτύπος. Εὐμενής, ὦ θεέ, εὐμενὴς γενοῦ, ἐὰν εἰς τὴν πατρίδα μου φέρῃς δυστυχές τι. Εὔχομαι νὰ τύχω σοῦ εὐμενοῦς καὶ μὴ ἰδὼν τὸν ὑπὸ ἀρᾶς κατεχόμενον ἄνθρωπον λάβω βλαβερὰν ἀμοιβὴν κατά τινα τρόπον. Ζεῦ βασιλεῦ, εἰς σὲ λέγω ταῦτα.

[1]) *Δηλαδὴ ὁ Θησεύς.*

[2]) *Συνετάχθη πρὸς διπλῆν γενικήν, ἐξ ὧν ἡ μία εἶναι κατηγορηματική, ὡς τὸ τυγχάνειν ἐν στίχ.* 1483. *Τὸ κατορθοῦν φρένα σημαίνει ἔμφρονα εἶναι, ἔχειν συνείδησιν.*

[3]) *Κατὰ τὸν* Bellermann *σημαίνει ἐνταῦθα τὸ μυστικόν, δηλ. ὅτι ἐμπιστεύεταί τις εἰς τὴν πίστιν τινός. Ποῖον εἶναι τὸ μυστικόν, τὸ ὁποῖον θέλεις νὰ ἐγχαράξῃς εἰς τὴν διάνοιαν τοῦ Θεσέως;* Ἀντὶ τοῦ ἐμφῦναι *ὁ* Nauck *γράφει* ἐμφῆναι *καὶ ἀντὶ τοῦ* φρενὶ *ὁ* Wunder ἔγραψε ξένῳ, ἀλλ' οὐδετέρα τῶν διορθώσεων εἶναι ἀναγκαία.

[4]) *Φέρουσαν εἰς πλήρωσιν, εἰς τέλος ἄγουσαν.*

[5]) *Τὸ ἀπαρέμφατον ἐξαρτᾶται ἐκ τοῦ ἐννοουμένου θέλω. Θέλω νὰ δώσω εἰς αὐτὸν τὴν εὐγνωμοσύνην τὴν πληροῦσαν ἐκεῖνα, τὰ ὁποῖα εὐηργετήθην.*

[6]) *Ἰσοδυναμεῖ τῷ, ὅτε ἐτύγχανον ὢν ἐβουλόμην. Ἀλλ' ὁ* Blaydes *νομίζων, ὅτι ἡ λέξις διεφθάρη, ἔτρεψεν αὐτὴν εἰς ἀρτίως.*

[7]) *Διεφθαρμένον παρεδόθη ἡμῖν τὸ χωρίον. Οἱ κριτικοὶ ποιοῦσι πολλὰς διορθώσεις καὶ συμπληρώσεις, ἡμεῖς δ' ἠκολουθήσαμεν τῷ* Bellermann. *Παρελείφθη ἡ μετοχὴ ὤν,*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἴτ' ἄκρον ἐπὶ γύαλον [1]
ἐναλίῳ Ποσειδαονίῳ θεῷ [2]
βούθυτον ἑστίαν [3] *ἁγίζων, ἱκοῦ.* 1495
ὁ γὰρ ξένος σε [4] *καὶ πόλισμα καὶ φίλους* [5] *ἐπαξιοῖ*
δικαίαν χάριν παρασχεῖν παθών [6].
σπεῦσον [7] *ἄϊσσ', ὦναξ.*

ὡς ἐν Ἠλέκτρ. 313 "νῦν δ' ἀγροῦσι τυγχάνει". *Ὁ χορὸς νομίζει, ὅτι ὁ Θησεὺς εὑρίσκεται ἢ ἐγγὺς περὶ τοὺς ἀγροὺς ἢ ἐν τῷ βωμῷ τοῦ Ποσειδῶνος, ὅθεν προσεκλήθη ἐν στίχ.* 887.

[1]) *Γύαλον κυρίως εἶναι κοίλωμα, ἐνταῦθα δὲ φάραγξ, ὡς παρ' Ἡσιόδ. ἐν Θεογον.* 449 "γυάλοις ὕπο Παρνησσοῖο". *Κατὰ τὸν* Bellermann *τὸ ἐπίθετον ἄκρον δηλοῖ τὴν ὑψηλὴν θέσιν τῆς κοιλάδος, ὅπου ὁ βωμὸς τοῦ θεοῦ πρέπει νὰ νοηθῇ, ὡς ἐν Τραχιν.* 436 "πρὸς τοῦ κατ' ἄκρον Οἰταῖον νάπος Διὸς καταστράπτοντος". *Ὁ δὲ* Wecklein *ἐννοεῖ σπήλαιον. Ἡ ἐπὶ μετὰ αἰτιατικῆς δηλοῖ τὴν εἰς τόπον κίνησιν ἐννοουμένης τῆς μετοχῆς ἐλθών, ὡς παρὰ Θουκυδίδ.* VII, 37 "καὶ οἱ μὲν ἐπὶ τὰ τείχη καὶ πρὸ τῶν τειχῶν τοῖς προσιοῦσιν ἀντεπαρετάσσοντο".

[2]) *Εἶναι παραπλήσιον πρὸς τὸ ὁ Βακχεῖος θεὸς ἐν Οἰδίποδ. τυράνν.* 1104. *Κατὰ τὸν Σχολιαστὴν κεῖται ἀντὶ τοῦ· "Ποσειδῶνι ἐναλίῳ θεῷ". Λέγει δὲ Ποσειδαονίῳ διὰ τοῦ ο, διότι ὁ ἀρχαῖος τύπος τῆς γενικῆς εἶναι Ποσειδάονος.*

[3]) *Ἑστία εἶναι ὁ βωμός, ὡς ἐν στίχ.* 413 "Δελφικῆς ἀφ' ἑστίας". *Οὐχὶ ἀφυῶς ὁ* Blaydes *εἴκασεν ἐσχάραν. Ἡ ἑστία λέγεται βούθυτος, διότι ἐπὶ ταύτης οἱ ἄνθρωποι θύουσι βοῦς. Παραπλήσια εἶναι τὰ "βούθυτον ἁμέραν" παρ' Εὐριπίδ. ἐν Ἑλέν.* 1474 "βουθύτοισι προστροπαῖς" *ἐν Ἀλκήστιδ.* 1156 "ἡμέρᾳ ταυροσφάγῳ" *ἐν Τραχιν.* 609 "θᾶκον ὀρνιθοσκόπον" *ἐν Ἀντιγόν.* 999.

[4]) *Αἱ αἰτιατικαὶ αὗται ἐξαρτῶνται ἐκ τοῦ ἐπαξιοῖ, ἀλλ' ἔπρεπε τὴν δικαίαν χάριν νὰ θέσῃ κατὰ γενικήν, ὡς ἐν Φιλοκτήτ.* 62 "οὐκ ἠξίωσαν τῶν Ἀχιλλείων ὅπλων ἐλθόντι δοῦναι κυρίως αἰτουμένῳ" ἢ ἔπρεπε νὰ εἴπῃ· παρασχεῖν σοι καὶ πολίσματι καὶ φίλοις χάριν.

[5]) *Ἐννοεῖ τοὺς ὀπάονας τοῦ Θησέως. Ὅρα στίχ.* 1103.

[6]) *Τὸ πλῆρες ἤθελεν εἶναι, εὖ παθὼν παρ' ὑμῶν.*

[7]) *Οὕτως ἔγραψεν ὁ Τρικλίνιος, ᾧ ἠκολούθησαν οὐχὶ ὀλίγοι ἐκδόται. Ἀντὶ τοῦ σπεῦσον ὁ* Engelmann *εἴκασεν ἄσσον, ὅπερ ἐδέξαντο καί τινες τῶν νεωτέρων. Ἡ διόρθωσις αὕτη δὲν εἶναι πιθανή, διότι τὸ ἐπίρρημα τοῦτο δὲν ἁρμόζει εἰς τὸ ἄσσειν. Πιθανώτερον ὁ* Heimsoeth *γράφει ὡς τάχος. Ἐξήγησις τῆς β' ἀντιστροφῆς· Ἔ Ἔ, ὦ τέκνον, πορεύθητι πορεύθητι, εἴτε εἰς τοὺς ἀγροὺς κατὰ τύχην εἶσαι εἴτε εἰς τὸ ἄκρον τῆς κοιλάδος θυσιάζων εἰς τὸν θαλάσσιον θεὸν Ποσειδῶνα ἐπὶ τοῦ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΘΗΣΕΥΣ.

τίς αὖ [1] παρ' ὑμῶν κοινὸς ἠχεῖται κτύπος
σαφὴς μὲν αὐτῶν [2], ἐμφανὴς δὲ τοῦ ξένου;
μή [3] τις Διὸς κεραυνὸς ἢ τις ὀμβρία
χάλαζ' ἐπιρράξασα; πάντα γὰρ θεοῦ
τοιαῦτα [4] χειμάζοντος εἰκάσαι πάρα.

ΟΙΔΙΠΟΥΣ

ἄναξ, ποθοῦντι [5] προυφάνης, καί σοι θεῶν
τύχην τις ἐσθλὴν τῆσδ' ἔθηκε τῆς ὁδοῦ [6].

ΘΗΣΕΥΣ.

τί δ' ἔστιν, ὦ παῖ Λαΐου, νέορτον [7] αὖ;

βωμοῦ, ἐφ' οὗ θύουσι βοῦς, ἐλθέ. Διότι ὁ ξένος κρίνει ἄξιον εἰς σὲ καὶ εἰς τὴν πόλιν καὶ εἰς τοὺς φίλους νὰ ἀποδώσῃ δικαίαν εὐγνωμοσύνην, διότι εὐηργετήθη. Βιάσθητι, τρέχε, ὦ βασιλεῦ.

[1]) *Μετεχειρίσθη τὸ αὖ, διότι καὶ ἐν τοῖς ἔμπροσθεν στίχ.* 887 *ἐβόησεν ὁ χορός. Τὸ ἐπίθετον κοινὸς ἐξηγεῖται διὰ τοῦ ἑπομένου στίχου. Οὐχὶ δ' ἀφυῶς ὁ* Schmidt *ἀντὶ τοῦ κοινὸς εἰκάζει καινός. Τὸ ἠχεῖται ἐνταῦθα σημαίνει βοᾶται. Κεῖται δὲ τὸ ῥῆμα ὡς παθητικόν, ὡς παρ' Εὐριπίδ. ἐν Ἑλέν.* 1434 "πᾶσα δὲ χρὴ γαῖαν βοᾶσθαι μακαρίαις ὑμνῳδίαις„. *Ἀριστοφάν. ἐν Θεσμοφορ.* 995 "κτυπεῖται Κιθαιρώνιος ἠχώ„. "Ορα, ὅτι τὸ κτύπος κεῖται ἐπὶ ἀνθρωπίνης φωνῆς.

[2]) *Δηλαδὴ ὑμῶν. Ὁ* Reiske *τὸ αὐτῶν ἔτρεψεν εἰς ἀστῶν, ὅπερ φαίνεται ἡμῖν λίαν εὔστοχον. Τὸ ἐμφανὴς εἶναι συνώνυμον τῷ σαφὴς καὶ διὰ τούτων γίνεται ἀναφορά, ὡς ἐν Ἀντιγόν.* 888 "φίλη μὲν ἦξειν πατρί, προσφιλὴς δὲ σοί„. Ὁ στίχος οὗτος τίθεται ἐν ἀγκύλαις ὑπὸ τοῦ Nauck *ὡς ἀνάρμοστος, διότι μόνον ὁ χορὸς ἐκάλεσε τὸν Θησέα πρὸς βοήθειαν, οὐχὶ δὲ ὁ Οἰδίπους.*

[3]) *Κεῖται ἀντὶ τοῦ μῶν. Ἐκ τῶν ἡγουμένων πρέπει νὰ ἐννοήσωμέν τι πρὸς συμπλήρωσιν τῆς ἐννοίας. Μήπως ὁ κεραυνὸς ἢ ἡ χάλαζα εἶναι ἡ αἰτία τῆς φωνῆς σας; Μήπως ὁ κεραυνὸς ἐπήνεγκε δυστύχημά τι καὶ διὰ τοῦτο φωνάζετε; Ἔθηκε δὲ τὸν λόγον, ὡσεὶ προηγεῖτο, τί αὖ παρ' ὑμῶν κοινὸν ἤγειρε κτύπον;*

[4]) *Ἐπειδὴ ὁ Θησεὺς δὲν ἦτο μακράν, ἤκουσε τὸν κεραυνόν.*

[5]) *Δηλαδὴ κατὰ τὴν ἐπιθυμίαν μου καὶ πρὸς εὐτυχίαν σου ἦλθες.*

[6]) *Ἡ γενικὴ ἐξαρτᾶται ἐκ τοῦ τύχην.*

[7]) *Τὸ ὄνομα εἶναι σύνθετον ἐκ τοῦ νέος καὶ ὄρνυμι καὶ δηλοῖ τὸ νεωστὶ διηγερμένον, τὸ νέον.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΙΔΙΠΟΥΣ.

ῥοπὴ[1] *βίου μοι· καί σ' ἅπερ ξυνήνεσα*
θέλω πόλιν[2] *τε τήνδε μὴ ψεύσας θανεῖν.*

ΘΗΣΕΥΣ.

ἐν τῷ δὲ κεῖσαι[3] *τοῦ μόρου τεκμηρίῳ;* 1510

ΟΙΔΙΠΟΥΣ.

αὐτοὶ θεοὶ κήρυκες ἀγγέλλουσί μοι,
ψεύδοντες οὐδὲν σῆμα[4] *τῶν προκειμένων.*

ΘΗΣΕΥΣ.

πῶς[5] *εἶπας, ὦ γεραιέ, δηλοῦσθαι τάδε;*

ΟΙΔΙΠΟΥΣ.

αἱ πολλὰ[6] *βρονταὶ διατελεῖς τὰ πολλά τε*

[1]) *Ὑπάρχει μοι κλίσις τῆς ζωῆς πρὸς τὸν θάνατον, κλίνω νὰ ἀποθάνω.*

[2]) *Ἡ σύνταξις ἔχει οὕτως· θέλω θανεῖν μὴ ψεύσας σὲ πόλιν τε τήνδε ἅπερ ξυνήνεσα· ἢ δι' ἄλλων λέξεων κατὰ τὸν* Wunder, *καὶ θέλω τελέσας σοι καὶ πόλει τῇδε, ἃ ὑπεσχόμην, θανεῖν.*

[3]) *Ἐπὶ ποίου σημείου στηρίζεσαι, ὡς ἐν στίχ.* 247. *Κατὰ τὸν* Wunder *ἰσοδυναμεῖ τῷ, τί δὲ τὸ τεκμήριον ἔχεις τοῦ μόρου; Ἀλλὰ τὸ χωρίον κριτικοί τινες θεωροῦσιν ὡς διεφθαρμένον καὶ ὁ μὲν* Mekler *εἰκάζει τῷ δ' ἐκπέπεισαι τοῦ μόρου τεκμηρίῳ, ὁ δὲ* Blaydes *ἐν τῷ δὲ κεῖται σοῦ μόρου τεκμήριον;*

[4]) *Ἐν τοῖς χειρογράφοις ἀναγινώσκεται σημάτων, ἀνθ' οὗ ὁ* Dindorf *ἀνέγνω σῆμα τῶν, ὅπερ καὶ ἄλλοι ἐδέξαντο. Προκείμενα σήματα εἶναι σημεῖα τὰ προμεμαντευμένα. Τὰ ἐνταῦθα γινόμενα σημεῖα ὄντως ἐμαντεύθησαν ἐν στίχ.* 95. *Ὁ* Nauck *εἰκάζει πεπρωμένων, ὅπερ ἐνταῦθα ἧττον ἁρμόζει*

[5]) *Ἐπειδὴ ὁ Οἰδίπους οὐδὲν τεκμήριον εἶπεν, ἀλλὰ μόνον τοὺς θεοὺς ὠνόμασεν ὡς αἰτίους τῶν τεκμηρίων, ἀναγκάζεται ὁ Θησεὺς αὖθις νὰ ἐρωτήσῃ.*

[6]) *Κεῖται ἀντὶ ἐπιρρήματος· κατὰ μὲν τὸν* Bellermann *ἀντὶ τοῦ πολλαχῇ, κατ' ἄλλους δὲ ἀντὶ τοῦ πολλάκις, ὅπερ πιθανώτερον. Ἀλλ' ἡ λέξις θεωρεῖται ὕποπτος, διότι πάντοτε προσδιορίζει ἐπίθετα καὶ οὐχὶ οὐσιαστικά, ὡς ἐν Ἀντιγόν.* 1046 "*οἱ πολλὰ δεινοί*„. *Διὰ τοῦτο ὁ* Reiske *καὶ ὁ* Meineke *ἀντὶ αἱ πολλὰ γράφουσι δηλοῦσι, ὅπερ κατ' ἔννοιαν δὲν ἔχει κακῶς, ἀλλὰ παλαιογραφικῶς οὐχὶ σμικρὸν ἀφίσταται τῆς γραφῆς*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στράψαντα[1] χειρὸς τῆς ἀνικήτου βέλη. 1515

ΘΗΣΕΥΣ.

πείθεις με· πολλὰ γάρ σε θεσπίζονθ' ὁρῶ
κοὐ ψευδόφημα[2]· χῶ τι χρὴ ποιεῖν λέγε.

ΟΙΔΙΠΟΥΣ.

ἐγὼ διδάξω, τέκνον Αἰγέως, ἃ σοι[3]
γήρως ἄλυπα[4] τῇδε κείσεται πόλει.
χῶρον μὲν αὐτὸς αὐτίκ' ἐξηγήσομαι, 1520
ἄθικτος[5] ἡγητῆρος, οὗ με χρὴ θανεῖν.
τοῦτον[6] δὲ φράζε μή ποτ' ἀνθρώπων τινί,
μήθ' οὗ[7] κέκευθε μήτ' ἐν οἷς κεῖται τόποις·

τῶν χειρογράφων. Τὸ διατελὴς σημαίνει ἐνδελεχής, ἀκατάπαυστος.

[1]) Ἐπειδὴ τὸ στρέψαντα τῶν χειρογράφων δὲν παρέχει ὀρθὴν ἔννοιαν ἐνταῦθα, ὁ μὲν Pierson ἔτρεψεν εἰς στράψαντα, ὁ δὲ Forster εἰς σκήψαντα. Οἱ πλεῖστοι τῶν ἐκδοτῶν δέχονται τὴν πρώτην διόρθωσιν, εἰ καὶ τὸ στράπτειν δὲν εἶναι σύνηθες τῇ Ἀττικῇ γλώσσῃ, ἀλλὰ Ἀπολλωνίῳ τῷ Ῥοδίῳ καὶ ἄλλοις. Ἀνίκητον χεῖρα λέγει τὴν τοῦ Διός, Αἰσχύλ. ἐν Ἑπτὰ ἐπὶ Θήβ. 514 "οὔπω τις εἶδε Ζῆνά του νικώμενον".

[2]) Ποιεῖ ἀντίθεσιν, ὡς νομίζομεν, εἰς τὸ θεσπίζοντα, ἐξ οὗ κατὰ ζεῦγμα πρέπει νὰ ἐννοήσωμεν τὸ προσῆκον ῥῆμα· διότι παρατηρῶ, ὅτι λέγεις πολλὰ προφητικῶς καὶ οὐχὶ ψευδεῖς φήμας.

[3]) Εἶναι ἠθικὴ δοτικὴ εἰς τὸ τῇδε πόλει. Ἀντὶ τῆς δοτικῆς ἠδύνατο νὰ θέσῃ καὶ κτητικὴν ἀντωνυμίαν, τῇδε τῇ σῇ πόλει, ὡς ὦ σοὶ πατέρα φίλον κατέκτα ἀντὶ τὸν σὸν πατέρα.

[4]) Ἰσοδυναμεῖ τῷ ὑπὸ γήρως μὴ λυπούμενα ἢ λυπηθησόμενα, ὡς ἐν στίχ. 786 "πόλις δέ σοι κακῶν ἄνατος" ἐν Ἠλέκτρ. 1002 "ἄλυπος ἄτης" ἐν Τραχιν. 686. Τὸ γῆρας ἐνταῦθα κεῖται ἐν μεταφορικῇ σημασίᾳ. Ὁ Nauck εἰκάζει γήρως ἄμοιρα.

[5]) Ἄφανστος ὑπὸ ὁδηγοῦ, ἄνευ ὁδηγοῦ. Λέγει τοῦτο, διότι ὁ Οἰδίπους ἐπορεύετο ψαυόμενος καὶ ὁδηγούμενος ὑπὸ ἡγήτορος. Νῦν αὐτὸς θέλει χρησιμεύσει ὡς ὁδηγός. Τοῦτο αὐξάνει τὸ θαυμαστὸν στίχ. 501 "οὐ γὰρ ἂν σθένοι τοὐμὸν δέμας ἔρημον ἕρπειν οὐδ' ὑφηγητοῦ δίχα".

[6]) Ἀναφέρεται εἰς τὸν χῶρον. Ἐν τοῖς χρόνοις τοῦ ποιητοῦ οὐδεὶς ἐγίνωσκε, ποῦ ἔκειτο ὁ τάφος τοῦ Οἰδίποδος. Τὴν ἄγνοιαν ἐξηγεῖ ὁ Σοφοκλῆς ἐκ τῆς ἀπαγορεύσεως τοῦ θνήσκοντος ἥρωος.

[7]) Ὁ Hermann μετ' ἄλλων ἐξῆ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὡς σοι πρὸ πολλῶν ἀσπίδων[1] *ἀλκὴν ὅδε*
δορός[2] *τ' ἐπακτοῦ γειτόνων*[3] *ἀεὶ τιθῇ.* 1525
ἃ δ' ἐξάγιστα[4] *μηδὲ κινεῖται λόγῳ,*
αὐτὸς[5] *μαθήσει, κεῖσ' ὅταν μόλῃς μόνος·*
ὡς οὔτ' ἂν ἀστῶν τῶνδ' ἂν ἐξείποιμί τῳ
οὔτ' ἂν τέκνοισι τοῖς ἐμοῖς, στέργων ὅμως[6].

γεῖ· μήτε τὸν τόπον αὐτὸν τοῦ τάφου μήτε τὸ χωρίον, ἐν ᾧ ἐκεῖνος ὁ τόπος ὑπάρχει. Ἀλλὰ τὸ χωρίον, ἐν ᾧ ἔκειτο ὁ τάφος, ἐγένετο φανερὸν οὐ μόνον ταῖς θυγατράσι τοῦ Οἰδίποδος, ἀλλὰ καὶ τοῖς ὀπαδοῖς τοῦ Θησέως. Διὰ τοῦτο ὁ Bellermann δέχεται, ὅτι αἱ δύο προτάσεις δηλοῦσι τὴν αὐτὴν ἔννοιαν. Τὸν στίχον τοῦτον ἐξαλείφει ὁ Herwerden. Ὁ τάφος τοῦ Οἰδίποδος ἔπρεπε νὰ μείνῃ ἄγνωστος, διότι, ἂν τὰ λείψανα τούτου ἐλάμβανον οἱ Θηβαῖοι, ἡ ἀρὰ τοῦ βασιλέως τούτων ἤθελε γείνει ἀσθενεστέρα.

[1]) *Δηλαδὴ ὁπλιτῶν φερόντων ἀσπίδας. Τὸ ὅδε ἀναφέρεται εἰς τὸν χῶρον.*

[2]) *Ἡ ἔννοια τῆς πληθύος τῆς δηλωθείσης διὰ τοῦ πολλῶν ἐκτείνεται καὶ ἐπὶ τῆς φράσεως ταύτης. Ἐπακτὸν δόρυ εἶναι οἱ προσκληθέντες δορυφόροι, οἱ ξένοι μισθοφόροι οἱ καλούμενοι πρὸς ὑπεράσπισιν τῆς πόλεως.*

[3]) *Περὶ τοῦ τονισμοῦ τῆς λέξεως διεφώνουν οἱ ἀρχαῖοι κατὰ τὸν Σχολιαστήν· "Εἰ μὲν βαρυτόνως, γειτόνων, τῶν Θηβαίων· εἰ δὲ περισπωμένως, ἀντὶ τοῦ γειτνιῶν ὁ τάφος„. Τὸν δεύτερον τονισμὸν δέχονται ὁ* Dindorf *καὶ ὁ* Nauck, *ἐξ ὧν ὁ πρῶτος παρατηρεῖ, ὅτι τὸ χωρίον διεφθάρη, ὡς καὶ παρ' Αἰσχύλ. ἐν Ἱκέτισ. 780 "μέλας γενοίμαν καπνὸς νέφεσι γειτόνων Διός„ ἀντὶ γειτονῶν. Ἀλλ' ἐπειδὴ ὁ τάφος ἔμελλε νὰ ἦναι ἐν τῇ Ἀττικῇ, νομίζομεν, ὅτι δὲν ἠδύνατο νὰ ὀνομασθῇ γειτονικός. Τὸ ὅλον χωρίον σημαίνει· ἵνα οὗτος ὁ τάφος παρέχῃ σοι πάντοτε ἄμυναν κατὰ τῶν γειτόνων πολὺ καλλίτερον ἢ πολλοὶ ἀσπιδοφόροι καὶ ξένοι δορυφόροι.*

[4]) *Οὐχὶ ὀρθῶς ἑρμηνεύει ὁ Σχολιαστής· "καθαρά· σημαίνει γὰρ καὶ τὸ ἅγος τοῦτο. Οὕτως· ἐξάγιστα ἀντὶ τοῦ ἁγνὰ καὶ μὴ οἷά τε ῥηθῆναι καὶ ἐπὶ τούτου γὰρ χρῶνται πολλαχοῦ„. Διότι τὸ ἐπίθετον δηλοῖ τὸν ἀσεβῆ, ὡς παρὰ Δημοσθέν. 25, 93 "οἱ πονηρότατοι καὶ ἐξάγιστοι ὀνομαζόμενοι„. Ἐκ τῆς ἑπομένης φράσεως ἐννοεῖται τὸ λέγειν ἢ κινεῖν λόγον. Λοιπὸν τὸ χωρίον σημαίνει· ὅσα δὲ εἶναι ἀνόσιον νὰ εἴπω. Ἐννοεῖ δὲ τὸ μυστικὸν τοῦ τάφου, ἴσως δὲ καὶ μυστικὰς εὐχὰς καὶ θυσίας. Παραπλήσιον εἶναι τὸ ἐν Ἀντιγόν. 1060 "Ὄροσις με τἀκίνητα διὰ φρενῶν φράσαι„.*

[5]) *Ἐνταῦθα σημαίνει μόνος.*

[6]) *Τὸ ὅμως συντάσσεται μετοχῇ, ὡς καὶ ἐν στίχ. 851. Ἡ ἀπόκρυψις τοῦ μυστικοῦ δὲν δηλοῖ ἔλλειψιν στοργῆς πρὸς τὰ τέκνα.*

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλ' αὐτὸς ἀεὶ σῷξε[1], χὥταν εἰς τέλος
τοῦ ζῆν ἀφικνῇ, τῷ προφερτάτῳ[2] μόνῳ
σήμαιν'· ὃ δ' ἀεὶ[3] τὠπιόντι δεικνύτω.
χοὕτως ἀδῆον[4] τήνδ' ἐνοικήσεις πόλιν
σπαρτῶν[5] ἀπ' ἀνδρῶν. αἳ δὲ μυρίαι[6] πόλεις,
κἂν εὖ τις οἰκῇ[7], ῥαδίως καθύβρισαν.

[1]) *Διατήρει ἐν τῇ μνήμῃ*, memoria serva.

[2]) *Τῷ ἐξοχωτάτῳ, τῷ πρώτῳ τῆς πόλεως. Παρὰ Σοφοκλεῖ εὕρηται καὶ τὸ συγκριτικὸν ἐν ἀποσπάσι.* 379 "ἦ γὰρ φίλη 'γὼ τῶνδε τοῦ προφερτέρου". *Ἀντὶ τοῦ μόνῳ ὁ* Nauck *εἰκάζει γόνῳ, ὅπερ δὲν φαίνεται πιθανόν· διότι ὁ ποιητὴς ἐκ προθέσεως ἐξελέξατο ταύτην τὴν φράσιν, ὅπως μὴ ἡ εὐεργεσία τοῦ τάφου περιορισθῇ μόνον ἐν τῇ βασιλείᾳ, ἀλλ' ἐπεκταθῇ εἰς πᾶν εἶδος πολιτεύματος.*

[3]) *Ἐνταῦθα ἔχει τὴν σημασίαν τοῦ ἑκάστοτε.*

[4]) *Ἀδήϊος καὶ συνῃρημένον ἀδῆος σημαίνει κατὰ τὸν Ἡσύχιον τὸν ἀπόρθητον, ἀπολέμητον.*

[5]) *Σπαρτοὶ ἐλέγοντο οἱ Θηβαῖοι ὡς γεννηθέντες ἐκ τῶν ὑπὸ τοῦ Κάδμου σπαρέντων ὀδόντων τοῦ δράκοντος. Τὸ ἐμπρόθετον προσδιορίζει τὸ ἀδῆον καὶ δηλοῖ τὸ ἀπὸ μέρους, ὡς παρὰ Θουκυδ.* IV, 108 "οἱ δὲ *Λακεδαιμόνιοι τὰ μὲν καὶ φθόνῳ ἀπὸ τῶν πρώτων ἀνδρῶν*".

[6]) *Μυρίαι πόλεις εἶναι αἱ πολλαὶ πόλεις, ὡς παρὰ Ξενοφῶντ. ἐν Κύρ. ἀναβάσ. II,* 1, 19 "εἴ τῶν μυρίων ἐλπίδων μία τις ὑμῖν ἐστι σωθῆναι πολεμοῦντας βασιλεῖ, συμβουλεύω μὴ παραδιδόναι τὰ ὅπλα"· *καὶ παρὰ Διοδώρ.* 26, 10 "εἴ τῶν ἑκατὸν ἐλπίδα μίαν εἶχεν ἐν τοῖς Ῥωμαίοις". *Κατὰ τὸν* Bellermann *ὁ ποιητὴς ἤθελε νὰ εἴπῃ· ἔχεις ἤδη τὴν προστασίαν μου, ἀλλὰ μὴ γίνου ὑβριστής, ὡς πολλαὶ πόλεις. Ἀντὶ τούτου μετ' εὐκόλως ἐννοουμένης μεταβολῆς εἶπεν· ἔχεις ἤδη τὴν προστασίαν μου, ἀλλ' ἀναρίθμητοι πόλεις ἐγένοντο ὑβριστικαί, τοῦτο ὅμως σὺ μὴ ποίει.* Ὁ Wunder *καὶ ὁ* Wecklein *γράφουσιν· οἱ δὲ μυρίοι πόλεως ἐννοοῦντες, ὅτι ἐν τῷ πολλῷ πλήθει καὶ καλῶς διοικουμένης πόλεως πάντοτε ὑπάρχουσι τοιοῦτοι, οἵτινες τὸ μυστικὸν ἀσεβῶς προδίδουσιν. Ἄλλην διόρθωσιν ἐποίησεν ὁ* Nitzsch *τρέψας εἰς αἳ δὲ κύριαι πόλεις.*

[7]) *Ὁ* Brunck *ἐξηγεῖ διὰ τοῦ διοικῇ. Οὕτως ὑποκείμενον εἶναι ἄνθρωπός τις. Πιθανώτερον ὅμως ὁ* Wunder *ἑρμηνεύει διοικεῖται, διότι ὑποκείμενον εἶναι πόλις τις. Τὸ οἰκεῖν, ὡς καὶ τὸ Ὁμηρικὸν ναίειν, λέγεται οὐ μόνον ἐπὶ ἀνθρώπου, ἀλλὰ καὶ ἐπὶ πόλεως, ὡς παρὰ Πλάτωνι ἐν Νόμ. III,* 702 *A* "πῶς ποτ' ἂν πόλις ἄριστα οἰκοίη" *καὶ ἐν Πολιτ. VI,* 423 *A* "ἕως ἂν ἡ πόλις σοι οἰκῇ σωφρόνως".

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θεοὶ γὰρ [1] εὖ μέν, ὀψὲ δ' εἰσορῶσ', ὅταν
τὰ θεῖ' ἀφείς τις εἰς τὸ μαίνεσθαι τραπῇ
ὃ μὴ σύ, τέκνον Αἰγέως, βούλου παθεῖν.
τὰ μὲν τοιαῦτ' οὖν εἰδότ' ἐκδιδάσκομεν [2].
χῶρον δ', ἐπείγει γάρ με τοὐκ θεοῦ παρόν [3],
στείχωμεν ἤδη, μηδέ γ' ἐντρεπώμεθα [4].
ὦ παῖδες, ὠδ' ἕπεσθ'· ἐγὼ γὰρ ἡγεμὼν
σφῷν αὖ πέφασμαι καινός, ὥσπερ σφὼ πατρί [5].
χωρεῖτε, καὶ μὴ ψαύετ', [6] ἀλλ' ἐᾶτέ με
αὐτὸν τὸν ἱερὸν τύμβον ἐξευρεῖν, ἵνα
μοῖρ' ἀνδρὶ τῷδε τῇδε κρυφθῆναι [7] χθονί.
τῇδ', ὧδε [8], τῇδε βᾶτε· τῇδε γάρ μ' ἄγει

[1]) *Αἰτιολογεῖ τὸ ῥᾳδίως. Εὐκόλως ὑβρίζουσιν αἱ πόλεις, διότι οἱ θεοὶ τιμωροῦσι βραδέως. Τὴν ἔννοιαν ταύτην ἀναπτύσσει ὁ Θεοδέκτης ἐν Ἀποσπάσμ.* 8, 625 "εἰ μὲν γὰρ αὐτίκ' ἦσαν αἱ τιμωρίαι, πολλοὶ διὰ φόβον κοὐ δι' εὐσεβῆ τρόπον θεοὺς ἂν ἠῦξον· νῦν δὲ τῆς τιμωρίας ἄπωθεν οὔσης τῇ φύσει χρῶνται βροτοί". *Παρὰ τοῖς ἀρχαίοις ὑπῆρχε καὶ ἡ παροιμία, ἣν ἀναγινώσκομεν παρὰ Σέξτῳ τῷ Ἐμπειρ.* 3, 2, 24 "ὀψὲ θεῶν ἀλέουσι μύλοι, ἀλέουσι δὲ λεπτά".

[2]) *Ὁ Οἰδίπους δὲν ἠδύνατο νὰ ἐπεκτείνῃ τοιαύτας παραινέσεις, διότι ὁ Θησεὺς ἦτο δίκαιος καὶ εὐσεβής. Διὰ τοῦτο διακόπτει τὸν λόγον· διότι δὲν θέλει "ἐπικελεύειν ὥσπερ οἱ τοῖς θέουσι διακελευόμενοι" Πλάτ. ἐν Φαίδων.* 60 *Ε. Παραπλήσιαι φράσεις ὑπάρχουσι πολλαί, ὡς ἐν Ἰλιάδ. Κ*, 250 "εἰδόσι γάρ τοι ταῦτα μετ' Ἀργείοις ἀγορεύεις".

[3]) *Εἶναι ἐκεῖνο, ὅπερ τὸ θεῖον ὑπηνίξατο. Παραπλήσιον εἶναι τὸ ἐν στίχ.* 1694 "τὸ φέρον ἐκ θεοῦ καλῶς φέρειν χρή". *Οὐχὶ ἀφυῶς ὁ* Matthiae *ἔγραψε πτερόν.*

[4]) *Τὸ ἐντρέπεσθαι κυρίως σημαίνει στρέφεσθαι πρὸς τὰ πλάγια καὶ μὴ σπεύδειν πρὸς τὰ πρόσω. Οὕτω περιπίπτει εἰς τὴν σημασίαν τοῦ βραδύνειν.*

[5]) *Ἐξυπακούεται τὸ ἐφάνητε. Κατὰ τὸν Σχολιαστήν· "Ἐγὼ γὰρ ἡγεμὼν ὑμῖν πέφηνα, ὥσπερ ὑμεῖς τῷ πατρί".*

[6]) *Ἀφ' οὗ ὁ Οἰδίπους εἶπε τὰ εἰρημένα, ἔσπευσεν, ὅπως εὕρῃ τὸν τάφον, ἀλλ' αἱ θυγατέρες ὑποβοηθοῦσιν αὐτῷ κατὰ τὸ σύνηθες, ὅπερ οὗτος ἀποκρούει.*

[7]) *Τὸ ἀπαρέμφατον ἐξαρτᾶται ἐκ τοῦ μοῖρα (ἐστί).*

[8]) *Ἦχεῖ μὲν κακῶς τοῦθ', ὅτι ὑπάρχουσι πλεῖσται διασύλλαβοι λέξεις ἐν δυσὶ κατὰ συνέχειαν*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἑρμῆς ὁ πομπὸς[1] *ἥτε νερτέρα θεός.*
ὦ φῶς ἀφεγγές[2]*, πρόσθε πού ποτ' ἦσθ' ἐμόν,*
νῦν δ' ἔσχατόν σου τοὐμὸν ἅπτεται δέμας[3]. 1550
ἤδη γὰρ ἕρπω τὸν τελευταῖον[4] *βίον*
κρύψων παρ' Ἅιδην[5]*. ἀλλά, φίλτατε ξένων,*
αὐτός τε χώρα θ' ἥδε πρόσπολοί[6] *τε σοὶ*
εὐδαίμονες γένοισθε, κἀπ' εὐπραξίᾳ[7]
μέμνησθέ[8] *μου θανόντος εὐτυχεῖς ἀεί.* 1555

στίχοις, ἀλλὰ τοῦτο ἐξαίρει τὴν ἔννοιαν.

[1]) *Συνήθως λέγεται ψυχοπομπός, ὡς ἐν Αἴαντ.* 832 "*Καλῶ δ' ἅμα πομπαῖον Ἑρμῆν χθόνιον εὖ με κοιμίσαι*„. *Νερτέρα θεὸς εἶναι ἡ Περσεφόνη.*

[2]) *Οἱ ἐκ τοῦ βίου ἀποχωριζόμενοι συνήθως ἀποτείνουσι τὸν λόγον εἰς τὸ φῶς, διότι πορεύονται εἰς τὸ σκότος. Ἀλλ' ὁ τυφλὸς Οἰδίπους καὶ ἐν τῷδε τῷ βίῳ κατέχεται ὑπὸ σκότους. Διὰ τοῦτο λέγει τὸ φῶς ἀφεγγές. Λίαν δὲ περιπαθὴς εἶναι ἡ ἑπομένη πρότασις.*

[3]) *Δὲν λέγει ὀφθαλμούς, διότι εἶναι τυφλός.*

[4]) *Θεωρεῖται ὡς εἰρημένον κατὰ πρόληψιν, δηλ. τὸν βίον μου, ὅστις τελευτᾷ. Ἀλλ' ἴσως τὸ χωρίον διεφθάρη καὶ δὲν εἶναι ἀπίθανος ἡ διόρθωσις τοῦ* Musgrave, *ἕρπω τὴν τελευταίαν (δηλ. ὁδόν), βίον κρύψων παρ' Ἅδαν. Τολμηροτέρα εἶναι ἡ διόρθωσις τοῦ* Blaydes *τὴν τελευταίαν ὁδὸν στυγνὸν παρ' Ἅδην*

[5]) *Ἡ σύνταξις αὕτη παρέχει δυσκολίαν καὶ ὁ μὲν* Wunder *παραβάλλει πρὸς τὸ ἐν στίχ.* 114 "*κρύψον κατ' ἄλσος*„ *ὁ δὲ* Wecklein *πρὸς τὸ ἐν στίχ.* 1573 "*τὸν φύλακα παρ' Ἅδᾳ λόγος αἰὲν ἔχει*„. *Ἀλλὰ τὰ χωρία ταῦτα εἶναι διάφορα τοῦ προκειμένου.*

[6]) *Ὁ Σχολιαστὴς νομίζει, ὅτι ὁ ποιητὴς ἐννοεῖ τοὺς Ἀθηναίους, ὅπερ δὲν εἶναι πιθανόν· διότι τούτους ἐδήλωσε διὰ τῆς χώρας. Πρόσπολοι εἶναι οἱ θεράποντες, οἵτινες ἦσαν εὐγενεῖς, ὡς γίνεται δῆλον ἐκ τῶν Ὁμηρικῶν ἐπῶν.*

[7]) *Ἐν τῇ εὐτυχίᾳ καὶ διὰ τὴν εὐτυχίαν, ὡς παρ' Ἀριστοφάν. ἐν Ἱππ.* 406 "*πῖνε, πῖν' ἐπὶ συμφοραῖς*„.

[8]) *Μετεχειρίσθη προστακτικήν, διότι ἡ μνεία ἐξαρτᾶται ἐκ τῆς θελήσεως τῶν Ἀθηναίων, ἐν ᾧ τὸ προηγούμενον ῥῆμα ἔθηκε κατ' εὐκτικήν· διότι τὴν εὐδαιμονίαν τῶν ἀνθρώπων δίδουσιν οἱ θεοί. Μετὰ τοὺς λόγους τούτους ὁ μὲν Οἰδίπους πορεύεται πρὸς τὰ ἀριστερά, ᾧ ὁ Θησεὺς μετὰ τῶν ἀκολούθων αὐτοῦ, ἡ Ἀντιγόνη καὶ ἡ Ἰσμήνη ἀκολουθοῦσιν.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΧΟΡΟΣ.

Στροφή.

εἰ θέμις[1] *ἐστί μοι τὰν ἀφανῆ θεὸν*
καὶ σὲ λιταῖς σεβίζειν[2],
ἐννυχίων[3] *ἄναξ,*
Αἰδωνεῦ, Αἰδωνεῦ, λίσσομαι, 1560
ἐπὶ πόνῳ[4] *μήτ' ἐπὶ βαρυαχεῖ ξένον ἐξανύσαι*[5]
μόρῳ τὰν παγκευθῆ[6] *κάτω*
νεκρῶν πλάκα καὶ Στύγιον δόμον[7].
πολλῶν γὰρ ἂν[8] *καὶ μάταν πημάτων ἰκνουμένων* 1565

[1]) *Ἐν τῷ τετάρτῳ στασίμῳ ὁ χορὸς εὔχεται εἰς τοὺς ἄρχοντας τοῦ Ἅιδου, ἵνα δώσωσι τῷ ξένῳ πρᾶον θάνατον καὶ δεχθῶσιν εὐμενῶς. Ἀφανῆ θεὸν λέγει τὴν Περσεφόνην, διότι αὕτη ὀφθαλμῷ θνητοῦ δὲν εἶναι ὁρατή. Οἱ ἄνω θεοὶ εἶναι μὲν ἀόρατοι, ἀλλ' ἐνίοτε ἐμφανίζονται τοῖς ἀνθρώποις. Ἐπειδὴ οἱ κάτω θεοὶ εἶναι ἀμείλιχοι καὶ ἀδάμαστοι, μετεχειρίσθη τὴν φράσιν, εἰ θέμις ἐστί μοι.*

[2]) *Ἡ περίφρασις εἶναι συνήθης, ὡς ἐν στίχ.* 1007 "τιμαῖς σεβίζειν„ *καὶ παρ' Εὐριπίδ. ἐν Ἡλέκτρ.* 196 "εὐχαῖσι θεοὺς σεβίζουσιν„.

[3]) *Κατὰ τὸν Σχολιαστήν· "Τῶν ἐν νυκτὶ ἀεὶ καὶ σκότῳ διατριβόντων τῶν τεθνηκότων„.*

[4]) *Ἡ πρόθεσις δηλοῖ ὅ,τι καὶ πρὸ ὀλίγου τὸ ἐπ' εὐπραξίᾳ. Τὸ μήτε παρελείφθη, ὡς πολλαχοῦ, π.χ. ἐν Φιλοκτήτ.* 771 "ἑκόντα μητ' ἄκοντα μηδέ τῳ τέχνῃ„, *παρ' Ἀριστοφάν. ἐν Ὄρνισ.* 694 "γῆ δ' οὐδ' ἀὴρ οὐδ' οὐρανὸς ἦν„ *καὶ παρ' Ἡροδότ.* IV, 28 "ἡμίονοι δὲ οὐδ' ὄνοι ἀνέχονται τὴν ἀρχήν„. *Ἀμφισβητεῖται ἂν τὸ δεύτερον συνθετικὸν ἦναι ἦχος ἢ ἄχος.*

[5]) *Εἶναι εἰκασία τοῦ* Vauvilliers. *Τὰ μὲν χειρόγραφα ἔχουσιν ἐκτανύσαι, τὰ δὲ Σχόλια κατανύσαι. Τὸ ἐξανύειν συντάσσεται πρὸς ἁπλῆν αἰτιατικὴν δηλοῦσαν τὴν εἰς τόπον κίνησιν, ὡς ἐν Ἀντιγόν.* 805 "τὸν παγκοίταν, ὅθ' ὁρῶ θάλαμον τήνδ' Ἀντιγόνην ἀνύτουσαν.„ *καὶ ἐν Αἴαντ.* 606 "ἔτι μέ ποτ' ἀνύσειν τὸν ἀπότροπον ἀΐδηλον Ἅδαν„.

[6]) *Τοιαῦτα ἐπίθετα συνήθως ἀποδίδονται τῷ Ἅιδῃ, ὡς ἐν Ἀντιγόν.* 810 "ἀλλά μ' ὁ παγκοίτας Ἅδας ζῶσαν ἄγει τὰν Ἀχέροντος ἀκτάν„ *ἐν στίχ.* 804 "τὸν παγκοίταν, ὅθ' ὁρῶ θάλαμον„. *Ὅρα καὶ Αἴαντ. στίχ.* 1193.

[7]) *Ἐννοεῖ τὸν οἶκον τοῦ Ἅιδου καὶ τῆς Περσεφόνης, ὡς ἐν Ἡλέκτρ. στίχ.* 110.

[8]) *Ὁ σύνδεσμος ἀνήκει εἰς τὸ ἑπόμενον αὔξοι. Τὸ μάταν σημαίνει ἄνευ αἰτίας, ἄνευ ἁμαρτήματος. Οὐχὶ ἀφυῶς ὁ* Bücheler *εἰκάζει, πολλῶν*

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

πάλιν σε[1] δαίμων δίκαιος αὖξοι.

Ἀντιστροφή.

ὦ χθόνιαι θεαὶ[2] σῶμά τ' ἀνικάτου
θηρός, ὃν ἐν πύλαισι
φασὶ[3] πολυξέστοις· 1570
εὐνᾶσθαι κνυζεῖσθαί[4] τ' ἐξ ἄντρων

γὰρ ἀνταλλαγὰν πημάτων, ὅπερ ἤθελεν εἶναι παράθεσις εἰς τὸ αὖξοι σε πάλιν.

1) Ἐν πᾶσι τοῖς χειρογράφοις ἀναγινώσκεται σε, ὅπερ ὁ Reiske ἔτρεψεν εἰς σφε. Τὴν διόρθωσιν δέχονται οὐχὶ ὀλίγοι ἐκδόται. Κατὰ τὸν Σχολιαστήν· "Ἀποστρέφει τὸν λόγον πρὸς τὸν Οἰδίποδα„. Ἐξήγησις τῆς στροφῆς· Ἐάν μοι ἦναι ἐπιτετραμμένον τὴν ἀόρατον θεὰν καὶ σὲ διὰ παρακλήσεων νὰ τιμῶ, ὦ βασιλεῦ τῶν νεκρῶν, ὦ Ἄδη, Ἄδη, παρακαλῶ μήτε μὲ πόνον, μήτε μὲ λυπηρότατον θάνατον ὁ ξένος νὰ πορευθῇ εἰς τοὺς κάτω τόπους τῶν νεκρῶν τοὺς κρύπτοντας πάντας καὶ εἰς τὸν Στύγιον οἶκον. Διότι ἀφ' οὗ πολλὰ καὶ ἄνευ αἰτίας δυστυχήματα ἦλθον εἰς σὲ πάλιν δίκαιος θεὸς δύναται νὰ ἐξυψώσῃ.

2) Χθόνιαι θεαὶ εἶναι αἱ Ἐρινύες. Διὰ δὲ τῆς ἑπομένης περιφράσεως ἐννοεῖ τὸν Κέρβερον. Ἀντὶ τοῦ ἀνικάτου ὁ Meineke ἔγραψεν ἀμαιμάκου (=δεινοῦ, ἀνυποστάτου). Περὶ τούτου λέγει ἐν Τραχιν. 1098 "τόν θ' ὑπὸ χθονὸς Ἄιδου τρίκρανον σκύλακ', ἀπρόσμαχον τέρας„. Ἐνταῦθα δὲν ὑπάρχει ἀνεξάρτητον ῥῆμα, ἀλλ' εἶναι ἁπλῆ ἐπιφώνησις.

3) Οἱ κριτικοὶ εἰκάζουσιν ἐκ τοῦ Σχολιαστοῦ, ὅτι τὸ ῥῆμα τοῦτο προσετέθη ὑπὸ διασκευαστοῦ· "Λείπει τὸ φασίν„. Ἐξυπακούεται τὸ ἀπαρέμφατον εἶναι, ὡς συχνάκις καὶ ἡ μετοχή, ὡς παρὰ Ξενοφῶντ. ἐν Κύρ. Ἀναβάσ. V, 8, 19 "ἐν εὐδίᾳ ὁρῶ ὑμᾶς„ παρὰ Δημοσθέν. 19, 87 "πρὸς Μεγάροις ἀκούοντες δύναμιν Φιλίππου ἐθορυβεῖσθε„. Τὸ ἐπίθετον πολύξεστος ὑποδηλοῖ, ὅτι αἱ πύλαι ἦσαν κατεσκευασμέναι ἐκ μαρμάρου, ὡς δὴ καὶ λέγεται παρ' Ἡσιόδῳ ἐν Θεογον. 811 "ἔνθα δὲ μαρμάρεαί τε πύλαι καὶ χάλκεος οὐδός, ἀσιεμφής, ῥίζησι διηνεκέεσσιν ἀρηρώς, αὐτοφυής„. Ἀντὶ τοῦ πολυξέστοις ὁ Musgrave ἔγραψε πολυξένοις, ὡς παρ' Αἰσχύλ. ἐν Ἱκέτισ. 157 "τὸν πολυξενώτατον Ζῆνα τῶν κεκμηκότων„ Ἄλλως ὁ Ἄδης λέγεται πολυδέγμων, πολύκοινος, πανδοκεύς. Τὴν διόρθωσιν ταύτην δέχονται πολλοὶ ἐκδόται. Συνήθως οἱ ἑρμηνευταὶ δὲν θέτουσι στιγμὴν μετὰ τὴν λέξιν πολυξέστοις, ἀλλὰ τὰ ἑπόμενα ἀπαρέμφατα ἐξαρτῶσιν ἐκ τοῦ ἑπομένου λόγος αἰὲν ἔχει. Ἀλλὰ τοῦτο ἤθελε παρέλκει, ἂν μὴ ἐξαλείψωμεν τὸ προηγούμενον φασί. Διὰ τοῦτο κατὰ τὴν στίξιν ἠκολουθήσαμεν τῷ Rellermann.

4) Τὸ κνυζεῖσθαι σημαίνει γαυγίζειν, μουρμουρίζειν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀδάματον τὸν φύλακα παρ' Ἅιδᾳ λόγος αἰὲν ἔχει[1]·
ὃν[2], *ὦ Γᾶς παῖ καὶ Ταρτάρου,*
κατεύχομαι ἐν καθαρῷ[3] *βῆναι* 1575
ὁρμωμένῳ νερτέρας τῷ ξένῳ νεκρῶν πλάκας.
σέ τοι κικλήσκω τὸν αἰένυπνον[4]*.*

ΑΓΓΕΛΟΣ.

ἄνδρες πολῖται, ξυντομωτάτως μὲν ἂν

[1]) *Ἰσοδυναμεῖ τῷ φασίν.*

[2]) *Ἐν τοῖς χειρογράφοις ἀναγινώσκεται ὅν, ἀνθ' οὗ ὁ μὲν* Hermann *εἰκάζει τόν, ὁ δὲ* Nauck *γράφει δ ὁ ς. Παῖς τῆς Γῆς καὶ τοῦ Ταρτάρου εἶναι ὁ Θάνατος.*

[3]) *Ὁ ποιητὸς ἐννοεῖ, ὅτι ὁ Κέρβερος πρέπει νὰ πορευθῇ ἐκεῖ, ὅπου ὁ ξένος δὲν πορεύεται, νὰ πορεύηται ἐπὶ ἐλευθέρας ὁδοῦ, νὰ μὴ παρέχῃ ἐμπόδιον. Τοιαύτην σημασίαν ἔχει τὸ ἐπίθετον ἐν Ἰλιάδ. Κ, 199 "ἑδριόωντο ἐν καθαρῷ, ὅθι δὴ νεκύων διεφαίνετο χῶρος„ καὶ Πίνδ. ἐν Ὀλυμπ. 6, 23 "ὄφρα κελεύθῳ τ' ἐν καθαρᾷ βάσομεν„.*

[4]) *Κατὰ τὸν Σχολιαστὴν σημαίνει "τὸν διὰ παντὸς κοιμώμενον„. Φαίνεται δ', ὅτι ὀνομάζει τὸν Θάνατον οὕτως, διότι οἱ νεκροὶ αἰωνίως κοιμῶνται. Εὕρηται καὶ ἡ γραφὴ αἰὲν ἄϋπνον, ἣν δέχεται ὁ* Hartung *ἀναφέρων τὴν φράσιν εἰς τὸν Κέρβερον. Ἐξήγησις τῆς ἀντιστροφῆς· "Ὦ καταχθόνιαι θεαὶ καὶ ἀκαβλητον θηρίον, τὸ ὁποῖον λέγουσιν ὅτι ὑπάρχει εἰς τὰς πολυξέστους πύλας· ἡ φήμη πάντοτε κρατεῖ, ὅτι ἐνεδρεύεις καὶ γαυγίζεις ἐκ τῶν ἄντρων ἀδάμαστος φύλαξ πλησίον τοῦ Ἅιδου· τοῦτο, ὦ τέκνον τῆς Γῆς καὶ τοῦ Ταρτάρου, παρακαλῶ νὰ ἀφήσῃς ἐλευθέραν τὴν ὁδὸν εἰς τὸν ξένον τὸν πορευόμενον εἰς τοὺς κάτω τόπους τῶν νεκρῶν. Σὲ βεβαίως παρακαλῶ τὸν αἰωνίως κοιμίζοντα.*

[5]) *Ὁ τύπος οὗτος τοῦ ἐπιρρήματος φαίνεται παράδοξος τοῖς ἑρμηνευταῖς, ἀλλ' ἡμῖν τοῖς νεωτέροις εἶναι συνήθης. Οὕτω λέγομεν σοφωτάτως, ἐντιμοτάτως. Φαίνεται δέ, ὅτι ὁ τύπος οὗτος δὲν ἐπλάσθη ὑπὸ τῶν νεωτέρων, ἀλλὰ καταρρέει ἐκ τῶν ἀρχαίων. Εὕρηται δὲ καὶ παρ' Εὐριπίδ. ἐν Ἱκέτισ. 967 "γηράσκω δυστηνοτάτως„ καὶ παρὰ Πολυδεύκει 6, 63 ἐκ τοῦ Ἰσοκράτους τὸ προσφιλεστάτως. Διὰ τοῦτο νομίζομεν, ὅτι δὲν εἶναι ἀνάγκη διορθώσεως. Ὁ μὲν* Elmsley *ἔτρεψεν εἰς ξυντομώτατον, ὁ δὲ* Wecklein *ξυντομωτάτων. Ὁ Σχολιαστὴς παρατηρεῖ· "Ἔστι δὲ ὁ ἄγγελος εἷς τῶν ἀκολουθησάντων Θησεῖ θεραπόντων. Καὶ ἀφῖκται ἔνια ἀπαγγέλλων τῶν πραχθέντων ἐπὶ τῆς ἐρημίας· οὐ γὰρ πάντα δυνατὸν ἦν θεάσασθαι„. Παραπλήσιον εἶναι τὸ ἐν Οἰδίπ. τυράνν. 1234 "ὁ μὲν τάχιστος τῶν λόγων εἰπεῖν τε καὶ μαθεῖν, τέθνηκε θεῖον Ἰοκάστης κάρα„.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τύχοιμι λέξας Οἰδίπουν ὀλωλότα· 1580
ἃ δ' ἦν τὰ πραχθέντ', οὔθ' ὁ μῦθος ἐν βραχεῖ
φράσαι πάρεστιν οὔτε τἄργ'[1] ὅσ' ἦν ἐκεῖ.

ΧΟΡΟΣ.

ὄλωλε γὰρ δύστηνος;

ΑΓΓΕΛΟΣ.

